DIE FRAGMENTE

DER

GRIECHISCHEN HISTORIKER

(F GR HIST)

VON

FELIX JACOBY

DRITTER TEIL

GESCHICHTE VON STAEDTEN UND VOELKERN

(HOROGRAPHIE UND ETHNOGRAPHIE)

C

AUTOREN UEBER EINZELNE LAENDER

Nr. ~~608a—856~~

(ZWEITER BAND: ILLYRIEN—THRAKIEN Nr. 709—856)

PHOTOMECHANISCHER NACHDRUCK

LEIDEN
E. J. BRILL
1969

1. Auflage 1958

PRINTED IN THE NETHERLANDS

X. ILLYRIEN

—. ALEXANDROS POLYHISTOR c. 80/35ª

DE ILLYRICO TRACTU

273 F 17.

XI. INDIEN

709. SKYLAX VON KARYANDA Vor 510ª

T

1 (*G.G.Min.* I p. XXXIII) SUDA s.v. Σκύλαξ· Καρυανδεύς (πόλις δ' ἐστὶ τῆς Καρίας πλησίον Ἁλικαρνασσοῦ τὰ Καρύανδα)· μαθηματικὸς καὶ μουσικός. Περίπλουν τῶν ἐκτὸς τῶν Ἡρακλέους στηλῶν· Τὰ κατὰ Ἡρακλείδην τὸν Μυλασσῶν βασιλέα· Γῆς Περίοδον· Ἀντιγραφὴν πρὸς τὴν Πολυβίου ἱστορίαν.

2 a) STRABON 14, 2, 20: ἐν δὲ τῶι μεταξὺ (zwischen Myndos und Bargylia) Καρύανδα λιμὴν καὶ νῆσος <καὶ πόλις> ὁμώνυμος ταύτηι, ἣν ᾤικουν Καρυανδεῖς· ἐντεῦθεν δ' ἦν καὶ Σκύλαξ ὁ παλαιὸς συγγραφεύς. b) STEPH. BYZ. s.v. Καρύανδα· πόλις καὶ λιμὴν ὁμώνυμος, πλησίον Μύνδου καὶ Κῶ· Ἑκαταῖος (1 F 242) Καρύανδαν αὐτήν φησι . . . ἐντεῦθεν ἦν καὶ Σκύλαξ ὁ παλαιὸς λογογράφος. T 4.

3 a) HERODOT. 4, 44: τῆς δὲ Ἀσίης τὰ πολλὰ ὑπὸ Δαρείου ἐξευρέθη, ὃς βουλόμενος Ἰνδὸν ποταμόν, ὃς κροκοδείλους δεύτερος οὗτος ποταμῶν πάντων παρέχεται, τοῦτον τὸν ποταμὸν εἰδέναι τῆι ἐς θάλασσαν ἐκδιδοῖ, πέμπει πλοίοισι ἄλλους τε τοῖσι ἐπίστευε τὴν ἀληθείην ἐρέειν καὶ δὴ καὶ Σκύλακα ἄνδρα Καρυανδέα. (2) οἱ δὲ ὁρμηθέντες ἐκ Κασπατύρου (?) τε πόλιος καὶ τῆς

8-12: s. Komm. 8-9 πόλις – Καρύανδα: s. T 2 8 δ' om. A 10-12 τὰ – ἱστορίαν om. F 10 τῶν ἐκτὸς τῶν (τοῦ G) o τῶν <ἐντὸς καὶ> ἐκτὸς τῶν τοῦ Ἡρ. στηλ. G. J. Vossius τῶν ἐντὸς τῶν Mue, Bernhardy 11 μυλασῶν V[ac]GM Μυλασέων? 14 λιμὴν Tzschucke λίμνη o <καὶ πόλις> (b; Ps. Skylax 99 Καρύανδα νῆσος καὶ πόλις καὶ λιμήν; Plin. *N.H.* 5, 134 *Caryanda* [scil. *insula*] *cum oppido*) Jac [ταύτηι (om. E)] Kramer τούτωι Groskurd ταύτην [ἣν] ᾤικουν Cor 16 λιμὴν Berkel λίμνη o 17 καὶ (vor Σκ.) om. P 19 ἐξευρέθη <ὅτι περίρρυτά ἐστι> J. E. Powell 21-22 πλοίοισι (πλόοισι D) ἄλλοισί τε d 22 καὶ δὴ καὶ d καὶ δὴ a 23 κασπατύρου (3, 102, 1) a κασταπύρου (καπύρου R) d cf. Steph. Byz. s.v. Κασπάπυρος· πόλις Γανδαρική (= Hekataios 1 F 295)

Πακτυικῆς γῆς ἔπλεον κατὰ ποταμὸν πρὸς ἠῶ τε καὶ ἡλίου ἀνατολὰς ἐς θάλασσαν, διὰ θαλάσσης δὲ πρὸς ἑσπέρην πλέοντες τριηκοστῶι μηνὶ ἀπικνέονται ἐς τοῦτον τὸν χῶρον ὅθεν ὁ Αἰγυπτίων βασιλεὺς τοὺς Φοίνικας τοὺς πρότερον εἶπα (4, 42) ἀπέστειλε περιπλώειν Λιβύην. (3) μετὰ δὲ τούτους περιπλώσαντας Ἰνδούς τε κατεστρέψατο Δαρεῖος καὶ τῆι θαλάσσηι ταύτηι ἐχρᾶτο. οὕτως καὶ τῆς Ἀσίης πλὴν τὰ πρὸς ἥλιον ἀνίσχοντα τὰ ἄλλα ἀνεύρηται ὅμοια παρεχομένη τῆι Λιβύηι. **b**) Strabon 2, 3, 4 p. 98: μνησθεὶς δὲ (Poseidonios 87 F 28) τῶν περιπλεῦσαι λεγομένων τὴν Λιβύην, Ἡρόδοτον μὲν οἴεσθαί φησιν ὑπὸ Δαρείου πεμφθέντας τινὰς τελέσαι τὸν περίπλουν ... ἀμάρτυρα δὲ ταῦτ' εἶναι φήσας (es folgt die beweisende geschichte von dem Kyzikener Eudoxos).

4 Schol. Ps. Skylax *Peripl.* § 1: Σκύλαξ ὁ Καρυανδεὺς ἀρχαιότατος μέν ἐστιν ἀνήρ, τῶν δὲ πλείστων ἔτι μερῶν τῆς καθ' ἡμᾶς οἰκουμένης καὶ τῆς ἔνδον Ἡρακλείων στηλῶν θαλάσσης παρὰ τῶν πολλῶν ἀγνοουμένων, περίπλουν τῆς οἰκουμένης ἀναγράψαι προείλετο. τὰ μὲν γὰρ τῆς ἑώιας Ἀλέξανδρος ὁ Μακεδὼν δῆλα τοῖς ἀνθρώποις πάντα κατέστησε, τὰ δὲ τῶν ἑσπερίων ἐθνῶν ἡ Ῥωμαίων ἀνδρεία πολέμωι τούτων κρατήσασα. τῆς μὲν οὖν ἀκριβοῦς γνώσεως τῶν τόπων ἁπάντων διὰ τὰς εἰρημένας αἰτίας οὐκ ἴσχυσεν ἐφικέσθαι, μέρη δὲ πλεῖστα καλῶς καὶ ἀκολούθως περιέπλευσεν, ὥσπερ τὸν Ἰόνιον ἤτοι Ἀδρίαν κόλπον, καὶ προσέτι γε τὴν Ἀττικὴν καὶ τὴν Πελοπόννησον πᾶσαν μετὰ τῶν ἐνοικούντων ἐθνῶν, ἔτι μὴν ἕτερα μέρη τῆς θαλάσσης καὶ τῶν προσοικούντων αὐτῆι σαφῶς παραστήσας. δοκεῖ δέ πως καὶ αὐτὸς τῆς ἀγνοίας τῶν πλείστων τόπων τὴν βραχυλογίαν ὥσπερ ἀπολογίαν τινὰ πεποιῆσθαι, δι' ὀλίγων σφόδρα χωρίων τὰ πλεῖστα τοὺς ἐντυγχάνοντας ἢ ἀναζητεῖν ἢ εἰδέναι βουλόμενος. τῆς δὲ ἀρχαιότητος τοῦ ἀνδρὸς ἐναργὲς γνώρισμα τὸ μήτε Ἀλέξανδρον εἰδέναι τῶν Μακεδόνων βασιλέα μήτε <τινὰ> τῶν ὀλίγον ἔμπροσθεν ἐκείνου χρόνου, ὥστε οὐκ ἄν τις ἁμάρτοι θαύματος ἄξιον ἡγούμενος τὸν ἄνδρα τῶν πλείστων ἐφικέσθαι δυνηθέντα. Αἴλιος Δῖος ἐν τῶι Περὶ Ἀλεξανδρείας βιβλίωι πρώτωι (629 F 1) φησὶν ὅτι Δαρείωι προσεφώνησε Σκύλαξ τὸ φρόντισμα.

5 Avien. *Or. mar.* 32: *interrogasti, si tenes, Maeotici / situs quis esset aequoris. Sallustium / noram id dedisse ... ad eius igitur inclytam / descriptionem ... multa rerum iunximus /* [41] *ex plurimorum sumpta commentariis. / Hecataeus istic quippe erit Milesius* (1) */ Hellanicusque Lesbius* (4), *Phileus quoque / Atheniensis* (*V*), *Caryandaeus Scylax, /* [45]

---

1 παχτυικῆς (cf. 3, 93, 1; 102, 1) **a** παχτυίης (παχτυχίης 3, 93, 1) **d** κατὰ τὸν π. **d** 4 περιπλέειν Hude 6 τὰ ἄλλα **a** ἄλλα **d** 7-10: *FGrHist* II C p. 175, 22 ff. 12-25: geht auf Ps. Skylax 13 παρὰ Letronne πέρα P ἀγνοουμένων V -νως P 16 κρατήσασα V -σας P μὲν V μὴν P 18 προσέτιγε (P?) v 20 προσοικούντων V προοι- P 22 ἢ – εἰδέναι Mue ἢ ἅμα ζητεῖν τινι εἰδέναι P ἢ ἀναζητεῖν τι ἢ εἰδέναι? 24 μήτε – ὀλίγον (o. μήτε τὸν ὀ. ἔ. ἐ. χρόνον) Mue μήτε τὸν ὀλίγων P 25 Δῖος Mue διὸς P Διονύσιος Hoeschel 28 *quis* Pithou *qui* Av 30 *iunximus* Pithou *viximus* Av 31 *Hecataeus* Pithou *haec ad eus* Av *Milesius* Pithou *mille suis* Av 32 *Phileus*: Φιλέας T 6 *Caryandaeus* Heinsius *cariae ditus* (*caryandynus* cf. *cariae dictus* F 8 O) Av

Pausimachus (V) inde, prisca quem genuit Samos, / quin et Damastus (5) *nobili natus Sige, / Rhodoque Bacoris (V) ortus, Euctemon (V) quoque / popularis urbis Atticae, Siculus Cleon (V), / Herodotus ipse Thurius, tum qui decus /* [50] *magnum loquendi est Atticus Thucydides.*

6 MARCIAN. *Epit. Peripl. Menipp.* 2: γράφω δὲ ταῦτα πολλοῖς μὲν ἐντυχὼν περίπλοις . . . . . οἱ γὰρ δὴ δοκοῦντες ταῦτα μετὰ λόγων ἐξητακέναι Τιμοσθένης ὁ Ῥόδιός (V) ἐστιν, ἀρχικυβερνήτης τοῦ δευτέρου Πτολεμαίου γεγονώς, καὶ μετ' ἐκεῖνον Ἐρατοσθένης (V) . . ., πρὸς δὲ τούτοις Πυθέας τε ὁ Μασσαλιώτης (V) καὶ Ἰσίδωρος ὁ Χαρακηνὸς (781) καὶ Σώσανδρος ὁ κυβερνήτης <ὁ> τὰ κατὰ τὴν Ἰνδικὴν γράψας (714) Σιμμέας τε (V) ὁ τῆς οἰκουμένης ἐνθεὶς τὸν περίπλουν, ἔτι μὴν Ἀπελλᾶς ὁ Κυρηναῖος (V) καὶ Εὐθυμένης ὁ Μασσαλιώτης (V) καὶ Φιλέας ὁ Ἀθηναῖος (V) καὶ Ἀνδροσθένης ὁ Θάσιος (711) καὶ Κλέων ὁ Σικελιώτης (V) Εὔδοξός τε ὁ Ῥόδιος (79 T 2) καὶ Ἄννων ὁ Καρχηδόνιος (V), οἱ μὲν μερῶν τινων, οἱ δὲ τῆς ἐντὸς πάσης θαλάττης, οἱ δὲ τῆς ἐκτὸς περίπλουν ἀναγράψαντες. οὐ μὴν ἀλλὰ καὶ Σκύλαξ ὁ Καρυανδεὺς καὶ † Βωτθαῖος· οὗτοι δὲ ἑκάτεροι διὰ τῶν ἡμερησίων πλῶν, οὐ διὰ τῶν σταδίων τὰ διαστήματα τῆς θαλάσσης ἐδήλωσαν. καὶ ἕτεροι δὲ πλείους εἰσίν, οὓς περιττὸν οἶμαι καταριθμεῖν.

F

I. DER INDIENFAHRER (ΠΕΡΙΠΛΟΥΣ ΤΩΝ ΕΚΤΟΣ ΤΩΝ ΗΡΑΚΛΕΟΥΣ ΣΤΗΛΩΝ?)

(T 1? 3-4)

1 HERODOT. 4, 44: s. T 3.

2 SCHOL. PS. SKYLAX *Peripl.* § 1: s. T 4.

3 (2) ATHEN. 2, 82 p. 70 A-C: κινάρα. ταύτην Σοφοκλῆς ἐν Κολχίσι (F 323 N²) κυνάραν καλεῖ, ἐν δὲ Φοίνικι (F 651) «κύναρος ἄκανθα πάντα πληθύει γύην». Ἑκαταῖος δ' ὁ Μιλήσιος ἐν Ἀσίας περιηγήσει (1 F 291/2) . . . . καὶ περὶ τὸν Ἰνδὸν δέ φησι (F 296) ποταμὸν γίνεσθαι τὴν κυνάραν. καὶ Σκύλαξ δὲ ἢ Πολέμων (IV) γράφει· «εἶναι δὲ τὴν γῆν ὑδρηλὴν κρήνησι καὶ ὀχετοῖσιν· ἐν δὲ τοῖς οὔρεσι πέφυκε κυνάρα καὶ βοτάνη ἄλλη».

---

1 *inde* Heinsius *ille* Av *damastus* (F 8): *Damastes* Hudson 2 *Sige* Pithou *signe* Av *Rhodoque* Pithou *rhodonque* Av *Bacorus* Hudson 3 *popularis* Pithou *-ri* Av *thurius* O *thyrius* r 7 δευτεραίου P 9 <ὁ> Jac 10 Σιμ(μ)ίας Hudson; cf. Agatharchides bei Diodor. 3, 18, 4? ἐκθείς? Mue Ἀπελλᾶς: Ὀφέλας (Strab. 17, 3, 3) Mue 11 Εὐθυμένης Miller -μόνης (corr. aus -μώνης o. -μάνης) P 12 Θάσιος Vossius ἴάσιος P Εὔδοξος v -ξιος P 14 καρυάνδους P 14-15 βωτθαῖος P βοτθαῖος V Βουθήρας (570 T 1) o. *Bacorus* (T 5) o. ** (ὁ δεῖνα) Βοττιαῖος Mue Ἑκαταῖος Nenci (*La Parola del Passato* 8, 1953, p. 225 ff.) 15 πλῶν Letronne ἠχῶν P 28 καὶ Πολέμων? Susemihl ὡς Π.? 28-30: εἶναι – ἄλλη am anfang nicht wörtlich; βοτάνη ἄλλη korrupt oder verkürzt (name einer anderen pflanze * καλουμένη o.ä. ausgefallen)?

4 (2) Athen. 2, 82 p. 70 CD: καὶ ἐν τοῖς ἑξῆς· «ἐντεῦθεν δὲ ὄρος παρέτεινε τοῦ ποταμοῦ [τοῦ Ἰνδοῦ] καὶ ἔνθεν καὶ ἔνθεν, ὑψηλόν τε καὶ δασὺ ἀγρίηι ὕληι καὶ ἀκάνθηι κυνάραι». Δίδυμος δ' ὁ γραμματικὸς (p. 88; 242 Schm) ἐξηγούμενος παρὰ τῶι Σοφοκλεῖ τὸ 'κύναρος ἄκανθα' «μήποτε» φησίν «τὴν κυνόσβατον λέγει διὰ τὸ ἀκανθῶδες καὶ τραχὺ εἶναι τὸ φυτόν· καὶ γὰρ ἡ Πυθία ξυλίνην κύνα αὐτὸ εἶπεν, καὶ ὁ Λοκρὸς χρησμὸν λαβὼν ἐκεῖ πόλιν οἰκίζειν ὅπου ἂν ὑπὸ ξυλίνης κυνὸς δηχθῆι, καταμυχθεὶς τὴν κνήμην ὑπὸ κυνοσβάτου ἔκτισε τὴν πόλιν». ἔστι δὲ ὁ κυνόσβατος μεταξὺ θάμνου καὶ δένδρου, ὥς φησι Θεόφραστος (*H.Pl.* 3, 18, 4), καὶ τὸν καρπὸν ἔχει ἐρυθρόν, παραπλήσιον τῆι ῥοιᾶι· ἔχει δὲ καὶ τὸ φύλλον ἀγνῶδες.

5 (1) Aristot. *Pol.* 7, 13, 1 p. 1332b 12: ἐπεὶ δὲ πᾶσα πολιτικὴ κοινωνία συνέστηκεν ἐξ ἀρχόντων καὶ ἀρχομένων, τοῦτο δὴ σκεπτέον, εἰ ἑτέρους εἶναι δεῖ τοὺς ἄρχοντας καὶ τοὺς ἀρχομένους ἢ τοὺς αὐτοὺς διὰ βίου· δῆλον γὰρ ὡς ἀκολουθεῖν δεήσει καὶ τὴν παιδείαν κατὰ τὴν διαίρεσιν ταύτην. εἰ μὲν τοίνυν εἴησαν τοσοῦτον διαφέροντες ἅτεροι τῶν ἄλλων ὅσον τοὺς θεοὺς καὶ τοὺς ἥρωας ἡγούμεθα τῶν ἀνθρώπων διαφέρειν, εὐθὺς πρῶτον κατὰ τὸ σῶμα πολλὴν ἔχοντες ὑπερβολήν, εἶτα κατὰ τὴν ψυχήν, ὥστε ἀναμφισβήτητον εἶνα καὶ φανερὰν τὴν ὑπεροχὴν τοῖς ἀρχομένοις τὴν τῶν ἀρχόντων, δῆλον ὅτι βέλτιον ἀεὶ τοὺς αὐτοὺς τοὺς μὲν ἄρχειν τοὺς δ' ἄρχεσθαι καθάπαξ· (2) ἐπεὶ δὲ τοῦτ' οὐ ῥάιδιον λαβεῖν οὐδ' ἔστιν ὥσπερ ἐν Ἰνδοῖς φησι Σκύλαξ εἶναι τοὺς βασιλέας τοσοῦτον διαφέροντας τῶν ἀρχομένων, φανερὸν ὅτι διὰ πολλὰς αἰτίας ἀναγκαῖον πάντας ὁμοίως κοινωνεῖν τοῦ κατὰ μέρος ἄρχειν καὶ ἄρχεσθαι.

6 (3) Harpokr. s.v. ὑπὸ γῆν οἰκοῦντες· ‹Ἀντιφῶν ἐν τῶι Περὶ ὁμονοίας (*Vorsokr.* 87 [80] B 47)›. λέγοι ἂν τοὺς ὑπὸ Σκύλακος ἐν τῶι Περίπλωι λεγομένους Τρωγλοδύτας καὶ τοὺς ὑπὸ Ἡσιόδου ἐν γ̄ Καταλόγωι (F 60 Rz) Κατουδαίους ὀνομαζομένους. [Ἀντιφῶν ἐν τῶι Περὶ ὁμονοίας].

7 (4-5) **a**) Philostrat. *V.A.* 3, 47: τοὺς δὲ Πυγμαίους οἰκεῖν μὲν ὑπογείους, κεῖσθαι δὲ ὑπὲρ τὸν Γάγγην, ζῶντας τρόπον ὃς πᾶσιν εἴρηται. Σκιάποδας δὲ ἀνθρώπους ἢ Μακροκεφάλους ἢ ὁπόσα Σκύλακος ξυγγραφαὶ περὶ τούτων ᾄδουσιν, οὔτε ἄλλοσέ ποι βιοτεύειν τῆς γῆς οὔτε μὴν ἐν Ἰνδοῖς. **b**) Tzetz. *Chil.* 7, 629: Καρυανδέως Σκύλακος ὑπάρχει τι βιβλίον / [630] περὶ τὴν Ἰνδικὴν γράφον ἀνθρώπους πεφυκέναι, / οὕσπερ φασὶ Σκιάποδας, καί γε τοὺς Ὠτολίκνους· / ὧν οἱ Σκιάποδες πλατεῖς ἔχουσιν ἄγαν πόδας, / καιρῶι τῆς μεσημβρίας δὲ πρὸς γῆν καταπεσόντες, / τοὺς πόδας ἀνατείναντες σκιὰν αὐτοῖς ποιοῦσι· / μεγάλα δ' οἱ Ὠτόλικνοι τὰ ὦτα κεκτημένοι / ὁμοίως σκέπουσιν αὐτοὺς τρόπωι τῶν σκιαδείων. / ὁ Σκύλαξ

---

2 τοῦ Ἰνδοῦ om. E (add. E^mg); glosse (des Polemon, des Athenaios, oder eines lesers) 6 χρησμὸν C (-ὸς E^mg) χρημαμὸς E 12 δή: ἤδη ΓM^a εἶναι (corr. δή) P^1 16 ἔχοντες Richards ἔχοντας o 16-20 ὑπερβολήν, ‹ὥσπερ ἐν Ἰνδοῖς – ἀρχομένων› – λαβεῖν [οὐδ' ἔστιν ἀρχομένων], φανερὸν (an falscher stelle eingedrungene randnotiz des Aristoteles oder eines lesers)? 22-25 transp. Bkr 24 καταλόγωι Harp -γου Epit, v 25 Κατουδαίους Epit κατουδέους (κατὰ τοῦ δέους AB) Harp Ἀ. – ὁμονοίας om. Epit καὶ ἀντιφῶν – ὁμονοίας B 28 καὶ Μακρ.?

οὗτος γράφει δὲ καὶ ἕτερα μυρία / περί γε Μονοφθάλμων τε καὶ τῶν 'Ενοτικτόντων / καὶ ἐκτραπέλων ἄλλων δὲ μυρίων θεαμάτων. / [640] ταῦτά φησι δ' ὡς ἀληθῆ μηδὲ τῶν ἐψευσμένων· / ἐγὼ τῆι ἀπειρίαι δὲ ταῦτα ψευδῆ νομίζω. / ὅτι δ' εἰσὶ τῶν ἀληθῶν, ἄλλοι φασὶ μυρίοι / τοιαῦτα καὶ καινότερα θεάσασθαι ἐν βίωι, / Κτησίας (688 F 51) καὶ 'Ιάμβουλος κτλ.

II. DER PERIPLOGRAPH

(T 2; 5-6)

8 (5) AVIEN. *Or. mar.* 370: *sed ad columnas quidquid interfunditur / undae aestuantis stadia septem vix ait / Damastus* (5 F 2) *esse; Caryandaeus Scylax / medium fluentum inter columnas adserit / tantum patere quantus aestus Bosporo est.*

9 (4) SCHOL. APOLL. RHOD. 4, 1215: Νεσταίους τε καὶ Ὤρικον] τοὺς Νεσταίους Σκύλαξ φησὶν ἔθνος 'Ιλλυρικόν· <<ἀπὸ τούτων παράπλους ἐστὶν εἰς τὸν κόλπον * *>>. καὶ 'Ερατοσθένης ἐν γ̄ Γεωγραφουμένων (p. 356 Berger) φησί· <<μετὰ 'Ιλλυριοὺς Νεσταῖοι, καθ' οὓς νῆσος Φάρος, Παρίων ἄποικος>>.

10 (2) SCHOL. APOLL. RHOD. 1, 1177/8a: Κιανίδος ἤθεα γαίης / ἀμφ' 'Αργανθώνειον ὄρος προχοάς τε Κίοιο. τοὺς μὲν εὐξείνως Μυσοὶ ... δειδέχατ', ἐνναέται κείνης χθονός] περιφραστικῶς τὴν Κίον. ἔστι δὲ πόλις Μυσίας ἀπὸ Κίου τοῦ ἀφηγησαμένου τῆς Μιλησίων ἀποικίας, ὡς ἱστορεῖ 'Αριστοτέλης ἐν Κιανῶν πολιτείαι (IV). κατῴκησαν δὲ αὐτὴν πρῶτον Μυσοί, ἔπειτα Κᾶρες, τρίτον Μιλήσιοι. καὶ ποταμὸς δέ ἐστιν οὕτως ὀνομαζόμενος, τὴν πόλιν περιρρέων, οὗ μνημονεύει Σκύλαξ ὁ Καρυανδεύς.

11 (1) STRABON 12, 4, 8, p. 566: ὅτι δ' ἦν κατοικία Μυσῶν ἡ Βιθυνία πρῶτον μαρτυρήσει Σκύλαξ ὁ Καρυανδεύς, φήσας περιοικεῖν τὴν 'Ασκανίαν λίμνην Φρύγας καὶ Μυσούς, ἔπειτα Διονύσιος ὁ τὰς Κτίσεις συγγράψας (IV) ..... ὅ τε Εὐφορίων (F 85 Scheidw) ... καὶ ὁ Αἰτωλὸς 'Αλέξανδρος (F 4 Diehl) ... τὸ αὐτὸ ἐκμαρτυροῦσιν, οὐδαμοῦ τῆς 'Ασκανίας λίμνης εὑρισκομένης ἀλλ' ἐνταῦθα μόνον.

12 (3) STRABON 13, 1, 4 p. 582/3: εὐθὺς γὰρ ἐπὶ τῶν κατὰ τὴν Προποντίδα τόπων ὁ μὲν Ὅμηρος (*Il.* B 824/7) ἀπὸ Αἰσήπου τὴν ἀρχὴν ποιεῖται τῆς Τρῳάδος· Εὔδοξος (V) δὲ ἀπὸ Πριάπου καὶ 'Αρτάκης ... συστέλλων ἐπ' ἔλαττον τοὺς ὅρους· Δαμάστης (5 F 9) δ' ἔτι μᾶλλον συστέλλει, ἀπὸ Παρίου ... Χάρων δ' ὁ Λαμψακηνὸς (262 F 18)

1-2 'Ενοτικτόντων (Ktesias 688 F 45 § 50) Kiessling 'Ενωτοκοίτων o 6 ff.: s. Komm. 9 *stadia* Pithou *studia* Av *Damastus* (T 5) Pithou *-scus* Av *Caryandaeus* Heinsius *cariae dictus* (*caryandinus* O) Av *Caryandenus* Mei 13 παράπλους Keil περίπλους L om. P 14 κόλπον (spat. vac. F): κόλπον <Μάνιον> Vossius <Μάνιον> κόλπον Mue κόλπον <ἡμέρας μιᾶς> Hoelzlin κ. <τὸν Μάν.ον ἡμέρας μιᾶς>? cf. Ps. Skylax 23 Νέστοι] ἀπὸ δὲ Νέστου (*scil.* ποταμοῦ) πλοῦς ἐστι κολπώδης· καλεῖται δὲ Μάνιος ἅπας οὗτος ὁ κόλπος· παράπλους δέ ἐστιν ἡμέρας μιᾶς 15 Παρίων Mue Φαρίων o 20-22 ἔστι δὲ καὶ ποτ. ὁμώνυμος (Syl -ως A) τῆς Μυσίας περιρρέων (Wendel παρα- A) τὴν γῆν (Syl τῆι γῆι A) Et. Gen. s.v. Κιανίς; cf. Ps. Skylax 93 Κίος πόλις καὶ Κίος ποταμός 23 ἡ Βιθυνία <πρότερον> Cor 24 πρῶτον: πρότερον ς Καρυανδεύς Cas -δρεύς D[1] χορυανδρεύς CD[2] x χυριανδρεύς E 30 τοῦ Αἰσήπου D 31 τοὺς ὅρους Xyl τοῦ ὅρους o 32 συστέλλει: συστέλλων Kramer

τριακοσίους ἄλλους ἀφαιρεῖ σταδίους, ἀπὸ Πρακτίου ἀρχόμενος ... Σκύλαξ δὲ ὁ Καρυανδεὺς ἀπὸ Ἀβύδου ἄρχεται· ὁμοίως δὲ τὴν Αἰολίδα Ἔφορος (70 F 163) μὲν λέγει ἀπὸ Ἀβύδου μέχρι Κύμης· ἄλλοι δ' ἄλλως.

13 (6) Konstant. Porph. *De them.* 1, 2: τὸ θέμα τὸ καλούμενον Ἀρμενιακὸν οὐ κύριον ἔχει τὸ ὄνομα, οὐδὲ ἀρχαία τίς ἐστιν ἡ τούτου προσηγορία ... οὔτε γὰρ Στράβων τῆς τοιαύτης ὀνομασίας ἐμνήσθη ... οὔτε Μένιππος ὁ τοὺς σταδιασμοὺς τῆς ὅλης κατοικουμένης ἀπογραψάμενος οὔτε μὴν Σκύλαξ ὁ Καρυανδηνὸς οὔτε Παυσανίας οὔτε ἄλλος τις τῶν ἱστορίας γεγραφότων.

III. ΤΑ ΚΑΤΑ ΗΡΑΚΛΕΙΔΗΝ ΤΟΝ ΜΥΛΑΣΣΩΝ ΒΑΣΙΛΕΑ

(T 1)

—. KTESIAS VON KNIDOS

Nach 398/7

ΙΝΔΙΚΑ Α̅

688 F 45-52.

710. TAURON

(s. IV 1ª?)

T

1 (–) Plin. *N.H.* 1, 7: *gentium mirabiles figurae ..... ex auctoribus ..... externis ... Megasthene* (715), *Ctesia* (688), *Taurone, Eudoxo* (V), *Onesicrito* (134), *Clitarcho* (137) ....

F

‹ΙΝΔΙΚΑ ??›

1 (–) Plin. *N.H.* 7, 24: (Megasthenes 715 F 28; Ktesias 688 F 51a) *Choromandarum gentem vocat Tauron silvestrem, sine voce, stridoris horrendi, hirtis corporibus, oculis glaucis, dentibus caninis. Eudoxus* (V) *in meridianis Indiae viris plantas esse cubitales, feminis adeo parvas, ut Struthopodes appellentur.* (Megasthenes 715 F 29).

—. NEARCHOS VON KRETA

ca. 315ª

‹ΠΑΡΑΠΛΟΥΣ ΤΗΣ ΙΝΔΙΚΗΣ?›

No. 133.

711. ANDROSTHENES VON THASOS

Nach 325/4ª

T

1 (*Script. Rer. Al. M.* p. 72) Arrian. *Ind.* 18, 4 (= Nearchos 133 F 1: die trierarchen der Indusflotte): ἐκ δὲ Ἀμφιπόλεως ἦγον οἵδε· [ἐκ Κρήτης]

2 ἀπὸ Ἀβύδου: anders Ps. Skylax 94/5 32 [ἐκ Κ.] Schmieder

Νέαρχος Ἀνδροτίμου, ὃς τὰ ἀμφὶ τῶι παράπλωι ἀνέγραψε, καὶ Λαομέδων Λαρίχου καὶ Ἀνδροσθένης Καλλιστράτου.

2 STRABON 16, 3, 2 p. 766: Ἀνδροσθένη (F 2) λέγειν φησὶ (Eratosthenes) τὸν Θάσιον, τὸν καὶ Νεάρχωι συμπλεύσαντα <καὶ τὴν Ἀράβων χώραν παραπλεύσαντα> καθ' αὑτόν.

3 ARRIAN. *Anab.* 7, 20, 7 (= ARISTOBULOS 139 F 55): ταυτὶ ἀπηγγέλθη Ἀλεξάνδρωι τὰ μὲν πρὸς Ἀρχίου (V), ὃς ξὺν τριακοντόρωι ἐκπεμφθεὶς ἐπὶ κατασκοπὴν τοῦ παράπλου τοῦ ὡς ἐπὶ τοὺς Ἄραβας μέχρι μὲν τῆς νήσου τῆς Τύλου ἦλθε, τὸ πρόσω δὲ οὐκέτι περαιωθῆναι ἐτόλμησεν. Ἀνδροσθένης δὲ ξὺν ἄλληι τριακοντόρωι σταλεὶς καὶ τῆς χερρονήσου τι τῶν Ἀράβων παρέπλευσε. μακροτάτω δὲ τῶν ἐκπεμφθέντων προὐχώρησεν Ἱέρων ὁ Σολεὺς ὁ κυβερνήτης (V) .... (s. 677 F 1).

4 MARCIAN. *Epit. Peripl. Menipp.* 2: (in der aufzählung der periplographen 709 T 6) Ἀνδροσθένης ὁ Θάσιος.

F

ΠΑΡΑΠΛΟΥΣ ΤΗΣ ΙΝΔΙΚΗΣ

1 (1) ATHEN. 3, 45 p. 93 A-C: περὶ δὲ τῶν κατὰ τὴν Ἰνδικὴν γινομένων ὀστρέων — οὐ γὰρ ἄκαιρον καὶ τούτων μνησθῆναι διὰ τὴν τῶν μαργαριτῶν χρῆσιν — Θεόφραστος μὲν ἐν τῶι Περὶ λίθων (6, 36) γράφει οὕτως· «τῶν θαυμαζομένων δὲ λίθων ἐστὶν καὶ ὁ μαργαρίτης καλούμενος, διαφανὴς μὲν τῆι φύσει, ποιοῦσι δ' ἐξ αὐτοῦ τοὺς πολυτελεῖς ὅρμους. γίνεται δ' ἐν ὀστρέωι τινὶ παραπλησίωι ταῖς πίνναις, πλὴν ἐλάττονι· μέγεθος δὲ ἡλίκον ἰχθύος ὀφθαλμὸς εὐμεγέθης». Ἀνδροσθένης δ' ἐν τῶι τῆς Ἰνδικῆς Παράπλωι γράφει οὕτως· «τῶν δὲ στρόμβων καὶ χοιρίνων καὶ τῶν λοιπῶν κογχυλίων ποικίλαι αἱ ἰδέαι καὶ πολὺ διάφοροι τῶν παρ' ἡμῖν. γίνονται δὲ πορφύραι τε καὶ ὀστρέων πολὺ πλῆθος τῶν λοιπῶν, ἓν δὲ ἴδιον ὃ καλοῦσιν ἐκεῖνοι βέρβερι, ἐξ οὗ ἡ μαργαρῖτις λίθος γίνεται. αὕτη δ' ἐστὶ πολυτελὴς κατὰ τὴν Ἀσίαν καὶ πωλεῖται περὶ Πέρσας τε καὶ τοὺς ἄνω τόπους πρὸς χρυσίον. ἔστι δ' ἡ μὲν τοῦ ὀστρέου ὄψις παραπλησία τῶι κτενί· οὐ διέγλυπται δέ, ἀλλὰ λεῖον τὸ ὄστρακον ἔχει καὶ δασύ, οὐδὲ ὦτα ἔχει δύο ὥσπερ ὁ κτεὶς ἀλλὰ ἕν. ἡ δὲ λίθος γίνεται ἐν τῆι σαρκὶ τοῦ ὀστρέου

---

1 Λαομέδων Schmieder λαμπεδων (so!) A 3 φησὶ ς Cor φασὶ ο 4-5 <καὶ τ. Ἀ. χώραν (παραλίαν Groskurd) παρ.> Letronne 5 κατ' αὐτὸ x 6 ταυτί: ταῦτ' Sintenis 14 Θάσιος Vossius ἰάσιος P 20 θαυμαζομένων: σπουδαζομένων Th(eophr); cf. p. 594, 10 22-23 πλὴν – εὐμεγέθης om. Th φέρει δὲ ἥ τε Ἰνδικὴ χώρα καὶ νῆσοί τινες τῶν ἐν τῆι Ἐρυθρᾶι add. Th 25 ποικίλαι αἱ ἰδέαι Cor αἱ ποικίλαι ἠδεῖαι o 26 πορφύραι ς -ρα A 29 παρὰ πέρσας CE 29-32: cf. Juba 275 F 71

ὥσπερ ἐν τοῖς συείοις ἡ χάλαζα, καί ἐστιν ἡ μὲν χρυσοειδὴς σφόδρα, ὥστε μὴ ῥαιδίως διαγνῶναι ὅταν παρατεθῆι παρὰ τὸ χρυσίον, ἡ δὲ ἀργυροειδής, ἡ δὲ τελέως λευκή, ὁμοία τοῖς ὀφθαλμοῖς τῶν ἰχθύων». Χάρης δ' ὁ Μιτυληναῖος ἐν ἑβδόμηι τῶν Περὶ Ἀλέξανδρον ἱστοριῶν (125 F 3) φησι· «θηρεύεται δὲ κατὰ τὴν Ἰνδικὴν θάλασσαν, ὡσαύτως δὲ καὶ κατὰ τὴν Ἀρμενίαν καὶ Περσικὴν καὶ Σουσιανὴν καὶ Βαβυλωνίαν, παρόμοιον ὀστρέωι· τὸ δ' ἐστὶν ἁδρὸν καὶ πρόμηκες, ἔχον ἐν αὑτῶι σάρκα καὶ μεγάλην καὶ λευκήν, εὐώδη σφόδρα. ἐξ ὧν ἐξαιροῦντες ὀστᾶ λευκὰ προσαγορεύουσι μὲν μαργαρίτην, κατασκευάζουσι δ' ἐξ αὐτῶν ὁρμίσκους τε καὶ ψέλια περὶ τὰς χεῖρας καὶ τοὺς πόδας· περὶ ἃ σπουδάζουσιν Πέρσαι καὶ Μῆδοι καὶ πάντες Ἀσιανοὶ πολὺ μᾶλλον τῶν ἐκ χρυσίου γεγενημένων». Isidoros von Charax 781 F 1. (46)

OHNE BUCHTITEL

2 (2) STRABON 16, 3, 2 p. 765/7: ὁ μὲν οὖν Περσικὸς κόλπος λέγεται καὶ ἡ κατὰ Πέρσας θάλαττα. φησὶ δὲ περὶ αὐτῆς Ἐρατοσθένης (V) [οὕτως] ὅτι τὸ μὲν στόμα φασὶν εἶναι στενὸν οὕτως ὥστ' ἐξ Ἁρμόζων, τοῦ τῆς Καρμανίας ἀκρωτηρίου, τῆς Ἀραβίας ἀφορᾶται τὸ ἐν Μάκαις. ἀπὸ δὲ τοῦ στόματος ἡ ἐν δεξιᾶι παραλία περιφερὴς οὖσα κατ' ἀρχὰς μὲν ἀπὸ τῆς Καρμανίας πρὸς ἕω μικρόν, εἶτα πρὸς ἄρκτον νεύει, καὶ μετὰ ταῦτα πρὸς τὴν ἑσπέραν μέχρι Τερηδόνος καὶ τῆς ἐκβολῆς τοῦ Εὐφράτου, περιέχει δὲ τήν τε Καρμανίων παραλίαν καὶ τὴν Περσῶν καὶ Σουσίων καὶ Βαβυλωνίων ἀπὸ μέρους, ὅσον μυρίων οὖσα σταδίων, περὶ ὧν καὶ ἡμεῖς εἰρήκαμεν (15, 2, 14)· τὸ δ' ἐντεῦθεν ἑξῆς ἐπὶ τὸ στόμα πάλιν ἄλλοι τοσοῦτοι, καθάπερ καὶ Ἀνδροσθένη λέγειν φησὶ τὸν Θάσιον, τὸν καὶ Νεάρχωι συμπλεύσαντα <καὶ τὴν Ἀράβων χώραν παραπλεύσαντα> καθ' αὑτόν, ὥστε δῆλον ἐκ τούτων εἶναι, διότι μικρὸν ἀπολείπεται τῶι μεγέθει τῆς κατὰ τὸν Εὔξεινον θαλάττης αὕτη ἡ θάλαττα. λέγειν δέ φησιν ἐκεῖνον περιπεπλευκότα στόλωι τὸν κόλπον, ὅτι ἀπὸ Τερηδόνος ἑξῆς ἐν δεξιᾶι ἔχοντι τὴν ἤπειρον ὁ παράπλους ἔχει προκειμένην νῆσον Ἴκαρον· καὶ ἱερὸν Ἀπόλλωνος ἅγιον ἐν αὐτῆι καὶ μαντεῖον Ταυροπόλου.

1 συείοις v συΐοις A ὑείοις CE   9 μαργαρίτην A -τας CEv   15 αὐτῆς: αὐτοῦ F   [οὕτως] Jac   16 φασὶν Tzschucke φησὶν o   ἐξαρμόζων CEF$D^{c}x^{ac}$ ἐναρμόζωντο D^{ac} ἐξ Ἁρμόζοντος (Ammian. 23, 6, 10) Cas ἐξ Ἁρμόζου (Ptolem. 6, 8, 5 Ἅρμουζα πόλις, Ἅρμοζον ἄκρον [Ἁρμόζων Kiessling *RE* VII col. 2391]) Cor (cf. Ἁρμόζων ἀκρωτήριον Marcian. *Peripl. M. ext.* 1, 27) ἐξ ἁρμόζον Epit (x^{c}) cf. χῶρος Ἁρμόζεια Nearch. 133 F 1 c. 33, 2; F 14; Ἅρμουζα πόλις Marcian, Ptol   19 τὴν om. E   22 οὖσα D οὖσαν r   24 φησὶ ς Cor φασὶ o   25 < > Letronne   27 φασιν Tzschucke   29 ἴκαρον E (Aristobul. 139 F 55 u.a.) ἰκάριον r   30 αὐτῆι: αὐτῶι D   ταυροπώλου C

(3) παραπλεύσαντι δὲ τῆς Ἀραβίας εἰς δισχιλίους καὶ τετρακοσίους σταδίους ἐν βαθεῖ κόλπωι κεῖται πόλις Γέρρα, Χαλδαίων φυγάδων ἐκ Βαβυλῶνος οἰκούντων γῆν ἁλμυρίδα καὶ ἐχόντων ἁλίνας τὰς οἰκίας, ἃς ἐπειδὴ λεπίδες τῶν ἁλῶν ἀφιστάμεναι κατὰ τὴν ἐπίκαυσιν τὴν ἐκ τῶν ἡλίων συνεχεῖς ἀποπίπτουσι, καταρραίνοντες ὕδασι πυκνὰ τοὺς τοίχους συνέχουσι· διέχει δὲ τῆς θαλάττης διακοσίους σταδίους ἡ πόλις. πεζέμποροι δ' εἰσὶν οἱ Γερραῖοι τὸ πλέον τῶν Ἀραβίων φορτίων [καὶ ἀρωματικῶν]. Ἀριστόβουλος (139 F 57) δὲ τοὐναντίον φησὶ τοὺς Γερραίους τὰ πολλὰ σχεδίαις εἰς τὴν Βαβυλωνίαν ἐμπορεύεσθαι, ἐκεῖθεν δὲ τῶι Εὐφράτηι τὰ φορτία ἀναπλεῖν εἰς Θάψακον, εἶτα πεζῆι κομίζεσθαι πάντηι. (4) πλεύσαντι δ' ἐπὶ πλέον ἄλλαι νῆσοι Τύρος καὶ Ἄραδός εἰσιν, ἱερὰ ἔχουσαι τοῖς Φοινικικοῖς ὅμοια· καί φασί γε οἱ ἐν αὐταῖς οἰκοῦντες τὰς ὁμωνύμους τῶν Φοινίκων νήσους καὶ πόλεις ἀποίκους ἑαυτῶν. διέχουσι δὲ αἱ νῆσοι αὗται Τερηδόνος μὲν δεχήμερον πλοῦν, τῆς δὲ κατὰ τὸ στόμα ἄκρας τῆς ἐν Μάκαις ἡμερήσιον. (5) ἀπὸ δὲ τῆς Καρμανίας εἰρήκασι καὶ Νέαρχος (133 F 27) καὶ Ὀρθαγόρας (713 F 5) νῆσον † τυρίνην κεῖσθαι πρὸς νότον πελαγίαν ...... (6) καθ' ὅλην δὲ τὴν τῆς Ἐρυθρᾶς παραλίαν κατὰ βυθοῦ φύεται δένδρα ὅμοια δάφνηι καὶ ἐλαίαι, ταῖς μὲν ἀμπώτεσιν ὅλα ὑπερφανῆ γιγνόμενα, ταῖς δὲ πλημμυρίσιν ἔσθ' ὅτε ὅλα καλυπτόμενα, καὶ ταῦτα τῆς ὑπερκειμένης γῆς ἀδένδρου οὔσης, ὥστε ἐπιτείνεσθαι τὸ παράδοξον.

περὶ μὲν οὖν τῆς κατὰ Πέρσας θαλάττης, ἣν ἑώιαν πλευρὰν ἔφαμεν (16, 3, 1) εἶναι τῆς Εὐδαίμονος Ἀραβίας, τοιαῦτα εἴρηκεν Ἐρατοσθένης.

3 (3) Theophrast. *De caus. plant.* 2, 5, 5: καὶ τὰ μὲν ἁλυκὰ τοῖς τοιούτοις πρόσφορα διὰ τὴν εἰρημένην αἰτίαν. εἰ δ' ἀληθὲς ὃ ἔλεγεν Ἀνδροσθένης ὑπὲρ τῶν ἐν Τύλωι τῆι νήσωι τῆι περὶ τὴν Ἐρυθρὰν θάλατταν, F 4
ὅτι τὰ ναματιαῖα μᾶλλον συμφέρει τῶν οὐρανίων ἁλυκὰ ὄντα καὶ τοῖς δένδροις καὶ πᾶσι τοῖς ἄλλοις, δι' ὃ καὶ ὅταν ὕσηι τούτοις ἀποβρέχειν, αἰτιάσαιτ' ἄν τις τὴν συνήθειαν· τὸ γὰρ ἔθος ὥσπερ φύσις γέγονε. συμβαίνει δὲ τὰ μὲν οὐράνια σπάνια γίνεσθαι, τούτοις δ' ἐκτρέφεσθαι καὶ τὰ δένδρα καὶ τὸν σῖτον καὶ τἆλλα, δι' ὃ καὶ πᾶσαν ὥραν σπείρουσι. ταῦτα μὲν οὖν ὡς ἐξ ὑποθέσεως εἰρήσθω.

ANHANG

***4** (–) Theophrast. *Hist. Plant.* 4, 7, 3: οἱ δὲ ὅτε ἀνάπλους ἦν τῶν ἐξ

2 φυγάδων om. E   3 γῆν Groskurd τὴν o   [ἃς] ἐπεὶ δὲ Cor   7 [καὶ ἀ.] Jac καὶ ἀρωμάτων ςv   9 τὰ φορτία om. x   11 φοινικοῖς CD φοινικίοις x   οἱ ἐνοικοῦντες E   15: s. app. p. 602, 29   17 φύεται: φαίνεται E   19 ἐπιτείνεσθαι Cas ἐπιγίνεσθαι o   25-26 [καὶ] τοῖς Wimmer   27 ἀποβρέχειν Schneider εἰ παρέχειν UMAld   28 συμβαίνει γὰρ?   32-p. 596, 2: § 3-6 s. Nearchos 133 F 34; § 7-8 und F 5 s. Capelle *RE* XVI 2, 1935, col. 2148; Regenbogen *ebd.* Suppl. VII, 1940, col. 1462 ff.; Strasburger *Herm.* 80, 1952, p. 462 ff.

Ἰνδῶν ἀποσταλέντων ὑπὸ Ἀλεξάνδρου, τὰ ἐν τῆι θαλάττηι φυόμενα ..... φασίν ..... (7) ἐν Τύλωι δὲ τῆι νήσωι — κεῖται δ' αὕτη ἐν τῶι Ἀραβίωι κόλπωι τὰ μὲν πρὸς ἕω — τοσοῦτο πλῆθος εἶναί φασι δένδρων ὅτ' ἐκβαίνει ἡ πλημμυρίς, ὥστ' ἀπηχυρῶσθαι· πάντα δὲ ταῦτα μεγέθη μὲν ἔχειν ἡλίκα συκῆ, τὸ δὲ ἄνθος ὑπερβάλλον τῆι εὐωδίαι, καρπὸν δὲ ἄβρωτον ὅμοιον τῆι ὄψει τῶι θέρμωι. φέρειν δὲ τὴν νῆσον καὶ τὰ δένδρα τὰ ἐριοφόρα πολλά. ταῦτα δὲ φύλλον μὲν ἔχειν παρόμοιον τῆι ἀμπέλωι πλὴν μικρόν, καρπὸν δὲ οὐδένα φέρειν· ἐν ὧι δὲ τὸ ἔριον ἡλίκον μῆλον ἐαρινὸν συμμεμυκός· ὅταν δὲ ὡραῖον ἦι, ἐκπετάννυσθαι καὶ ἐξείρειν τὸ ἔριον, ἐξ οὗ τὰς σινδόνας ὑφαίνουσι, τὰς μὲν εὐτελεῖς τὰς δὲ πολυτελεστάτας. γίνεται δὲ τοῦτο καὶ ἐν Ἰνδοῖς, ὥσπερ ἐλέχθη, καὶ ἐν Ἀραβίαι. (8) εἶναι δὲ ἄλλα δένδρα τὸ ἄνθος ἔχοντα ὅμοιον τῶι λευκοίωι πλὴν ἄοδμον, τῶι μεγέθει καὶ τετραπλάσιον τῶν ἴων. καὶ ἕτερον δέ τι δένδρον πολύφυλλον ὥσπερ τὸ ῥόδον· τοῦτο δὲ τὴν μὲν νύκτα συμμύειν, ἅμα δὲ τῶι ἡλίωι ἀνιόντι διοίγνυσθαι, μεσημβρίας δὲ τελέως διεπτύχθαι, πάλιν δὲ τῆς δείλης συνάγεσθαι κατὰ μικρὸν καὶ τὴν νύκτα συμμύειν· λέγειν δὲ καὶ τοὺς ἐγχωρίους ὅτι καθεύδει. γίνεσθαι δὲ καὶ φοίνικας ἐν τῆι νήσωι καὶ ἀμπέλους καὶ τἆλλα ἀκρόδρυα καὶ συκᾶς οὐ φυλλορροούσας. ὕδωρ δὲ οὐράνιον γίνεσθαι μέν, οὐ μὴν χρῆσθαί γε πρὸς τοὺς καρπούς, ἀλλ' εἶναι κρήνας ἐν τῆι F 3 νήσωι πολλάς, ἀφ' ὧν πάντα βρέχειν, ὃ καὶ συμφέρειν μᾶλλον τῶι σίτωι καὶ τοῖς δένδρεσιν· δι' ὃ καὶ ὅταν ὕσηι, τοῦτο ἐπαφιέναι καθαπερεὶ καταπλύνοντας ἐκεῖνο.

*5 (–) THEOPHRAST. *Hist. Plant.* 5, 4, 7: ἐν Τύλωι δὲ τῆι νήσωι τῆι περὶ τὴν Ἀραβίαν εἶναί τί φασι ξύλον, ἐξ οὗ τὰ πλοῖα ναυπηγοῦνται· τοῦτο δὲ ἐν μὲν τῆι θαλάττηι σχεδὸν ἄσηπτον εἶναι (διαμένει γὰρ ἔτη πλείω ἢ διακόσια καταβυθιζόμενον)· ἐὰν δὲ ἔξω, χρόνιον μέν, θᾶττον δὲ σήπεται. θαυμαστὸν δὲ καὶ ἕτερον λέγουσι, οὐδὲν δὲ πρὸς τὴν σῆψιν· εἶναι γάρ τι δένδρον, ἐξ οὗ τὰς βακτηρίας τέμνεσθαι· καὶ γίνεσθαι καλὰς σφόδρα, ποικιλίαν τινὰ ἐχούσας ὁμοίαν τῶι τοῦ τίγριος δέρματι. βαρὺ δὲ σφόδρα τὸ ξύλον τοῦτο· ὅταν δέ τις ῥίψηι πρὸς στερεώτερον τόπον, κατάγνυσθαι καθάπερ τὰ κεράμια. (8) καὶ τὸ τῆς μυρίκης δὲ ξύλον οὐχ ὥσπερ ἐνταῦθα ἀσθενὲς ἀλλ' ἰσχυρὸν ὥσπερ πρίνινον ἢ καὶ ἄλλο τι τῶν ἰσχυρῶν. τοῦτο μὲν οὖν ἅμα μηνύει χώρας τε καὶ ἀέρος διαφορὰς καὶ δυνάμεις. τῶν δὲ ὁμογενῶν ξύλων οἷον δρυίνων πευκίνων ὅταν ταριχεύωνται — ταριχεύουσι γὰρ οὐκ ἐν ἴσωι βάθει πάντα δύοντες τῆς θαλάττης, ἀλλὰ τὰ μὲν πρὸς αὐτῆι τῆι γῆι τὰ δὲ μικρὸν ἀνωτέρω τὰ δ' ἐν πλείονι βάθει — πάντων δὲ τὰ πρὸς τὴν ῥίζαν θᾶττον δύεται καθ' ὕδατος, κἂν ἐπινῆι, μᾶλλον ῥέπει κάτω.

---

2 ἀραβικῶι Ald 9 ἐξείρειν Wimmer ἐξαιείρειν Par. 1823 ἐξαίρειν Ald 17 οὐ φυλλορροούσας Wimmer αἱ φυλλορροοῦσιν Ald 29 κατάγνυσθαι U καταρίγνεσθαι M -νησθαι V 35-36 κἂν – κάτω U καὶ ἐπινεῖ μᾶλλον Ald

712. PATROKLES

Vor 281/0ª

T

1 (II 442) DIODOR. 19, 100, 5 (a. 312/1): ὁ μὲν οὖν Δημήτριος (Poliorketes) ὁρμήσας ἐκ Δαμασκοῦ τῆς Συρίας τὸ συνταχθὲν ὑπὸ τοῦ πατρὸς ἐπετέλει μετὰ σπουδῆς, ὁ δὲ καθεσταμένος ὑπὸ Σελεύκου τῆς Βαβυλωνίας στρατηγὸς Πατροκλῆς πυθόμενος περὶ Μεσοποταμίαν εἶναι τοὺς πολεμίους ὑπομεῖναι μὲν τὴν ἔφοδον αὐτῶν οὐκ ἐτόλμησεν, ὀλίγους ἔχων περὶ αὑτόν, ἀλλὰ τοῖς μὲν ἄλλοις προσέταξεν ἐκλιπεῖν τὴν πόλιν, καὶ τοὺς μὲν αὐτῶν διαβάντας τὸν Εὐφράτην φυγεῖν εἰς τὴν ἔρημον, τοὺς δὲ περάσαντας τὸν Τίγριν ἀπελθεῖν εἰς τὴν Σουσιανὴν πρὸς Εὐτελῆ καὶ τὴν Ἐρυθρὰν θάλατταν, (6) αὐτὸς δὲ μεθ' ὧν εἶχε στρατιωτῶν προβολαῖς χρώμενος <ῥεύμασι> ποταμῶν καὶ διώρυξιν ἀνεστρέφετο περὶ τὴν σατραπείαν, ἅμα μὲν ἐφεδρεύων τοῖς πολεμίοις, ἅμα δὲ πέμπων πρὸς Σέλευκον εἰς Μηδίαν περὶ τῶν ἀεὶ συντελουμένων καὶ παρακαλῶν βοηθεῖν τὴν ταχίστην.

2 PLUTARCH. *Demetr.* 47, 4: (Demetrios schreibt a. 286 von Tarsos aus an Seleukos) ἐπικλασθέντος δέ πως Σελεύκου καὶ γράψαντος τοῖς ἐκεῖ στρατηγοῖς, ὅπως αὐτῶι τε τῶι Δημητρίωι χορηγίαν βασιλικὴν καὶ τῆι δυνάμει τροφὴν ἄφθονον παρέχωσιν, ἐπελθὼν Πατροκλῆς, ἀνὴρ συνετὸς εἶναι δοκῶν καὶ Σελεύκωι φίλος πιστός, οὐ τὸ τῆς δαπάνης ἔφη πλεῖστον εἶναι τῶν Δημητρίου στρατιωτῶν τρεφομένων, ἀλλ' ἐνδιατρίβοντα τῆι χώραι Δημήτριον οὐ καλῶς περιορᾶν αὐτόν, ὃς ἀεὶ βιότατος ὢν καὶ μεγαλοπραγμονέστατος βασιλέων, νῦν ἐν τύχαις γέγονεν, αἳ καὶ τοὺς φύσει μετρίους ἐξάγουσι τολμᾶν καὶ ἀδικεῖν. (5) ἐκ τούτου παροξυνθεὶς ὁ Σέλευκος, ἐξώρμησεν εἰς Κιλικίαν μετὰ πολλῆς δυνάμεως κτλ.

3 STRABON 2, 1, 17 p. 74 (F 4a): ὁ τῶν τόπων ἡγησάμενος τούτων (von Baktrien-Sogdiane? a. 285/1) Πατροκλῆς. **b)** PLIN. *N.H.* 6, 58: *circumvectis etiam in Hyrcanium mare et Caspium Seleuco et Antiocho praefectoque classis eorum Patrocle.* Cf. 721 F 7.

4 MEMNON (PHOT. *Bibl.* 224 p. 227a 4) 434 F 1 c. 9, 1 (a. 280): ὁ δὲ Σελεύκου Ἀντίοχος πολλοῖς πολέμοις, εἰ καὶ μόλις καὶ οὐδὲ πᾶσαν, ὅμως ἀνασωσάμενος τὴν πατρῴαν ἀρχήν, πέμπει στρατηγὸν Πατροκλέα σὺν ἐκστρατεύματι εἰς τὴν ἐπιτάδε τοῦ Ταύρου· ὁ δὲ Ἑρμογένην προσαιρεῖται τὸ γένος Ἀσπένδιον, ὃς ἐπί τε πόλεις ἄλλας καὶ ἐπὶ τὴν Ἡράκλειαν ὥρμητο εἰσβαλεῖν. (2) dieser H. schliesst freundschaft mit Herakleia und fällt dann im kampfe gegen die Bithynier.

5 a) STRABON 2, 1, 2 p. 68 (= Eratosthenes): Πατροκλῆς ὁ μάλιστα πιστεύεσθαι δίκαιος διά τε τὸ ἀξίωμα καὶ διὰ τὸ μὴ ἰδιώτης εἶναι τῶν γεωγραφικῶν φησί (F 2). **b)** – 2, 1, 6 p. 69: καὶ αὐτὴ δὲ ἡ τοῦ Πατροκλέους πίστις ἐκ πολλῶν μαρτυριῶν σύγκειται, τῶν βασιλέων τῶν πεπιστευκότων αὐτῶι τηλικαύτην ἀρχήν, τῶν ἐπακολουθησάντων αὐτῶι, τῶν ἀντιδοξούντων,

---

8 διαβάντας Rhodomannus ἐκλιπόντας ο 9 [πρὸς Εὐτελῆ (om. F)] Steph 'Ἐρυθρὰν: Περσίδα Rhodomannus 10 <ῥεύμασι> Fischer <ῥείθροις> ο. <ποταμοῖς> Hertlein χρώμ. ποταμῶι Madvig 12 προσπέμπων εἰς σελ. πρὸς μηδίαν F 24-26: eher missverstanden als korrupt 26 *phatrocle* DF *phatrod(a)e* Ea 30 ἑρμογένης ς ἀσπέδιον A

ὧν αὐτὸς ὁ Ἵππαρχος κατονομάζει· οἱ γὰρ κατ' ἐκείνων ἔλεγχοι πίστεις τῶν ὑπὸ τούτου λεγομένων εἰσίν. (Es folgt F 1). c) — 2, 1, 9 p. 70: Πατροκλῆς δὲ ἥκιστα τοιοῦτος (*scil.* ψευδολόγος), καὶ οἱ ἄλλοι δὲ μάρτυρες (*scil.* περὶ τῆς Ἰνδικῆς; s. 717 F 2) οὐκ ἀπίθανοι, οἷς κέχρηται ὁ Ἐρατοσθένης (V).

6 Plin. *N.H.* 1, 6: *situs, gentes, maria ... ex auctoribus ... externis Juba rege* (275) ..... *Timosthene* (V), *Patrocle, Demodamante* (428), *Clitarcho* (137), *Eratosthene* ...

F

1 (2) Strabon 2, 1, 6 p. 69: οὐδὲ τοῦτο δὲ ἀπίθανον τοῦ Πατροκλέους, ὅτι φησὶ τοὺς Ἀλεξάνδρωι συστρατεύσαντας ἐπιδρομάδην ἱστορῆσαι ἕκαστα, αὐτὸν δὲ Ἀλέξανδρον ἀκριβῶσαι, ἀναγραψάντων τὴν ὅλην χώραν τῶν ἐμπειροτάτων αὐτῶι· τὴν δὲ ἀναγραφὴν αὐτῶι δοθῆναί φησιν ὕστερον ὑπὸ Ξενοκλέους τοῦ γαζοφύλακος.

2 (1) Strabon 2, 1, 2 p. 68/9: ταῦτα δ' εἰπὼν (*scil.* Ἐρατοσθένης ἐν τῶι τρίτωι τῶν Γεωγραφικῶν) οἴεται δεῖν διορθῶσαι τὸν ἀρχαῖον γεωγραφικὸν πίνακα· πολὺ γὰρ ἐπὶ τὰς ἄρκτους παραλλάττειν τὰ ἑωθινὰ μέρη τῶν ὀρῶν κατ' αὐτόν, συνεπισπᾶσθαι δὲ καὶ τὴν Ἰνδικὴν ἀρκτικωτέραν ἢ δεῖ γινομένην. πίστιν δὲ τούτου φέρει μίαν μὲν τοιαύτην, ὅτι τὰ τῆς Ἰνδικῆς ἄκρα τὰ μεσημβρινώτατα ὁμολογοῦσι πολλοὶ τοῖς κατὰ Μερόην ἀνταίρειν τόποις, ἀπό τε τῶν ἀέρων καὶ τῶν οὐρανίων τεκμαιρόμενοι· ἐντεῦθεν δ' ἐπὶ τὰ βορειότατα τῆς Ἰνδικῆς τὰ πρὸς τοῖς Καυκασίοις ὄρεσι Πατροκλῆς ὁ μάλιστα πιστεύεσθαι δίκαιος διά τε τὸ ἀξίωμα καὶ διὰ τὸ μὴ ἰδιώτης εἶναι τῶν γεωγραφικῶν, φησὶ σταδίους μυρίους καὶ πεντακισχιλίους. ἀλλὰ μὴν καὶ τὸ ἀπὸ Μερόης ἐπὶ τὸν δι' Ἀθηνῶν παράλληλον τοσοῦτόν πώς ἐστιν, ὥστε τῆς Ἰνδικῆς τὰ προσάρκτια μέρη συνάπτοντα τοῖς Καυκασίοις ὄρεσιν εἰς τοῦτον τελευτᾶν τὸν κύκλον. (3) ἄλλην δὲ πίστιν φέρει τοιαύτην, ὅτι τὸ ἀπὸ τοῦ Ἰσσικοῦ κόλπου διάστημα ἐπὶ τὴν θάλατταν τὴν Ποντικὴν τρισχιλίων πώς ἐστι σταδίων πρὸς ἄρκτον ἰόντι καὶ τοὺς περὶ Ἀμισὸν ἢ Σινώπην τόπους, ὅσον καὶ τὸ πλάτος τῶν ὀρῶν λέγεται. ἐκ δὲ Ἀμισοῦ πρὸς τὴν ἰσημερινὴν ἀνατολὴν φερομένωι πρῶτον μὲν ἡ Κολχίς ἐστιν, ἔπειτα ἡ ἐπὶ τὴν Ὑρκανίαν θάλατταν ὑπέρθεσις καὶ ἡ ἐφεξῆς [ἡ] ἐπὶ Βάκτρα καὶ τοὺς ἐπέκεινα Σκύθας ὁδὸς δεξιὰ ἔχοντι τὰ ὄρη· αὕτη δ' ἡ γραμμὴ διὰ Ἀμισοῦ πρὸς δύσιν ἐκβαλλομένη διὰ τῆς Προποντίδος ἐστὶ καὶ τοῦ Ἑλλησ-

---

1 ὧν Cas ὡς ο οἷς Cor   12 αὐτῶι δοθῆναι: *scil.* Πατροκλεῖ; missverstanden von Eust. *Dion. Per.* p. 211, 23 ff. Mue   17 συνεσπᾶσθαι A συνεπισπάσασθαι E συνεπεσπᾶσθαι Cor   καὶ om. E   ἢ δεῖ Groskurd ἤδη ο   24 καὶ τὸν AC δι' Ἀθηνῶν Kramer (p. 100) διὰ θινῶν ο   25 τοσοῦτο A   31 ἐπὶ Xyl ὑπὸ ο [ἡ] Kramer

πόντου. ἀπὸ δὲ Μερόης ἐπὶ τὸν Ἑλλήσποντον οὐ πλείους εἰσὶ τῶν μυρίων καὶ ὀκτακισχιλίων σταδίων, ὅσοι καὶ ἀπὸ τοῦ μεσημβρινοῦ πλευροῦ τῆς Ἰνδικῆς πρὸς τὰ περὶ τοὺς Βακτρίους μέρη, προστεθέντων τρισχιλίων τοῖς μυρίοις καὶ πεντακισχιλίοις, ὧν οἱ μὲν τοῦ πλάτους ἦσαν τῶν ὀρῶν, οἱ δὲ τῆς Ἰνδικῆς. (4) πρὸς δὲ τὴν ἀπόφασιν ταύτην ὁ Ἵππαρχος ἀντιλέγει, διαβάλλων τὰς πίστεις· οὔτε γὰρ Πατροκλέα πιστὸν εἶναι, δυεῖν ἀντιμαρτυρούντων αὐτῶι Δηιμάχου (716) τε καὶ Μεγασθένους (715), οἳ καθ' οὓς μὲν τόπους δισμυρίων εἶναι σταδίων τὸ διάστημά φασι τὸ ἀπὸ τῆς κατὰ μεσημβρίαν θαλάττης, καθ' οὓς δὲ καὶ τρισμυρίων· τούτους γε δὴ τοιαῦτα λέγειν, καὶ τοὺς ἀρχαίους πίνακας τούτοις ὁμολογεῖν. ἀπίθανον δή που νομίζει τὸ μόνωι δεῖν πιστεύειν Πατροκλεῖ, παρέντας † τοσοῦτον ἐπιμαρμυροῦντας αὐτῶι †, καὶ διορθοῦσθαι παρ' αὐτὸ τοῦτο τοὺς ἀρχαίους πίνακας, ἀλλὰ μὴ ἐᾶν οὕτως, ἕως ἄν τι πιστότερον περὶ αὐτῶν γνῶμεν. (5-6: Strabon tritt für Eratosthenes und die πίστις des Patrokles [T 5b] ein).

3 (–) a) STRABON 2, 1, 7 p. 69: ἔτι φησὶν ὁ Ἵππαρχος ἐν τῶι δευτέρωι ὑπομνήματι αὐτὸν τὸν Ἐρατοσθένην διαβάλλειν τὴν τοῦ Πατροκλέους πίστιν ἐκ τῆς πρὸς Μεγασθένη διαφωνίας περὶ τοῦ μήκους τῆς Ἰνδικῆς τοῦ κατὰ τὸ βόρειον πλευρόν, τοῦ μὲν Μεγασθένους λέγοντος (715 F 6 d) σταδίων μυρίων ἑξακισχιλίων, τοῦ δὲ Πατροκλέους χιλίοις λείπειν φαμένου· ἀπὸ γάρ τινος ἀναγραφῆς σταθμῶν (119 F 6) ὁρμηθέντα τοῖς μὲν ἀπιστεῖν διὰ τὴν διαφωνίαν, ἐκείνηι δὲ προσέχειν. εἰ οὖν διὰ τὴν διαφωνίαν ἐνταῦθα ἄπιστος ὁ Πατροκλῆς, καίτοι παρὰ χιλίους σταδίους τῆς διαφορᾶς οὔσης, πόσωι χρὴ μᾶλλον ἀπιστεῖν ἐν οἷς παρὰ ὀκτακισχιλίους ἡ διαφορά ἐστι πρὸς δύο καὶ ταῦτα ἄνδρας συμφωνοῦντας ἀλλήλοις, τῶν μὲν λεγόντων τὸ τῆς Ἰνδικῆς πλάτος δισμυρίων σταδίων, τοῦ δὲ μυρίων καὶ δισχιλίων; b) – 15, 1, 11 p. 689: s. Megasthenes 715 F 6c.

4 (3-4) a) STRABON 2, 1, 17 p. 74: (in der polemik gegen die hinaufschiebung Indiens nach norden: F 2) ἔσται δὲ Βάκτρα καὶ τοῦ στόματος τῆς Κασπίας θαλάττης εἴτε Ὑρκανίας πάμπολύ τι ἀρκτικώτερα, ὅπερ τοῦ μυχοῦ τῆς Κασπίας καὶ τῶν Ἀρμενιακῶν καὶ Μηδικῶν ὀρῶν διέχει περὶ ἑξακισχιλίους σταδίους, καὶ δοκεῖ τῆς αὐτῆς παραλίας μέχρι τῆς Ἰνδικῆς ἀρκτικώτερον εἶναι σημεῖον καὶ περίπλουν ἔχειν ἀπὸ τῆς Ἰνδικῆς δυνατόν, ὥς φησιν ὁ τῶν τόπων ἡγησάμενος τούτων Πατροκλῆς . . . . . b) – 11, 11, 6 p. 518: μέχρι μὲν δὴ τῆς Σογδιανῆς πρὸς ἀνίσχοντα ἥλιον ἰόντι ἀπὸ τῆς Ὑρκανίας γνώριμα ὑπῆρξε τὰ ἔθνη καὶ τοῖς Πέρσαις πρότερον τὰ ἔσω τοῦ Ταύρου καὶ τοῖς Μακεδόσι μετὰ ταῦτα [[καὶ τοῖς Παρθυαίοις]]. τὰ δ' ἐπέκεινα ἐπ' εὐθείας ὅτι μὲν Σκυθικά ἐστιν, ἐκ τῆς ὁμοειδείας εἰκάζεται, στρατεῖαι δ' οὐ γεγόνασιν ἐπ' αὐτοὺς ἡμῖν γνώριμοι, καθάπερ οὐδὲ ἐπὶ τοὺς βορειοτάτους τῶν

---

9 γε δὴ (über μὲν A) ο τε δὴ Cor 10 τοὺς (ἐπὶ del. Cor) τοσοῦτον ἀντιμαρτυροῦντας Cas 14 ἔτι Kramer ὅτι ο 15 ἐρατοσθένην ABC -νη r 18 ἑξακισχιλίων Cas πεντακισχιλίων ο 26 ἔσται Kramer ἔστι ο 26-27 <τὰ> τοῦ στόματος Cas Βάκτρων καὶ τὰ τοῦ στ. τ. Κ. θ. τῆς τε Ὑρκανίας Groskurd 29 αὐτῆς τῆς Groskurd 33 ἔσω Du Theil ἔξω ο 35 ὁμοειδίας Cx 36 ἐπὶ Cas περὶ ο

νομάδων, ἐφ' οὓς ἐπεχείρησε μὲν ὁ Ἀλέξανδρος ἄγειν στρατείαν, ὅτε τὸν Βῆσσον μετήιει καὶ τὸν Σπιταμένην, ζωγρίαι δ' ἀναχθέντος τοῦ Βήσσου, τοῦ δὲ Σπιταμένους ὑπὸ τῶν βαρβάρων διαφθαρέντος, ἐπαύσατο τῆς ἐπιχειρήσεως. οὐχ ὁμολογοῦσι δ' ὅτι περιέπλευσάν τινες ἀπὸ τῆς Ἰνδικῆς ἐπὶ τὴν Ὑρκανίαν· ὅτι δὲ δυνατόν, Πατροκλῆς εἴρηκε.

5 (5) STRABON 11, 7, 3 p. 509: διαρρεῖται δὲ καὶ ποταμοῖς ἡ Ὑρκανία τῶι τε Ὤχωι καὶ Ὤξωι μέχρι τῆς εἰς θάλατταν ἐκβολῆς, ὧν ὁ Ὦχος καὶ διὰ τῆς Νησαίας ῥεῖ· ἔνιοι δὲ τὸν Ὦχον εἰς τὸν Ὦξον ἐμβάλλειν φασίν. Ἀριστόβουλος (139 F 20) δὲ καὶ μέγιστον ἀποφαίνει τὸν Ὦξον τῶν ἑωραμένων ὑφ' ἑαυτοῦ κατὰ τὴν Ἀσίαν πλὴν τῶν Ἰνδικῶν. φησὶ δὲ καὶ εὔπλουν εἶναι καὶ οὗτος καὶ Ἐρατοσθένης παρὰ Πατροκλέους λαβών, καὶ πολλὰ τῶν Ἰνδικῶν φορτίων κατάγειν εἰς τὴν Ὑρκανίαν θάλατταν, ἐντεῦθεν δ' εἰς τὴν Ἀλβανίαν περαιοῦσθαι, καὶ διὰ τοῦ Κύρου καὶ τῶν ἑξῆς τόπων εἰς τὸν Εὔξεινον καταφέρεσθαι. οὐ πάνυ δὲ ὑπὸ τῶν παλαιῶν ὁ Ὦχος ὀνομάζεται· Ἀπολλόδωρος μέντοι ὁ τὰ Παρθικὰ γράψας (779 F 4) συνεχῶς αὐτὸν ὀνομάζει ὡς ἐγγύτατα τοῖς Παρθυαίοις ῥέοντα.

6 (6) STRABON 11, 11, 5 p. 518: (Aristobulos 139 F 28) ῥεῖν δὲ τὸν Ὦχον οἱ μὲν διὰ τῆς Βακτριανῆς φασιν, οἱ δὲ παρ' αὐτήν· καὶ οἱ μὲν ἕτερον τοῦ Ὤξου μέχρι τῶν ἐκβολῶν, νοτιώτερον ἐκείνου, ἀμφοτέρων δ' ἐν τῆι Ὑρκανίαι τὰς εἰς τὴν θάλατταν ὑπάρχειν ἐκρύσεις· οἱ δὲ κατ' ἀρχὰς μὲν ἕτερον, συμβάλλειν δ' εἰς ἓν τὸ τοῦ Ὤξου ῥεῖθρον, πολλαχοῦ καὶ ἓξ καὶ ἑπτὰ σταδίων ἔχοντα τὸ πλάτος. ὁ μέντοι Ἰαξάρτης ἀπ' ἀρχῆς μέχρι τέλους ἕτερός ἐστι τοῦ Ὤξου· καὶ εἰς μὲν τὴν αὐτὴν τελευτῶν θάλατταν, αἱ δ' ἐμβολαὶ διέχουσιν ἀλλήλων, ὥς φησι Πατροκλῆς, παρασάγγας ὡς ὀγδοήκοντα. τὸν δὲ παρασάγγην τὸν Περσικὸν οἱ μὲν ἑξήκοντα σταδίων φασίν, οἱ δὲ † τριακοσίων τετταράκοντα.

7 (7) STRABON 11, 7, 1 p. 508: τὸ μέντοι πλέον τῆς περὶ τὴν ὀρεινὴν παραλίας (*scil.* ἐν ἀριστερᾶι εἰσπλέοντι τὸ Κάσπιον πέλαγος) Καδούσιοι νέμονται, σχεδόν δέ τι ἐπὶ πεντακισχιλίους σταδίους, ὥς φησι Πατροκλῆς, ὃς καὶ πάρισον ἡγεῖται τὸ πέλαγος τοῦτο τῶι Ποντικῶι.

ANHANG

8 a) STRABON 11, 6, 1 p. 507: ἔστι δ' ὁ κόλπος (das Kaspisch-Hyrkanische

---

4 ἀπὸ τῆς Ἰ. om. E 6 διαρρεῖται ('irrigatur' Guarinus) Cas διαιρεῖται o 7 ὤξωι CE ὄξωι r 8 (9) ὦξον C ὄξον r 9 ὑπ' αὐτοῦ Ex 11-14: Varro bei Plin. *N.H.* 6, 52 19 (23) ὤξου C(?)E ὄξου r 19 ἀμφοτέρους Dx 20 ὑπάρχειν: ποιεῖν x 21 τῶν τοῦ (om. E) ὤξου (C?E ὄξου r) ῥείθρων D 22 ἔχον Cor Xyl, v 23 τελευτῶν: τετάσθαι E 25 τὸν περσικὸν om. E 26 τριακοσίων: τριάκοντα ῆ 28 παραλίαν CD 29 δ' ἔτι x [δὲ] Cor 32 ὁ κόλπος ὁ τῆς κασπίας E

meer) ἀνέχων ἐκ τοῦ ὠκεανοῦ πρὸς μεσημβρίαν, κατ' ἀρχὰς μὲν ἱκανῶς στενός, ἐνδοτέρω δὲ πλατύνεται προιών, καὶ μάλιστα κατὰ τὸν μυχὸν ἐπὶ σταδίους που καὶ πεντακισχιλίους· ὁ δὲ εἴσπλους μέχρι τοῦ μυχοῦ μικρῶι πλειόνων ἂν εἴη, συνάπτων πως ἤδη τῆι ἀοικήτωι. φησὶ δ' Ἐρατοσθένης τὸν ὑπὸ τῶν Ἑλλήνων γνωριζόμενον περίπλουν τῆς θαλάττης ταύτης τὸν μὲν παρὰ τοὺς Ἀλβανοὺς καὶ τοὺς Καδουσίους εἶναι πεντακισχιλίων καὶ τετρακοσίων, τὸν δὲ παρὰ τὴν Ἀναριακῶν καὶ Μάρδων καὶ Ὑρκανῶν μέχρι τοῦ στόματος τοῦ Ὤξου ποταμοῦ τετρακισχιλίων καὶ ὀκτακοσίων, ἔνθεν δὲ ἐπὶ τοῦ Ἰαξάρτου δισχιλίων τετρακοσίων. δεῖ δὲ περὶ τῶν ἐν τῆι μερίδι ταύτηι καὶ τοῖς ἐπὶ τοσοῦτον ἐκτετοπισμένοις ἁπλούστερον ἀκούειν, καὶ μάλιστα περὶ τῶν διαστημάτων. b) PLIN. *N.H.* 6, 36: *nam et inrumpit e Scythico oceano in aversa Asiae pluribus nominibus accolarum appellatum, celeberrimis duobus Caspium et Hyrcanium. non minus hoc esse quam Pontum Euxinum Clitarchus* (137 F 12) *putat. Eratosthenes ponit et mensuram: ab exortu et meridie per Cadusiae et Albaniae oram V·CCCC stadia, inde per Anariacos, Amardos, Hyrcanos ad ostium †Zoni fluminis* $\overline{IIII}$*·DCCC, ab eo ad ostium Iaxartis MM·CCCC, quae summa efficit* |$\overline{XV}$|. $\overline{LXXV}$ *p.* (37) *Artemidorus* (V) *hinc detrahit* ·$\overline{XXV}$ *p. Agrippa Caspium mare gentesque quae circa sunt et cum iis Armeniam, determinatas ab oriente oceano Serico, ab occidente Caucasi iugis, a meridie Tauri, a septentrione oceano Scythico, patere, qua cognitum est* $\overline{CCCCLXXX}$ *in longitudinem, in latitudinem* $\overline{CCXC}$ *prodidit. non desunt vero qui eius maris universum circuitum a freto* |$\overline{XXV}$| *p. tradunt.* (38) *inrumpit autem artis faucibus et in longitudinem spatiosis; atque ubi coepit in latitudinem pandi, lunatis obliquatur cornibus, velut ad Maeotium lacum ab ore descendens, sicilis* (*ut auctor est M. Varro*) *similitudine e.q.s.*

713. ORTHAGORAS (s. Iª?)

F

ΙΝΔΙΚΟΙ ΛΟΓΟΙ (?)

***1** (–) PHILOSTRAT. *V.A.* 2, 17: τὰ δὲ Νεάρχωι (133 F 12) τε καὶ Ὀρθαγόραι περὶ τοῦ Ἀκεσίνου ποταμοῦ εἰρημένα, ὡς ἐσβάλλει μὲν ἐς τὸν

1 ἐκ: ἀπὸ D^{ac} 2 τῶν μυχῶν C π' καὶ ,ε E καὶ om. C 3 πλειόνων E πλεῖον C πλείων r 4 γνωριζόμενον Kramer γνώριμον o 5-6 καδουσίους Epit κλουσίους r 6 Ἀναριακῶν (-άκων Ald) Tzschucke ἀριάκων CDx -κῶν Epit 7 Μάρδων: Ἀμάρδων (11, 8, 8) Cor ὤξου Epit ὄξου r 12 *celeberrimis* v *celtiberium et* o *celeberrimum est* Mayhoff 14 *meridie* Harduin *-em* o *oram* R *coram* (*-um*) r 15 *CCC* R(?) *per*: *par* R *Anariacos* (§ 46) v *atiacos* (*et-* R) o *Anariacas* Salm *Amardos* Salm *amarbos* o 16 *zoni* o *Oxi* Salm *DCCC* v *DCCCC* o *iaxartis* ς *laxartis* DFE *iaxasti* R *MM* ς *irim* F^1 *//·M* T *i*(*r*)*im* M r 19 *serico* (Dicuil. 1, 8, 2) v *perico* o 20 *scythico* R^2 *scynycos* E *scythicos* (*-thy-*) r *patere qua* v *latere quā* o *CCCCLXXXX* a *CCCCXXXX* E(?) 20-21 *in latitudinem* om. Ea hinter *CCXC* R(?) 21 *qui eius*: *qui*(*a*)*etus* RFa 23 *pandi* v *pandit* o *meotium* a *macotium* DFE 28-p. 602, 3: aus Juba (2, 16 = 275 F 52)? 29 Ὀρθαγόραι (F 2) Jac πυθαγόραι o

'Ινδὸν οὗτος, τρέφει δὲ ὄφεις ἑβδομήκοντα πηχῶν μῆκος, τοιαῦτα εἶναί φασιν ὁποῖα εἴρηται, καὶ ἀνακείσθω μοι ὁ λόγος ἐς τοὺς δράκοντας, ὧν ὁ Δάμις ἀφηγεῖται τὴν θήραν.

2 (–) PHILOSTRAT. *V.A.* 3, 53: καὶ μὴν καὶ τὸ τοῦ 'Ινδοῦ στόμα ἰδεῖν φασι, πόλιν δὲ ἐπ' αὐτοῦ κεῖσθαι Πάταλα περίρρυτον τῶι 'Ινδῶι, ἐς ἣν τὸ ναυτικὸν τοῦ 'Αλεξάνδρου ἐλθεῖν, ὧι ναύαρχον ἐπιτετάχθαι Νέαρχον οὐκ ἀγύμναστον τῆς θαλαττίου τάξεως (133 T 7). ἃ δὲ 'Ορθαγόραι περὶ τῆς 'Ερυθρᾶς εἴρηται, [καὶ] ὅτι μήτε ἡ ἄρκτος ἐν αὐτῆι φαίνοιτο μήτε σημαίνοιντο τὴν μεσημβρίαν οἱ πλέοντες οἵ τε ἐπίδηλοι τῶν ἀστέρων ἐξαλλάττοιεν τῆς ἑαυτῶν τάξεως, δοκεῖ καὶ Δάμιδι, καὶ χρὴ πιστεύειν ὑγιῶς τε καὶ κατὰ τὸν ἐκεῖ οὐρανὸν εἰρῆσθαι ταῦτα. μνημονεύουσι καὶ νήσου μικρᾶς, ἧι ὄνομα εἶναι Βίβλον, ἐν ἧι [τὸ τοῦ κογχυλίου μέγεθος καὶ] οἱ μύες ὄστρεά τε καὶ τὰ τοιαῦτα δεκαπλάσια τῶν 'Ελληνικῶν τὸ μέγεθος ταῖς πέτραις προσπέφυκεν. ἁλίσκεται δὲ καὶ λίθος ἐκεῖ μαργαρίς, ἐν ὀστράκωι λευκῶι καρδίας τόπον ἔχουσα τῶι ὀστρέωι. (54) κατασχεῖν δέ φασι καὶ ἐς Πηγάδας τῆς τῶν 'Ωρειτῶν χώρας κτλ.

3 (–) AELIAN. *N.A.* 16, 35: τί δαί; 'Ορθαγόραν μνήμης ἄμοιρον ἐάσομεν; ὅσπερ οὖν ἐν 'Ινδοῖς λόγοις φησὶ Κώυθα μὲν οὕτως εἶναι κώμην τόδε ὄνομα λαχοῦσαν, ταῖς δὲ αἰξὶ ταῖς ἐπιχωρίοις ἔνδον ἐν τοῖς σηκοῖς παραβάλλειν τοὺς νομέας ἰχθῦς ξηροὺς χιλόν.

4 (–) AELIAN. *N.A.* 17, 6: περὶ δὲ τὴν Γεδρωσίων χώραν — ἔστι δὲ μοῖρα τῆς γῆς τῆς 'Ινδικῆς οὐκ ἄδοξος — 'Ονησίκριτος (134 F 31) λέγει καὶ 'Ορθαγόρας γίνεσθαι κήτη ἥμισυ ἔχοντα σταδίου τὸ μῆκος, πλάτος δὲ κατὰ λόγον τοῦ μήκους καὶ τοῦτο δηλονότι. τοσαύτην δέ φασιν ἔχειν δύναμιν αὐτά, ὡς πολλάκις ὅταν ἀναφυσήσηι τοῖς μυκτῆρσιν, ἐς τοσοῦτον ἀναρρίπτειν τῆς θαλάττης τὸ κλυδώνιον, ὡς δοκεῖν τοῖς ἀμαθέσι καὶ ἀπείροις πρηστῆρας εἶναι ταῦτα.

5 (–) STRABON 16, 3, 5 p. 766: ἀπὸ δὲ τῆς Καρμανίας εἰρήκασι καὶ Νέαρχος (133 F 27; F 1 c. 37, 1-3) καὶ 'Ορθαγόρας νῆσον τυρίνην κεῖσθαι πρὸς νότον πελαγίαν ἐν δισχιλίοις σταδίοις, ἐν ἧι τάφος 'Ερύθρα δείκνυται, χῶμα μέγα ἀγρίοις φοίνιξι κατάφυτον· τοῦτον δὲ βασιλεῦσαι τῶν τόπων καὶ ἀπ' αὐτοῦ τὴν θάλατταν ἐπώνυμον καταλιπεῖν. δηλῶσαι δὲ ταῦτά φησιν (*scil.* Νέαρχος) αὐτοῖς Μιθρωπάστην τὸν 'Αρσίτου τοῦ Φρυγίας σατράπου, φυγόντα μὲν Δαρεῖον,

6 ξυνελθεῖν Phot   8 [καὶ] Jac   10 δοκεῖ καὶ τούτοις Phot   12 [   ] Kayser   15 πηγάδα Phot Πήγαλα Mue   18 Κώθα? Gisinger   19 τὸ ὄνομα λαβοῦσαν He   23-24 [πλάτος – δηλονότι] He   29 'Ορθαγόρας: Πυθαγόρας Bernhardy (falsch)   τυρίνηι CDFx τυρρηνὴν E Τυρρίνην Ald "Ωγυριν Salm, v ('Ω)γυρίνην Vossius "Ωγυρον (p. 603, 5) Cor 'Οργάναν Geier; s. Komm.   29-30 κεῖσθαι: καλεῖσθαι D   30 ἐν τ (so!) σταδίοις E   δείκνυται: φαίνεται x   31 τούτων x   33 'Αρσίτου Kramer, Stiehle ἀρηίνου o

διατρίψαντα δ' ἐν τῆι νήσωι, συμμίξαντα δὲ αὐτοῖς καταχθεῖσιν εἰς τὸν Περσικὸν κόλπον καὶ ζητοῦντα κάθοδον δι' αὐτῶν εἰς τὴν οἰκείαν.... (7) φησὶ δ' ὁ Νέαρχος (133 F 28) τὸν Μιθρωπάστην ἐντυχεῖν αὐτοῖς μετὰ Μαζήνου, τὸν δὲ Μαζήνην ἐπάρχειν νήσου τινὸς τῶν ἐν τῶι Περσικῶι κόλπωι, καλεῖσθαι δὲ τὴν νῆσον Δωράκτα (?)· εἰς ταύτην δὲ τὸν Μιθρωπάστην καταφυγόντα ξενίας τυχεῖν κατὰ τὴν ἐξ Ὠγύρου γενομένην ἄφοδον, καὶ δὴ καὶ συνελθεῖν τῶι Μαζήνηι συσταθησόμενον τοῖς ἐν τῶι στόλωι Μακεδόσι, τὸν δὲ Μαζήνην καὶ καθηγεμόνα τοῦ πλοῦ γενέσθαι.

714. SOSANDROS Ο ΚΥΒΕΡΝΗΤΗΣ

Vor Menippos

T

1 (IV 500) MARCIAN. *Epit. Peripl. Men.* 2: γράφω δὲ ταῦτα πολλοῖς μὲν ἐντυχὼν περίπλοις . . . οἱ γὰρ δὴ δοκοῦντες ταῦτα μετὰ λόγων ἐξητακέναι Τιμοσθένης ὁ Ῥόδιός (V) ἐστιν . . . καὶ μετ' ἐκεῖνον Ἐρατοσθένης (V) . . . πρὸς δὲ τούτοις Πυθέας τε ὁ Μασσαλιώτης (V) καὶ Ἰσίδωρος ὁ Χαρακηνὸς (781) καὶ Σώσανδρος ὁ κυβερνήτης <ὁ> τὰ κατὰ τὴν Ἰνδικὴν γράψας .... S. 709 T 6.

ΤΑ ΚΑΤΑ ΤΗΝ ΙΝΔΙΚΗΝ (?)

—

—. SPAETERE INDIENFAHRER

No. 721; V.

715. MEGASTHENES

c. 300/290

T

1 (II 397) CLEM. AL. *Strom.* 1, 72, 5: Μεγασθένης ὁ συγγραφεὺς ὁ Σελεύκωι τῶι Νικάτορι (312-280) συμβεβιωκώς (F 3).

2 a) ARRIAN. *Anab.* 5, 6, 2: Μεγασθένης, ὃς ξυνῆν μὲν Σιβυρτίωι τῶι F 5 σατράπηι τῆς Ἀραχωσίας (a. 325 ff.), πολλάκις δὲ λέγει ἀφικέσθαι παρὰ Σανδράκοττον τὸν Ἰνδῶν βασιλέα (ca. 321-297). b) – *Ind.* 5, 3: ἀλλ' οὐδὲ Μεγασθένης πολλὴν δοκέει μοι ἐπελθεῖν τῆς Ἰνδῶν χώρης, πλήν γε ὅτι πλεῦνα ἢ οἱ ξὺν Ἀλεξάνδρωι τῶι Φιλίππου ἐπελθόντες· συγγενέσθαι γὰρ Σανδροκόττωι λέγει, τῶι μεγίστωι βασιλεῖ Ἰνδῶν, καὶ Πώρου ἔτι τούτωι μείζονι. c) STRABON 2, 1, 9 p. 70 (Eratosthenes): (F 27a) ἐπέμφθησαν μὲν γὰρ εἰς τὰ

4 Δώρακτα: δό- x Δῶρα Steph. Byz. s.v. Ὀάρακτα Arrian. *Ind.* 37, 2 (= Nearch. 133 F 1) (*h*)*oracla* (*Oracta* Mayhoff) Plin. *N.H.* 6, 98 (= Juba 275 F 28) Ὀόραχθα (ὁ δραχθα P) Marcian. *Peripl. M. ext.* 1, 27 Οὐορόχθα Ptolem. 6, 8, 15 5 ὠγύρου ο Ὠγύριος Salm, v 14 <ὁ> Jac 22 Μεγασθένης Clem (Eus) Ὀνησίκριτος Kyrill. c. Julian. 1, 4 23 Νικάνορι Eus 27 <τὴν> πολλὴν He γε <δὴ> He 28 ἐπῆλθεν He 29 Πώρου ἔτι τούτωι Schwanbeck πώρωι ἔτι τούτου A [καὶ – μείζονι] Lassen

Παλίμβοθρα ὁ μὲν Μεγασθένης πρὸς Σανδρόκοττον, ὁ δὲ Δηίμαχος (716) πρὸς Ἀμιτροχάτην τὸν ἐκείνου υἱὸν κατὰ πρεσβείαν, ὑπομνήματα δὲ τῆς ἀποδημίας κατέλιπον τοιαῦτα, ὑφ' ἧς δή ποτε αἰτίας προαχθέντες. F 12 c. 7, 1; F 18 b; 32 § 53; 717 T 1b; 721 F 6 c; 7 a.

3 STRABON 2, 1, 19 p. 76: Μεγασθένει τε ἀντιλέγειν (*scil.* Δηίμαχον 716 F 3).

4 STRABON 2, 1, 9 p. 70 (= Eratosthenes): ἅπαντες μὲν τοίνυν οἱ περὶ τῆς Ἰνδικῆς γράψαντες ὡς ἐπὶ τὸ πολὺ ψευδολόγοι γεγόνασι, καθ' ὑπερβολὴν δὲ Δηίμαχος (716)· τὰ δὲ δεύτερα λέγει Μεγασθένης . . . διαφερόντως δ' ἀπιστεῖν ἄξιον Δηιμάχωι τε καὶ Μεγασθένει (F 27a). 721 F 2.

5 STRABON 2, 1, 4 p. 68 (= Hipparchos): 712 F 2.

6 a) ARRIAN *Anab.* 5, 5, 1: ἀλλὰ ὑπὲρ Ἰνδῶν ἰδίαι μοι γεγράψεται ὅσα πιστότατα ἐς ἀφήγησιν οἵ τε ξὺν Ἀλεξάνδρωι στρατεύσαντες καὶ ὁ ἐκπεριπλεύσας τῆς μεγάλης θαλάσσης τὸ κατ' Ἰνδοὺς Νέαρχος (133 T 15), ἐπὶ δὲ ὅσα Μεγασθένης τε καὶ Ἐρατοσθένης (V), δοκίμω ἄνδρε, ξυνεγραψάτην, καὶ νόμιμα ἅττα Ἰνδοῖς ἐστι καὶ εἰ δή τινα ἄτοπα ζῶια αὐτόθι φύεται καὶ τὸν παράπλουν αὐτὸν τῆς ἔξω θαλάσσης. b) — *Ind.* 17, 6: ταῦτά μοι ἀπόχρη δεδηλῶσθαι ὑπὲρ Ἰνδῶν, ὅσα γνωριμώτατα Νέαρχός τε καὶ Μεγασθένης, δοκίμω ἄνδρε, ἀνεγραψάτην, (7) ἐπεὶ οὐδὲ ἡ ὑπόθεσίς μοι τῆσδε τῆς συγγραφῆς τὰ Ἰνδῶν νόμιμα ἀναγράψαι ἦν, ἀλλ' ὅπως γὰρ παρεκομίσθη Ἀλεξάνδρωι ἐς Πέρσας ἐξ Ἰνδῶν ὁ στόλος. ταῦτα δὲ ἐκβολή μοι ἔστω τοῦ λόγου.

7 a) PLIN. *N.H.* 1, 5: *situs, gentes . . . ex auctoribus . . . externis . . . Juba rege* (275) . . . . *Artemidoro* (V), *Megasthene, Isidoro* (781), *Cleobulo* (V), *Aristocreonte* (667). b) – – 1, 6: *situs, gentes . . . . ex . . . . Juba rege . . . . Alexandro Polyhistore* (273), *Amometo* (645), *Metrodoro* (184), *Posidonio* (87), *Onesicrito* (134), *Nearcho* (133), *Megasthene, Diogneto* (120), *Aristocreonte* . . . . c) – – 1, 7: *gentium mirabiles figurae . . . . ex . . . . . Megasthene, Ctesia* (688), *Taurone* (710), *Eudoxo* (V), *Onesicrito, Clitarcho* (137) . . . .

F

ΙΝΔΙΚΑ Ᾱ — Γ̄ (?)

Ᾱ (?)

(4-14?)

*1 (22) a) JOSEPH. *A.J.* 10, 227 (*c. Ap.* 1, 144; EUSEB. ARM. *Chron.* F 11
p. 23, 14 ff. K.; [SYNKELL. p. 419, 5 ff.]: (citatennest hinter Berossos 680

---

1 Σανδρόκοττον v ἀνδρόκοτ(τ)ον o (s. Ziegler *Rh. M.* 84, 1935, p. 383) 2 Ἀμιτροχάτην 716 F 6 ἀλλιτροχάδην o Ἀμιτροχάδην (= Bindusāra Amitraghāta) Lassen 14 τὰ κατ' Krüger ἐπὶ ς ἐπεὶ A 20 ἀνεχομίσθη Rei περιεχομίσθη He

F 8 über die taten Nabuchodonosors) καὶ Μεγασθένης δὲ ἐν τῆι ᾱ τῶν Ἰνδικῶν μνημονεύει αὐτῶν, δι' ἧς ἀποφαίνειν πειρᾶται τοῦτον τὸν βασιλέα τῆι ἀνδρείαι καὶ τῶι μεγέθει τῶν πράξεων ὑπερβεβηκότα τὸν Ἡρακλέα· καταστρέψασθαι γὰρ αὐτόν φησι Λιβύης τὴν πολλὴν καὶ Ἰβηρίαν. **b)** EUSEB. (ARM.) *Chron.* p. 19, 32 Karst (*P.E.* 9, 41, 1): *so vernimm auch den Abydenos* (685 F 6 § 11): «*als Herakles sogar*» *sagt er* «*war er gewaltiger*», *der denn auch schreibt nach diesem wortlaut* «*Megasthenes sagt: Nabukodrossoros, welcher gewaltiger war als Herakles, gelangte, nachdem er ein kriegsheer angesammelt, in das land der Libyer und in das der Iberer, und überwindend niederschmetternd unterwarf er sie seiner hand; und einen teil von ihnen versetzte er auf die rechte seite des Pontos-Meeres, siedelte sie an*».

B̄

(F 15-30?)

2 (28) ATHEN. 4, 39 p. 153D: Μεγασθένης δ' ἐν τῆι δευτέραι τῶν Ἰνδικῶν τοῖς Ἰνδοῖς φησιν ἐν τῶι δείπνωι παρατίθεσθαι ἑκάστωι τράπεζαν. ταύτην δ' εἶναι ὁμοίαν τοῖς ἐγγυθήκαις, καὶ ἐπιτίθεσθαι ἐπ' αὐτῆι τρυβλίον χρυσοῦν, εἰς ὃ ἐμβάλλειν αὐτοὺς πρῶτον μὲν τὴν ὄρυζαν ἑφθὴν ὡς ἄν τις ἑψήσειε χόνδρον, ἔπειτα ὄψα πολλὰ κεχειρουργημένα ταῖς Ἰνδικαῖς σκευασίαις.

Γ̄

(F 31-33?)

3 (41) CLEM. AL. *Strom.* 1, 72, 4 (EUSEB. *P.E.* 9, 6, 5; KYRILL. *c. Jul.* IV p. 136): (die philosophie beginnt bei den barbaren: 721 F 20) τούτων F 33/4
ἁπάντων πρεσβύτατον μακρῶι τὸ Ἰουδαίων γένος, καὶ τὴν παρ' αὐτοῖς φιλοσοφίαν ἔγγραπτον γενομένην προκατάρξαι τῆς παρ' Ἕλλησι φιλοσοφίας διὰ πολλῶν ὁ Πυθαγόρειος ὑποδείκνυσι Φίλων, οὐ μὴν ἀλλὰ καὶ Ἀριστόβουλος ὁ Περιπατητικὸς καὶ ἄλλοι πλείους, ἵνα μὴ κατ' ὄνομα ἐπιὼν διατρίβω. φανερώτατα δὲ Μεγασθένης ὁ συγγραφεὺς ὁ Σελεύκωι τῶι Νικάτορι συμβεβιωκὼς (T 1) ἐν τῆι τρίτηι τῶν Ἰνδικῶν ὧδε γράφει· «ἅπαντα μέντοι τὰ περὶ φύσεως εἰρημένα παρὰ τοῖς ἀρχαίοις λέγεται καὶ παρὰ τοῖς ἔξω τῆς Ἑλλάδος φιλοσοφοῦσι, τὰ μὲν παρ' Ἰνδοῖς ὑπὸ τῶν Βραχμάνων, τὰ δὲ ἐν τῆι Συρίαι ὑπὸ τῶν καλουμένων Ἰουδαίων».

[Δ̄]

– JOSEPH. *A.J.* 10, 227 (*c. Ap.* 1, 144): s. F 1.

1 ᾱ Jac δ̄ (o. τετάρτηι) Jos Eus Synk δ(ευτέραι) Mue   3 ὑπερβεβληκότα Niese   7 Μεγασθένης δέ φησι Eus (*P.E.*) *der grossmächtige, sagt er* Eus (Arm)   9 Λιβύην καὶ Ἰβηρίην *P.E.*   10 ἀποδασμὸν αὐτέων *P.E.*   17 ἐμβάλλειν C -βαλεῖν A   23 Ἰουδαίων Wendland ἰουδαῖον L   26 Μεγχσθένης Clem Eus Ὀνησίκριτος Kyr   27 Νικάνορι Eus   30 παρὰ τοῖς ἰνδοῖς Eus (I)   τῆι om. Eus

OHNE BUCHZAHL (BUCHTITEL)

4 (1) Diodor. 2, 35: ἡ τοίνυν Ἰνδική, τετράπλευρος οὖσα τῶι σχήματι, τὴν μὲν πρὸς ἀνατολὰς νεύουσαν πλευρὰν καὶ τὴν πρὸς μεσημβρίαν ἡ μεγάλη περιέχει θάλαττα, τὴν δὲ πρὸς τὰς ἄρκτους τὸ Ἠμωδὸν ὄρος διείργει τῆς Σκυθίας, ἣν κατοικοῦσι τῶν Σκυθῶν οἱ προσαγορευόμενοι Σάκαι, τὴν δὲ τετάρτην τὴν πρὸς δύσιν ἐστραμμένην διείληφεν ὁ Ἰνδὸς προσαγορευόμενος ποταμός, [[μέγιστος ὢν τῶν πάντων μετὰ τὸν Νεῖλον.]] LAGE UND GRÖSSE

(2) τὸ δὲ μέγεθος τῆς ὅλης Ἰνδικῆς φασιν ὑπάρχειν ἀπὸ μὲν ἀνατολῶν πρὸς δύσιν δισμυρίων ὀκτακισχιλίων σταδίων, ἀπὸ δὲ τῶν ἄρκτων πρὸς μεσημβρίαν τρισμυρίων δισχιλίων. τηλικαύτη δ' οὖσα τὸ μέγεθος δοκεῖ τοῦ κόσμου μάλιστα περιέχειν τὸν τῶν θερινῶν τροπῶν κύκλον, καὶ πολλαχῆι μὲν ἐπ' ἄκρας τῆς Ἰνδικῆς ἰδεῖν ἔστιν ἀσκίους ὄντας τοὺς γνώμονας, νυκτὸς δὲ τὰς ἄρκτους ἀθεωρήτους· ἐν δὲ τοῖς ἐσχάτοις οὐδ' αὐτὸν τὸν ἀρκτοῦρον φαίνεσθαι, καθ' ὃν δὴ τόπον φασὶ καὶ τὰς σκιὰς κεκλίσθαι πρὸς μεσημβρίαν. F 6/7

(3) ἡ δ' οὖν Ἰνδικὴ πολλὰ μὲν ὄρη καὶ μεγάλα ἔχει δένδρεσι παντοδαποῖς καρπίμοις πλήθοντα, πολλὰ δὲ πεδία καὶ μεγάλα καρποφόρα, τῶι μὲν κάλλει διάφορα, ποταμῶν δὲ πλήθεσι διαρρεόμενα. τὰ πολλὰ δὲ τῆς χώρας ἀρδεύεται, καὶ διὰ τοῦτο διττοὺς ἔχει τοὺς κατ' ἔτος καρπούς, ζώιων τε παντοδαπῶν γέμει διαφόρων τοῖς μεγέθεσι καὶ ταῖς ἀλκαῖς, τῶν μὲν χερσαίων τῶν δὲ καὶ πτηνῶν. (4) καὶ πλείστους δὲ καὶ μεγίστους ἐλέφαντας ἐκτρέφει, χορηγοῦσα τὰς τροφὰς ἀφθόνους, δι' ἃς ταῖς ῥώμαις τὰ θηρία ταῦτα πολὺ προέχει τῶν κατὰ τὴν Λιβύην γεννωμένων· διὸ καὶ πολλῶν θηρευομένων ὑπὸ τῶν Ἰνδῶν καὶ πρὸς τοὺς πολεμικοὺς ἀγῶνας κατασκευαζομένων, μεγάλας συμβαίνει γίνεσθαι ῥοπὰς πρὸς τὴν νίκην. (36) ὁμοίως δὲ καὶ τοὺς ἀνθρώπους ἡ πολυκαρπία τρέφουσα τοῖς τε ἀναστήμασι τῶν σωμάτων καὶ τοῖς ὄγκοις ὑπερφέροντας κατασκευάζει· εἶναι δ' αὐτοὺς συμβαίνει καὶ πρὸς τὰς τέχνας ἐπιστήμονας, ὡς ἂν ἀέρα μὲν ἕλκοντας καθαρόν, ὕδωρ δὲ λεπτομερέστατον πίνοντας. (2) ἡ δὲ γῆ πάμφορος οὖσα τοῖς ἡμέροις καρποῖς ἔχει καὶ φλέβας καταγείους πολλῶν καὶ παντοδαπῶν μετάλλων· γίνεται γὰρ ἐν αὐτῆι πολὺς μὲν ἄργυρος καὶ χρυσός, οὐκ ὀλίγος δὲ χαλκὸς καὶ σίδηρος, ἔτι δὲ καττίτερος καὶ τἆλλα τὰ πρὸς κόσμον τε καὶ χρείαν καὶ πολεμικὴν παρασκευὴν ἀνήκοντα. (3) χωρὶς δὲ τῶν δημητριακῶν καρπῶν φύεται κατὰ τὴν Ἰνδικὴν πολλὴ μὲν κέγχρος, ἀρδευομένη τῆι τῶν ποταμίων ναμάτων δαψιλείαι, πολὺ δ' ὄσπριον καὶ διάφορον, ἔτι δ' ὄρυζα καὶ ὁ προσαγορευόμενος βόσπορος (?), καὶ μετὰ ταῦτ' ἄλλα πολλὰ τῶν πρὸς διατροφὴν χρησίμων· καὶ τούτων τὰ πολλὰ ὑπάρχει αὐτοφυῆ. οὐκ ὀλίγους δὲ καὶ ἄλλους ἐδωδίμους καρποὺς φέρει δυναμένους τρέφειν ζῶια [[περὶ ὧν μακρὸν ἂν εἴη γράφειν]]. (4) διὸ καὶ φασι μηδέποτε F 8

PREIS INDIENS — c. 36, 4 F 8 — c. 42, 1/2; F 2…

2 ff. [[ ]] zusätze und änderungen Diodors 4 τὸ Ἠμωδὸν ὄρος: ἀπείργεσθαι δὲ τὴν Ἰνδῶν χώραν ..... τὸ πρὸς βορρᾶν ... τὸν Καύκασον τὸ ὄρος ἔστε ἐπὶ τοῦ Ταύρου τὴν ξυμβολὴν Arrian. *Anab.* 5, 6, 3; ὅροι δὲ τῆς Ἰνδῶν γῆς πρὸς μὲν βορέου ἀνέμου ὁ Ταῦρος τὸ ὄρος· καλέεται δὲ οὐ Ταῦρος ἔτι ἐν τῆι γῆι ταύτηι .... ἄλλο δὲ ἄλληι καλέεται τὸ ὄρος, τῆι μὲν Παραπάμισος, τῆι δὲ Ἠμωδός, ἄλληι δὲ Ἴμαον κληίζεται, καὶ τυχὸν ἄλλα καὶ ἄλλα ἔχει οὐνόματα. Μακεδόνες δὲ οἱ ξὺν Ἀλεξάνδρωι στρατεύσαντες Καύκασον αὐτὸ ἐκάλεον κτλ. *Ind.* 2, 1-4 (cf. F 6 c) 5 τὴν om. D μέγιστος ὢν κτλ.: doch s. F 9 6 τῶν πάντων D σχεδὸν τῶν ἁπάντων C 7 πρὸς D ἐπὶ C 12 τόπον Hertlein τρόπον o 16 διαρρεόμενα D διαιρούμενα r 18 τῶν δὲ πτηνῶν C(?) 19 ἀφθόνους D -νως r 21-22 ῥοπὰς γίνεσθαι D 22-23 τρέφουσα D φέρουσα C 31 (p. 607, 4) ὁ πρ. βόσπορος D τὸ πρ. βόσπορον r βόσμορον Strab. 15, 1, 13; 18 (*v.l.* βώσ-) = Onesikritos 134 F 15 32 πολλὰ D πλείω C(?) καὶ – αὐτοφυῆ om. C 32 φέρει om. C

τὴν Ἰνδικὴν ἐπισχεῖν λιμὸν ἢ καθόλου σπάνιν τῶν πρὸς τροφὴν ἥμερον ἀνηκόντων· διττῶν γὰρ ὄμβρων ἐν αὐτῆι γινομένων καθ' ἕκαστον ἔτος, τοῦ μὲν χειμερινοῦ (καθὰ παρὰ τοῖς ἄλλοις) ὁ σπόρος τῶν πυρίνων γίνεται καρπῶν, τοῦ δ' ἑτέρου κατὰ τὴν θερινὴν τροπὴν [καθ' ἣν] σπείρεσθαι συμβαίνει τὴν ὄρυζαν καὶ τὸν βόσπορον (?), ἔτι δὲ σήσαμον καὶ κέγχρον, κατὰ [δὲ] τὸ πλεῖστον ἀμφοτέροις τοῖς καρποῖς οἱ κατὰ τὴν Ἰνδικὴν ἐπιτυγχάνουσι, πάντων δὲ τελεσφορουμένου θατέρου τῶν καρπῶν οὐκ ἀποτυγχάνουσιν. (5) οἵ τε αὐτοματίζοντες καρποὶ καὶ αἱ κατὰ τοὺς ἑλώδεις τόπους φυόμεναι ῥίζαι, διάφοροι ταῖς γλυκύτησιν οὖσαι, πολλὴν παρέχονται τοῖς ἀνθρώποις δαψίλειαν· πάντα γὰρ σχεδὸν τὰ κατὰ τὴν χώραν πεδία γλυκεῖαν ἔχει τὴν ἀπὸ τῶν ποταμῶν ἰκμάδα καὶ τὴν ἀπὸ τῶν ὄμβρων τῶν ἐν τῶι θέρει γινομένων κατ' ἐνιαυτὸν κυκλικῆι τινι περιόδωι [παραδόξως εἰωθότων γίνεσθαι δαψίλεια], χλιαρῶν πιπτόντων ὑδάτων ἐκ τοῦ περιέχοντος ἀέρος, καὶ τὰς ἐν τοῖς ἕλεσι ῥίζας ἕψοντος τοῦ καύματος, καὶ μάλιστα τῶν μεγάλων καλάμων. (6) συμβάλλονται δὲ παρὰ τοῖς Ἰνδοῖς καὶ τὰ νόμιμα πρὸς τὸ μηδέποτε ἔνδειαν τροφῆς παρ' c. 39, 5;
αὐτοῖς εἶναι· παρὰ μὲν γὰρ τοῖς ἄλλοις ἀνθρώποις οἱ πολέμιοι καταφθείροντες τὴν χώραν 40, 4
ἀγεώργητον κατασκευάζουσι, παρὰ δὲ τούτοις τῶν γεωργῶν ἱερῶν καὶ ἀσύλων ἐωμένων, οἱ πλησίον τῶν παρατάξεων γεωργοῦντες ἀνεπαίσθητοι τῶν κινδύνων εἰσίν. (7) ἀμφότεροι γὰρ οἱ πολεμοῦντες ἀλλήλους μὲν ἀποκτείνουσιν ἐν ταῖς μάχαις, τοὺς δὲ περὶ τὴν γεωργίαν ὄντας ἐῶσιν ἀβλαβεῖς, ὡς κοινοὺς ὄντας ἁπάντων εὐεργέτας, τάς τε χώρας τῶν ἀντιπολεμούντων οὔτ' ἐμπυρίζουσιν οὔτε δενδροτομοῦσιν.

(37) ἔχει δὲ καὶ ποταμοὺς ἡ χώρα τῶν Ἰνδῶν πολλοὺς καὶ μεγάλους πλωτούς, οἳ FLUESSE
τὰς πηγὰς ἔχοντες ἐν τοῖς ὄρεσι τοῖς πρὸς τὰς ἄρκτους κεκλιμένοις φέρονται διὰ τῆς (F 9)
πεδιάδος, ὧν οὐκ ὀλίγοι συμμίσγοντες ἀλλήλοις ἐμβάλλουσιν εἰς ποταμὸν τὸν ὀνομαζόμενον Γάγγην. (2) οὗτος δὲ τὸ πλάτος γινόμενος σταδίων τριάκοντα φέρεται μὲν ἀπὸ τῆς ἄρκτου πρὸς μεσημβρίαν, ἐξερεύγεται δ' εἰς τὸν ὠκεανόν, ἀπολαμβάνων εἰς τὸ πρὸς ἕω μέρος τὸ ἔθνος τὸ τῶν Γανδαριδῶν, πλείστους ἔχον καὶ μεγίστους ἐλέφαντας. [[διὸ καὶ τῆς χώρας ταύτης οὐδεὶς πώποτε βασιλεὺς ἔπηλυς ἐκράτησε, πάντων τῶν ἀλλοεθνῶν φοβουμένων τό τε πλῆθος καὶ τὴν ἀλκὴν τῶν θηρίων. καὶ γὰρ Ἀλέξανδρος ὁ Μακεδὼν ἁπάσης τῆς Ἀσίας κρατήσας μόνους τοὺς Γανδαρίδας οὐκ ἐπολέμησε· καταντήσας γὰρ ἐπὶ τὸν Γάγγην ποταμὸν μετὰ πάσης τῆς δυνάμεως καὶ τοὺς ἄλλους Ἰνδοὺς καταπολεμήσας, ὡς ἐπύθετο τοὺς Γανδαρίδας ἔχειν τετρακισχιλίους ἐλέφαντας πολεμικῶς κεκοσμημένους, ἀπέγνω τὴν ἐπ' αὐτοὺς στρατείαν.]] (4) ὁ δὲ παραπλήσιος τῶι Γάγγηι ποταμός, προσαγορευόμενος δὲ Ἰνδός, ἄρχεται μὲν ὁμοίως ἀπὸ τῶν ἄρκτων, ἐμβάλλων

---

2 ὄμβρων D καρπῶν C ‹οὐ› καθὰ Eichstaedt 4 [καθ' ἣν] Vogel 5 [δὲ] Rei μὲν Ddf δή? 6 πάντως Ddf τελεσφορουμένου Ddf -νων ο ‹μὴ› τελεσφορουμένων, θατέρου Mue 10 [γινομένων] Rei 10-11 δαψίλεια – ἀέρος om. C [κατ' ἐνιαυτὸν – γίνεσθαι] Wesseling [παραδόξως – δαψίλεια] Jac 11 δαψιλεία D -είαν Bkr -είαι Oldfather 12 ἑψόντων D καὶ om. D 13-14 ἔνδειαν – εἶναι D λιμὸν γενέσθαι παρ' αὐτοῖς C 15 ἐωμένων D θεωμένων C 22 εἰς τὸν ποταμὸν D 23 γινόμενος D γε- r τριάκοντα (s. F 9a c. 4, 7; 9b): τριάκοντα καὶ δυεῖν Diodor. 17, 93, 2 25 (30) Γανδαριδῶν v γαδαρίδων D γανδαρικῶν C Γανδαρίδαι Diodor. 17, 91 u.ö. Γανδαρῖται Plutarch. *Alex.* 62, 3 (Γανδαρῖτις Strab. 15, 1, 26; Γανδαρίς 15, 1, 30) † Γανδρίδαι Plutarch. *Alex. fort.* 1,2 p. 327B *Gangar(h)idae* Justin. 12, 8, 1 (v.l. *cantaridae*, *gantaredi*) *Gangarides* Plin. *N.H.* 6, 65 (v.l. *gar-*); Vergil. *Ge.* 3, 27 26-31 [[ ]] s. Diodor. 17, 93, 2; 18, 6, 1 30 τετρακισχιλίους: Diodor. 17, 93, 12 *III milium* Curtius 9, 2, 4; 20 ἑξακισχιλίους Plutarch. *Alex.* 62, 3 *DCC* Plin. *N.H.* 6, 66 32 ποταμῶι C

δὲ εἰς τὸν ὠκεανὸν ἀφορίζει τὴν Ἰνδικήν, πολλὴν δὲ διεξιὼν πεδιάδα χώραν δέχεται ποταμοὺς οὐκ ὀλίγους πλωτούς, ἐπιφανεστάτους δ' Ὕπανιν καὶ Ὑδάσπην καὶ Ἀκεσῖνον. (5) χωρὶς δὲ τούτων ἄλλο πλῆθος ποταμῶν παντοδαπῶν διαρρεῖ καὶ ποιεῖ κατάφυτον πολλοῖς κηπεύμασι καὶ καρποῖς παντοδαποῖς τὴν χώραν. (6) τοῦ δὲ κατὰ τοὺς ποταμοὺς πλήθους καὶ τῆς τῶν ὑδάτων ὑπερβολῆς αἰτίαν φέρουσιν οἱ παρ' αὐτοῖς φιλόσοφοι καὶ φυσικοὶ τοιαύτην· τῆς Ἰνδικῆς φασὶ τὰς περικειμένας χώρας, τήν τε Σκυθῶν καὶ Βακτριανῶν, ἔτι δὲ καὶ τῶν Ἀριανῶν, ὑψηλοτέρας εἶναι τῆς Ἰνδικῆς, ὥστ' εὐλόγως εἰς τὴν ὑποκειμένην χώραν πανταχόθεν συρρεούσας τὰς λιβάδας ἐκ τοῦ κατ' ὀλίγον ποιεῖν τοὺς τόπους καθύγρους καὶ γεννᾶν ποταμῶν πλῆθος.

(7) ἴδιον δέ τι συμβαίνει περί τινα τῶν κατὰ τὴν Ἰνδικὴν ποταμῶν τὸν ὀνομαζόμενον <μὲν> Σίλλαν, ῥέοντα δ' ἔκ τινος ὁμωνύμου κρήνης· ἐπὶ γὰρ τούτου μόνου τῶν ἁπάντων ποταμῶν οὐδὲν τῶν ἐμβαλλομένων εἰς αὐτὸν ἐπιπλεῖ, πάντα δ' εἰς τὸν βυθὸν καταδύεται παραδόξως. F 10

(38) τὴν δ' ὅλην Ἰνδικὴν οὖσαν ὑπερμεγέθη λέγεται κατοικεῖν ἔθνη πολλὰ καὶ παντοδαπά, καὶ τούτων μηδὲν ἔχειν τὴν ἐξ ἀρχῆς γένεσιν ἔπηλυν, ἀλλὰ πάντα δοκεῖν ὑπάρχειν αὐτόχθονα, πρὸς δὲ τούτοις μήτε ξενικὴν ἀποικίαν προσδέχεσθαι πώποτε μήτ' εἰς ἄλλο ἔθνος ἀπεσταλκέναι. (2) μυθολογοῦσι δὲ τοὺς ἀρχαιοτάτους ἀνθρώπους τροφαῖς μὲν κεχρῆσθαι τοῖς αὐτομάτως φυομένοις ἐκ τῆς γῆς καρποῖς, ἐσθῆσι δὲ ταῖς δοραῖς τῶν ἐγχωρίων ζώιων, καθάπερ καὶ παρ' Ἕλλησιν· ὁμοίως δὲ καὶ τῶν τεχνῶν τὰς εὑρέσεις καὶ τῶν ἄλλων τῶν πρὸς βίον χρησίμων ἐκ τοῦ κατ' ὀλίγον γενέσθαι, τῆς χρείας αὐτῆς ὑφηγουμένης εὐφυεῖ ζώιωι καὶ συνεργοὺς ἔχοντι πρὸς ἅπαντα χεῖρας καὶ λόγον καὶ ψυχῆς ἀγχίνοιαν.

URG SCHICH (c. 39, F 11; 1

(3) μυθολογοῦσι δὲ παρὰ τοῖς Ἰνδοῖς οἱ λογιώτατοι, περὶ οὗ καθῆκον ἂν εἴη συντόμως διελθεῖν. φασὶ γὰρ ἐν τοῖς ἀρχαιοτάτοις χρόνοις, παρ' αὐτοῖς ἔτι τῶν ἀνθρώπων κωμηδὸν οἰκούντων, παραγενέσθαι τὸν Διόνυσον ἐκ τῶν πρὸς ἑσπέραν τόπων ἔχοντα δύναμιν ἀξιόλογον, ἐπελθεῖν δὲ τὴν Ἰνδικὴν ἅπασαν, μηδεμιᾶς οὔσης ἀξιολόγου πόλεως [τῆς] δυναμένης ἀντιτάξασθαι. [[(4) ἐπιγενομένων δὲ καυμάτων μεγάλων καὶ τῶν τοῦ Διονύσου στρατιωτῶν λοιμικῆι νόσωι διαφθειρομένων, συνέσει διαφέροντα τὸν ἡγεμόνα τοῦτον ἀπαγαγεῖν τὸ στρατόπεδον ἐκ τῶν πεδινῶν τόπων εἰς τὴν ὀρεινήν· ἐν ταύτηι δὲ πνεόντων ψυχρῶν ἀνέμων καὶ τῶν ναματιαίων ὑδάτων καθαρῶν ῥεόντων πρὸς αὐταῖς ταῖς πηγαῖς, ἀπαλλαγῆναι τῆς νόσου τὸ στρατόπεδον. ὀνομάζεσθαι δὲ τῆς ὀρεινῆς τὸν τόπον τοῦτον Μηρόν, καθ' ὃν ὁ Διόνυσος ἐξέτρεψε τὰς δυνάμεις ἐκ τῆς νόσου, ἀφ' οὗ δὴ καὶ τοὺς Ἕλληνας περὶ τοῦ θεοῦ τούτου παραδεδωκέναι τοῖς μεταγενεστέροις τεθράφθαι τὸν Διόνυσον ἐν μηρῶι.]] (5) μετὰ δὲ ταῦτα τῆς παραθέσεως τῶν καρπῶν ἐπιμεληθέντα μεταδιδόναι τοῖς Ἰνδοῖς, καὶ τὴν εὕρεσιν τοῦ οἴνου καὶ τῶν ἄλλων τῶν εἰς τὸν βίον χρησίμων παραδοῦναι. πρὸς δὲ τούτοις πόλεών τε ἀξιολόγων γενηθῆναι κτίστην, μεταγαγόντα τὰς κώμας εἰς τοὺς εὐθέτους τόπους, τιμᾶν τε καταδεῖξαι τὸ θεῖον καὶ νόμους εἰσηγήσασθαι καὶ δικαστήρια, καθόλου δὲ πολλῶν καὶ καλῶν ἔργων εἰσηγητὴν γενόμενον F 12-1

1 ὠκεανόν: ἰνδὸν D 2 ὑδάσπιν D ἀκαίσεινον D 3 κατάφυτον Ddf κατάρρυτον o 7 Ἀριανῶν: ἀριαίων D 11 <μὲν> Hertlein 14-17: c. 39, 4; cf. Plin. *N.H.* 6, 59 14 πολλά: εἴκοσι καὶ ἑκατὸν δυοῖν δέοντα F 12 c. 7, 1 16-17 ἄλλο ἔθνος: ἀλλοεθνεῖς (c. 39 4) Ddf 23 μυθολογοῦσι – λογιώτατοι: verwirrt (cf. 38, 2; 4; 39 1) oder lückenhaft (δὲ <καὶ ταῦτα> o. <καὶ περὶ Διονύσου>, περὶ οὗ)? 23 περὶ ὧν F 26 [τῆς] om. CD 27-34: zusatz Diodors (cf. 3, 63, 5)? cf. c. 39, 1; F 12 c. 7, 5 ff. 29 τοῦτον C τούτων D ἐν ταύτηι D ἐνταῦθα C 34 καταθέσεως C 35 μεταδιδόναι C παραδ- D 38 δικαστήρια καταδεῖξαι D

[[θεὸν νομισθῆναι καὶ τυχεῖν ἀθανάτων τιμῶν]]. (6) ἱστοροῦσι δ' αὐτὸν καὶ γυναικῶν πλῆθος μετὰ τοῦ στρατοπέδου περιάγεσθαι, καὶ κατὰ τὰς ἐν τοῖς πολέμοις παρατάξεις τυμπάνοις καὶ κυμβάλοις κεχρῆσθαι, μήπω σάλπιγγος εὑρημένης. (7) βασιλεύσαντα δὲ πάσης τῆς Ἰνδικῆς ἔτη δύο πρὸς τοῖς πεντήκοντα γήραι τελευτῆσαι. διαδεξαμένους δὲ τοὺς υἱοὺς αὐτοῦ τὴν ἡγεμονίαν ἀεὶ τοῖς ἀφ' ἑαυτῶν ἀπολιπεῖν τὴν ἀρχήν· τὸ δὲ τελευταῖον πολλαῖς γενεαῖς ὕστερον καταλυθείσης τῆς ἡγεμονίας δημοκρατηθῆναι τὰς πόλεις.

(39) περὶ μὲν οὖν τοῦ Διονύσου καὶ τῶν ἀπογόνων αὐτοῦ τοιαῦτα μυθολογοῦσιν [[οἱ τὴν ὀρεινὴν τῆς Ἰνδικῆς κατοικοῦντες]], τὸν δὲ Ἡρακλέα φασὶ παρ' αὐτοῖς γεγενῆσθαι, καὶ παραπλησίως τοῖς Ἕλλησι τό τε ῥόπαλον καὶ τὴν λεοντῆν αὐτῶι προσάπτουσι. τῆι δὲ τοῦ σώματος ῥώμηι καὶ ἀλκῆι πολλῶι τῶν ἄλλων ἀνθρώπων διενεγκεῖν, καὶ καθαρὰν (F 1) ποιῆσαι τῶν θηρίων γῆν τε καὶ θάλατταν. (2) γήμαντα δὲ πλείους γυναῖκας υἱοὺς μὲν πολλούς, θυγατέρα δὲ μίαν γεννῆσαι· καὶ τούτων ἐνηλίκων γενομένων, πᾶσαν τὴν Ἰνδικὴν διελόμενον εἰς ἴσας τοῖς τέκνοις μερίδας, ἅπαντας τοὺς υἱοὺς ἀποδεῖξαι βασιλέας, μίαν δὲ θυγατέρα θρέψαντα καὶ ταύτην βασίλισσαν ἀποδεῖξαι. (3) κτίστην τε πόλεων οὐκ F 18 ὀλίγων γενέσθαι, καὶ τούτων τὴν ἐπιφανεστάτην καὶ μεγίστην προσαγορεῦσαι Παλίβοθρα· κατασκευάσαι δ' ἐν αὐτῆι καὶ βασίλεια πολυτελῆ, καὶ πλῆθος οἰκητόρων καθιδρῦσαι, τήν τε πόλιν ὀχυρῶσαι τάφροις ἀξιολόγοις ποταμίοις ὕδασι πληρουμέναις. (4) καὶ τὸν μὲν Ἡρακλέα τὴν ἐξ ἀνθρώπων μετάστασιν ποιησάμενον ἀθανάτου τυχεῖν τιμῆς, τοὺς δ' ἀπογόνους αὐτοῦ βασιλεύσαντας ἐπὶ πολλὰς γενεὰς καὶ πράξεις ἀξιολόγους μεταχειρισαμένους μήτε στρατείαν ὑπερόριον ποιήσασθαι μήτε ἀποικίαν εἰς ἀλλοεθνεῖς ἀποστεῖλαι. ὕστερον δὲ πολλοῖς ἔτεσι τὰς πλείστας μὲν τῶν πόλεων δημοκρατηθῆναι, τινῶν δ' ἐθνῶν τὰς βασιλείας διαμεῖναι μέχρι τῆς Ἀλεξάνδρου διαβάσεως.

NOMIMA (c. 36, 6; F 15/6; 32)

(5) Νομίμων δ' ὄντων παρὰ τοῖς Ἰνδοῖς ἐνίων ἐξηλλαγμένων, θαυμασιώτατον ἄν τις ἡγήσαιτο τὸ καταδειχθὲν ὑπὸ τῶν ἀρχαίων παρ' αὐτοῖς φιλοσόφων· νενομοθέτηται γὰρ παρ' αὐτοῖς δοῦλον μὲν μηδένα εἶναι τὸ παράπαν, ἐλευθέρους δ' ὑπάρχοντας τὴν ἰσότητα τιμᾶν ἐν πᾶσι. τοὺς γὰρ μαθόντας μήθ' ὑπερέχειν μήθ' ὑποπίπτειν ἄλλοις κράτιστον ἕξειν βίον πρὸς ἁπάσας τὰς περιστάσεις· εὔηθες γὰρ εἶναι νόμους μὲν ἐπ' ἴσης τιθέναι πᾶσι, τὰς δ' <ἐξ>ουσίας ἀνωμάλους κατασκευάζειν.

(40) τὸ δὲ πᾶν πλῆθος τῶν Ἰνδῶν εἰς ἑπτὰ μέρη διήιρηται, ὧν ἐστι τὸ μὲν πρῶτον KASTEN σύστημα φιλοσόφων, πλήθει μὲν τῶν ἄλλων μερῶν λειπόμενον, τῆι δ' ἐπιφανείαι πάντων (F 19) πρωτεῦον. ἀλειτούργητοι γὰρ ὄντες οἱ φιλόσοφοι πάσης ὑπουργίας οὔθ' ἑτέρων κυριεύουσιν οὔθ' ὑφ' ἑτέρων δεσπόζονται. (2) παραλαμβάνονται δ' ὑπὸ μὲν τῶν ἰδιωτῶν εἴς τε τὰς ἐν τῶι βίωι θυσίας καὶ εἰς τὰς τῶν τετελευτηκότων ἐπιμελείας, ὡς θεοῖς γεγονότες προσφιλέστατοι καὶ περὶ τῶν ἐν Ἅιδου μάλιστ' ἐμπείρως ἔχοντες, ταύτης τε τῆς ὑπουργίας δῶρά τε καὶ τιμὰς λαμβάνουσιν ἀξιολόγους. τῶι δὲ κοινῶι τῶν Ἰνδῶν μεγάλας παρέχονται χρείας, παραλαμβανόμενοι μὲν κατὰ τὸ νέον ἔτος ἐπὶ τὴν μεγάλην σύνοδον, προλέγοντες δὲ τοῖς πλήθεσι περὶ αὐχμῶν καὶ ἐπομβρίας, ἔτι δ' ἀνέμων εὐπνοίας καὶ νόσων καὶ τῶν ἄλλων τῶν δυναμένων τοὺς ἀκούοντας ὠφελῆσαι. (3) τὰ μέλλοντα γὰρ προακούσαντες οἵ τε πολλοὶ καὶ ὁ βασιλεὺς ἐκπληροῦσιν ἀεὶ τὸ μέλλον ἐκλείπειν καὶ προκατασκευάζουσιν ἀεί τι τῶν χρησίμων. ὁ δ' ἀποτυχὼν τῶν φιλοσόφων ἐν ταῖς προρρή-

1 [[ ]] cf. c. 39, 4 3-4 βασ. – τελευτῆσαι: flüchtig und falsch excerpiert; s. F 12 c. 8, 1-3 8 [[ ]] s. zu p. 608, 27 ff. δὲ Jac τε o 17 πληρουμέναις Rhodomannus -νοις C -νην οἷς D 18-21: cf. c. 38, 1 20 εἰς ἄλλο ἔθνος (38, 1) C 25 μὲν D om. r ἐλεύθερον δ' ὑπάρχοντα C 27 εὔηθες Rhodomannus εὐήθεις o 28 ἐξουσίας Ddf οὐσίας o 30 <τὸ τῶν> φιλοσόφων? 32 ἰδιωτῶν D ἰδίων r 33 τε om. D τε καὶ C 37 τοῖς πλήθεσι om. C τῆς ἐπομβρίας D 40 ὁ δ<έ γ> ἀποτυχὼν (F 19) o. flüchtigkeit Diodors?

σεσιν ἄλλην μὲν οὐδεμίαν ἀναδέχεται τιμωρίαν ἢ βλασφημίαν, ἄφωνος δὲ διατελεῖ τὸν λοιπὸν βίον. (4) δεύτερον δ' ἐστὶ μέρος τὸ τῶν γεωργῶν, οἳ τῶι πλήθει τῶν ἄλλων πολὺ προέχειν δοκοῦσιν. οὗτοι δὲ πολέμων καὶ τῆς ἄλλης λειτουργίας ἀφειμένοι περὶ τὰς γεωργίας ἀσχολοῦνται, καὶ οὐδεὶς ἂν πολέμιος περιτυχὼν γεωργῶι κατὰ τὴν χώραν c. 36, 6 ἀδικήσειεν, ἀλλ' ὡς κοινοὺς εὐεργέτας ἡγούμενοι πάσης ἀδικίας ἀπέχονται. διόπερ ἀδιάφθορος ἡ χώρα διαμένουσα καὶ καρποῖς βρίθουσα πολλὴν ἀπόλαυσιν παρέχεται τῶν ἐπιτηδείων τοῖς ἀνθρώποις. (5) βιοῦσι δ' ἐπὶ τῆς χώρας μετὰ τέκνων καὶ γυναικῶν οἱ γεωργοί, καὶ τῆς εἰς τὴν πόλιν καταβάσεως παντελῶς ἀφεστήκασι. τῆς δὲ χώρας μισθοὺς τελοῦσι τῶι βασιλεῖ διὰ τὸ πᾶσαν τὴν Ἰνδικὴν βασιλικὴν εἶναι, ἰδιώτηι δὲ μηδενὶ γῆν ἐξεῖναι κεκτῆσθαι· χωρὶς δὲ τῆς μισθώσεως τετάρτην εἰς τὸ βασιλικὸν τελοῦσι. (6) τρίτον δ' ἐστὶ φῦλον τὸ τῶν βουκόλων καὶ ποιμένων καὶ καθόλου πάντων τῶν νομέων, οἳ πόλιν μὲν ἢ κώμην οὐκ οἰκοῦσι, σκηνίτηι δὲ βίωι χρῶνται. οἱ δ' αὐτοὶ καὶ κυνηγοῦντες καθαρὰν ποιοῦσι τὴν χώραν ὀρνέων τε καὶ θηρίων· εἰς ταῦτα δ' ἀσκοῦντες καὶ φιλοτεχνοῦντες ἐξημεροῦσι τὴν Ἰνδικήν, πλήθουσαν πολλῶν καὶ παντοδαπῶν θηρίων τε καὶ ὀρνέων τῶν κατεσθιόντων τὰ σπέρματα τῶν γεωργῶν. (41) τέταρτον δ' ἐστὶ μέρος τὸ τῶν τεχνιτῶν, καὶ τούτων οἱ μέν εἰσιν ὁπλοποιοί, οἱ δὲ τοῖς γεωργοῖς ἤ τισιν ἄλλοις τὰ χρήσιμα πρὸς ὑπηρεσίαν κατασκευάζουσιν. οὗτοι δ' οὐ μόνον ἀτελεῖς εἰσιν, ἀλλὰ καὶ σιτομετρίαν ἐκ τοῦ βασιλικοῦ λαμβάνουσι. (2) πέμπτον δὲ <τὸ> στρατιωτικόν, εἰς τοὺς πολέμους εὔθετον, τῶι μὲν πλήθει δεύτερον, ἀνέσει δὲ καὶ παιδιᾶι πλείστηι χρώμενον ἐν ταῖς εἰρήναις. τρέφεται δ' ἐκ τοῦ βασιλικοῦ πᾶν τὸ πλῆθος τῶν στρατιωτῶν καὶ τῶν πολεμιστῶν ἵππων τε καὶ ἐλεφάντων. (3) ἕκτον δ' ἐστὶ τὸ τῶν ἐφόρων. οὗτοι δὲ πολυπραγμονοῦντες πάντα καὶ ἐφορῶντες τὰ κατὰ τὴν Ἰνδικὴν ἀπαγγέλλουσι τοῖς βασιλεῦσιν· ἐὰν δ' ἡ πόλις αὐτῶν ἀβασίλευτος ἦι, τοῖς ἄρχουσιν. (4) ἕβδομον δ' ἐστὶ μέρος τὸ βουλεῦον μὲν καὶ συνεδρεῦον τοῖς ὑπὲρ τῶν κοινῶν βουλευομένοις, πλήθει μὲν ἐλάχιστον, εὐγενείαι δὲ καὶ φρονήσει μάλιστα θαυμαζόμενον· ἐκ τούτων γὰρ οἵ τε σύμβουλοι τοῖς βασιλεῦσίν εἰσιν οἵ τε διοικηταὶ τῶν κοινῶν καὶ οἱ δικασταὶ τῶν ἀμφισ- c. 42, βητουμένων· καὶ καθόλου τοὺς ἡγεμόνας καὶ τοὺς ἄρχοντας ἐκ τούτων ἔχουσι. 3/4; F 3

(5) τὰ μὲν οὖν μέρη τῆς διηιρημένης πολιτείας παρ' Ἰνδοῖς σχεδὸν ταῦτ' ἔστιν. οὐκ ἔξεστι δὲ γαμεῖν ἐξ ἄλλου γένους ἢ <πλείους> προαιρέσεις ἢ τέχνας μεταχειρίζεσθαι, οἷον στρατιώτην ὄντα γεωργεῖν ἢ τεχνίτην ὄντα φιλοσοφεῖν.

(42) ἔχει δ' ἡ τῶν Ἰνδῶν χώρα πλείστους καὶ μεγίστους ἐλέφαντας, ἀλκῆι τε καὶ c. 35, 4 μεγέθει πολὺ διαφέροντας. ὀχεύεται δὲ τοῦτο τὸ ζῶιον [[οὐχ, ὥσπερ τινές φασιν, ἐξηλ- F 20 λαγμένως ἀλλ']] ὁμοίως ἵπποις καὶ τοῖς ἄλλοις τετράποσι ζώιοις. κυοῦσι δὲ τοὺς μὲν ἐλαχίστους μῆνας ἑκκαίδεκα, τοὺς δὲ πλείστους ὀκτωκαίδεκα. (2) τίκτουσι δὲ καθάπερ ἵπποι κατὰ τὸ πλεῖστον ἕν, καὶ τρέφουσι τὸ γεννηθὲν <αἱ> μητέρες ἐπ' ἔτη ἕξ. ζῶσι δ' οἱ πλεῖστοι καθάπερ ὁ μακροβιώτατος ἄνθρωπος, οἱ δὲ μάλιστα γηράσαντες ἔτη διακόσια.

(3) εἰσὶ δὲ παρ' Ἰνδοῖς καὶ ἐπὶ τοὺς ξένους ἄρχοντες τεταγμένοι, καὶ φροντίζοντες c. 41, 4 ὅπως μηδεὶς ξένος ἀδικῆται. τοῖς δ' ἀρρωστοῦσι τῶν ξένων ἰατροὺς εἰσάγουσι, καὶ τὴν F 31 § 5 ἄλλην ἐπιμέλειαν ποιοῦνται, καὶ τελευτήσαντας θάπτουσι, ἔτι δὲ τὰ καταλειφθέντα χρή-

5 ἀδικήσειεν ἂν D 10 χωρὶς δὲ τῆς μισθώσεως: missverständnis Diodors (s. F 19b § 40)? 12-15 κυνηγοῦντες – γεωργῶν D κυνιγοῦντες (so) καὶ ζωγροῦντες καὶ φιλοσοφοῦντες (so) ἐξημεροῦσι C 13 τε καὶ D καὶ r 13-14 φιλοτεχνοῦντες D φιλοπονοῦντες F 18 <τὸ> Hertlein 19 πολεμίους D 29 γένους D μέρους C <πλείους> (F 19b c. 49) Wesseling <δύο> (F 19a c. 12, 8) Rhodomannus καὶ τέχνας Rhodomannus 32 διαφέροντας <τῶν κατὰ τὴν Λιβύην o.ä.> (c. 35, 4)? 35 <αἱ> Rei ἕξ: F 20b § 43 εἰς ἔτος ὄγδοον F 20a c. 14, 7 39 τελευτήσαντα C

ματα τοῖς προσήκουσιν ἀποδιδόασιν. (4) οἵ τε δικασταὶ τὰς κρίσεις παρ' αὐτοῖς ἀκριβῶς F 32 § 54
διαγινώσκουσι, καὶ πικρῶς τοῖς ἁμαρτάνουσι προσφέρονται.

[[περὶ μὲν οὖν τῆς Ἰνδικῆς καὶ τῶν κατ' αὐτὴν ἀρχαιολογουμένων ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσιν]].

5 (2) **a**) Arrian. *Anab.* 5, 6, 2: Μεγασθένης, ὃς ξυνῆν μὲν Σιβυρτίωι τῶι T 2
σατράπηι τῆς Ἀραχωσίας, πολλάκις δὲ λέγει ἀφικέσθαι παρὰ Σανδράκοττον
τὸν Ἰνδῶν βασιλέα. **b**) – *Ind.* 5, 3: συγγενέσθαι γὰρ Σανδροκόττωι
λέγει, τῶι μεγίστωι βασιλεῖ Ἰνδῶν, καὶ Πώρου ἔτι τούτωι μείζονι.

6 (2-6) **a**) Arrian. *Anab.* 5, 6, 2: τῆς δὲ ὡς ἐπὶ νότον Ἀσίας τετραχῆι
αὖ τεμνομένης, μεγίστην μὲν μοῖραν τὴν Ἰνδῶν γῆν ποιεῖ Ἐρατοσθένης (p.
227 Berger) τε καὶ Μεγασθένης, ὃς (F 5a) .... **b**) Arrian. *Ind.* 3, 6:
(1-5 Eratosthenes p. 227 f. Be) Κτησίης δὲ ὁ Κνίδιος (688 F 49) τὴν Ἰνδῶν γῆν ἴσην
τῆι ἄλληι Ἀσίηι λέγει, οὐδὲν λέγων, οὐδὲ Ὀνησίκριτος (134 F 6), τρίτην μοῖραν τῆς
πάσης γῆς· Νέαρχος (133 F 5) δὲ μηνῶν δ ὁδὸν τὴν δι' αὐτοῦ τοῦ πεδίου τῆς Ἰνδῶν γῆς.
(7) Μεγασθένει δὲ τὸ ἀπὸ ἀνατολῶν ἐς ἑσπέρην πλάτος ἐστὶ τῆς Ἰνδῶν γῆς ὅ F 4 c. 35,
τι περ οἱ ἄλλοι μῆκος ποιέουσι· καὶ λέγει Μεγασθένης μυρίων καὶ ἑξακισχιλίων 1/2
σταδίων εἶναι ἵναπερ τὸ βραχύτατον αὐτοῦ. (8) τὸ δὲ ἀπὸ ἄρκτου πρὸς
μεσημβρίην, τοῦτο δὲ αὐτῶι μῆκος γίνεται, καὶ ἐπέχει <σταδίους> τριηκοσίους
καὶ δισχιλίους καὶ δισμυρίους ἵναπερ τὸ στενότατον αὐτοῦ. **c**) Strabon
15, 1, 11-12 p. 689/90: τὴν Ἰνδικὴν περιώριχεν ἀπὸ μὲν τῶν ἄρκτων τοῦ Ταύρου
τὰ ἔσχατα ἀπὸ τῆς Ἀριανῆς μέχρι τῆς ἑῴας θαλάττης, ἅπερ οἱ ἐπιχώριοι κατὰ μέρος
Παροπάμισόν τε καὶ Ἠμωδὸν καὶ Ἴμαον καὶ ἄλλα ὀνομάζουσι, Μακεδόνες δὲ Καύκασον·
ἀπὸ δὲ τῆς ἑσπέρας ὁ Ἰνδὸς ποταμός· τὸ δὲ νότιον καὶ τὸ προσεῷον πλευρόν, πολὺ
μείζω τῶν ἑτέρων ὄντα, προπέπτωκεν εἰς τὸ Ἀτλαντικὸν πέλαγος· καὶ γίνεται ῥομ-
βοειδὲς τὸ τῆς χώρας σχῆμα, τῶν μειζόνων πλευρῶν ἑκατέρου πλεονεκτοῦντος παρὰ τὸ
ἀπεναντίον πλευρὸν καὶ τρισχιλίοις σταδίοις, ὅσων ἐστὶ τὸ κοινὸν ἄκρον τῆς τε ἑωθινῆς
παραλίας καὶ τῆς μεσημβρινῆς, ἔξω προπεπτωκὸς ἐξ ἴσης ἐφ' ἑκάτερον παρὰ τὴν ἄλλην
ἠιόνα. τῆς μὲν οὖν ἑσπερίου πλευρᾶς ἀπὸ τῶν Καυκασίων ὀρῶν ἐπὶ τὴν νότιον θάλατταν
στάδιοι μάλιστα λέγονται μύριοι τρισχίλιοι παρὰ τὸν Ἰνδὸν ποταμὸν μέχρι τῶν ἐκβολῶν
αὐτοῦ, ὥστ' ἀπεναντίον ἡ ἑωθινή, προσλαβοῦσα τοὺς τῆς ἄκρας τρισχιλίους, ἔσται μυρίων
καὶ ἑξακισχιλίων σταδίων. τοῦτο μὲν οὖν πλάτος τῆς χώρας τό τ' ἐλάχιστον καὶ τὸ μέ-
γιστον. μῆκος δὲ τὸ ἀπὸ τῆς ἑσπέρας ἐπὶ τὴν ἕω· τούτου δὲ τὸ μὲν μέχρι Παλιβόθρων
ἔχοι τις ἂν βεβαιοτέρως εἰπεῖν (καταμεμέτρηται γὰρ σχοινίοις, καὶ ἔστιν ὁδὸς βασιλικὴ
σταδίων [δισ]μυρίων), τὰ δ' ἐπέκεινα στοχασμῶι λαμβάνεται διὰ τῶν ἀνάπλων τῶν ἐκ
θαλάττης διὰ τοῦ Γάγγου ποταμοῦ μέχρι Παλιβόθρων· εἴη δ' ἄν τι σταδίων ἑξακισχιλίων.
ἔσται δὲ τὸ πᾶν, ἧι βρα- | **d**) Strabon 2, 1, 7 p. 69: ἔτι φησὶν ὁ Ἵππαρ-

8 Πώρου ἔτι τούτωι Schwanbeck πώρωι ἔτι τούτου A [καὶ – μείζονι] Lassen 15 γῆς (F 6c; Plin. *N.H.* 6, 59) Cas ἀσίης A [γῆς] Schmieder 18 <σταδίους> Castiglioni 22 Παραπάμισος Arrian. *Ind.* 2, 3 Ἴμαον (Arrian): μᾶον (μάον) CxDF ἰμαῖον E 23 ἀπὸ δὲ τῆς EF ἀπὸ τῆς r προσεῷον: ἑῷον x πρὸς ἕω ς 24 καὶ om. ς, Tzschucke, Cor 26 ὅσων Fv ὅσον r 31 σταδίων om. E 33 ἔχει CD σχοίνοις (Arrian. *Ind.* 3, 4) Cor 34 [δισ]μυρίων Cas 35 δ' ἀντὶ CDF δ' ἂν x 36 ἔσται δὴ ? |

χύτατον, μυρίων ἑξακισχιλίων, ὡς ἔκ τε τῆς ἀναγραφῆς τῶν σταθμῶν τῆς πεπιστευμένης μάλιστα (119 F 6) λαβεῖν Ἐρατοσθένης (p. 225 f. Be) φησί· καὶ ὁ Μεγασθένης οὕτω συναποφαίνεται, Πατροκλῆς (714 F 3) δὲ χιλίοις ἔλαττόν φησι.

χος . . . αὐτὸν τὸν Ἐρατοσθένην διαβάλλειν τὴν τοῦ Πατροκλέους πίστιν ἐκ τῆς πρὸς Μεγασθένη διαφωνίας περὶ τοῦ μήκους τῆς Ἰνδικῆς τοῦ κατὰ τὸ βόρειον πλευρόν, τοῦ μὲν Μεγασθένους λέγοντος σταδίων μυρίων ἑξακισχιλίων, τοῦ δὲ Πατροκλέους χιλίοις λείπειν φαμένου· ἀπὸ γάρ τινος ἀναγραφῆς σταθμῶν ὁρμηθέντα τοῖς μὲν ἀπιστεῖν διὰ τὴν διαφωνίαν, ἐκείνηι δὲ προσέχειν.

τούτωι δὴ πάλιν τῶι διαστήματι προστεθὲν τὸ τῆς ἄκρας διάστημα τὸ προπῖπτον ἐπὶ πλέον πρὸς τὰς ἀνατολάς, οἱ τρισχίλιοι στάδιοι ποιήσουσι τὸ μέγιστον μῆκος· ἔστι δὲ τοῦτο τὸ ἀπὸ τῶν ἐκβολῶν τοῦ Ἰνδοῦ ποταμοῦ παρὰ τὴν ἑξῆς ἠιόνα μέχρι τῆς λεχθείσης ἄκρας καὶ τῶν ἀνατολικῶν αὐτῆς τερμόνων· οἰκοῦσι δ' ἐνταῦθα οἱ Κωλιακοὶ καλούμενοι. (12) ἐκ δὲ τούτων πάρεστιν ὁρᾶν, ὅσον διαφέρουσιν αἱ τῶν ἄλλων ἀποφάσεις, Κτησίου μὲν οὐκ ἐλάττω τῆς ἄλλης Ἀσίας τὴν Ἰνδικὴν λέγοντος, Ὀνησικρίτου δὲ τρίτον μέρος τῆς οἰκουμένης, Νεάρχου δὲ μηνῶν ὁδὸν τεττάρων τὴν δι' αὐτοῦ τοῦ πεδίου, Μεγασθένους δὲ καὶ Δημάχου μετριασάντων μᾶλλον· ὑπὲρ γὰρ δισμυρίους τιθέασι σταδίους τὸ ἀπὸ τῆς νοτίου θαλάττης ἐπὶ τὸν Καύκασον, Δηίμαχος (716 F 2a) δ' ὑπὲρ τοὺς τρισμυρίους κατ' ἐνίους τόπους· πρὸς οὓς ἐν τοῖς πρώτοις λόγοις (2, 1, 2 ff. = Patrokles 714 F 2) εἴρηται.

7 (7-8) a) Strabon 2, 1, 19-20 p. 76/7: πάλιν δ' ἐκείνου (Eratosth. p. 178 ff. Berger) τὸν Δηίμαχον ἰδιώτην ἐνδείξασθαι βουλομένου καὶ ἄπειρον τῶν τοιούτων — οἴεσθαι γὰρ (716 F 3) τὴν Ἰνδικὴν μεταξὺ κεῖσθαι τῆς τε φθινοπωρινῆς ἰσημερίας καὶ τῶν τροπῶν τῶν χειμερινῶν, Μεγασθένει τε ἀντιλέγειν φήσαντι ἐν τοῖς νοτίοις μέρεσι τῆς Ἰνδικῆς τάς τε ἄρκτους ἀποκρύπτεσθαι καὶ τὰς σκιὰς ἀντιπίπτειν· μηδέτερον γὰρ τούτων μηδαμοῦ τῆς Ἰνδικῆς συμβαίνειν —, ταῦτα δὴ φάσκοντος ἀμαθῶς λέγεσθαι . . . . (in der abweisung von Hipparchs polemik gegen Eratosthenes) εἰ δὲ δὴ καὶ αἱ ἄρκτοι ἐκεῖ ἀμφότεραι, ὡς οἴονται, ἀποκρύπτονται, πιστεύοντες τοῖς περὶ Νέαρχον (133 F 16), μὴ δυνατὸν εἶναι ἐπὶ ταὐτοῦ παραλλήλου κεῖσθαι τήν τε Μερόην καὶ ταῦτα τὰ ἄκρα τῆς Ἰνδικῆς. εἰ μὲν τοίνυν περὶ τῶν ἄρκτων ἀμφοτέρων ὅτι ἀποκρύπτονται, συναποφαίνεται τοῖς εἰποῦσιν Ἐρατοσθένης, πῶς περὶ τοῦ ἐν τῆι Ἰνδικῆι κλίματος οὐδεὶς ἀποφαίνεται, οὐδ' αὐτὸς Ἐρατοσθένης; οὗτος γὰρ ὁ λόγος περὶ τοῦ κλίματός ἐστιν. εἰ δ' οὐ συναποφαίνεται, ἀπηλλάχθω τῆς αἰτίας. οὐ συναποφαίνεται δέ γε, ἀλλὰ τοῦ Δημάχου φήσαντος μηδαμοῦ τῆς Ἰνδικῆς μήτ' ἀποκρύπτεσθαι τὰς ἄρκτους μήτ' ἀντιπίπτειν τὰς σκιάς, ἅπερ ὑπείληφεν ὁ Μεγασθένης, ἀπειρίαν αὐτοῦ καταγιγνώσκει, τὸ συμπεπλεγμένον νομίζων ψεῦδος, ἐν ὧι ὁμολογουμένως καὶ κατ' αὐτὸν τὸν Ἵππαρχον τό γε μὴ ἀντιπίπτειν τὰς σκιὰς ψεῦδος ἐμπέπλεκται. b) Plin. *N.H.* 6, 69: *ab his*

F 4 c. 35, 2

5 ἑξακισχιλίων Cas πεντακισχιλίων o

14 Κωλιακοὶ (Mela 3, 67/8; Plin. *N.H.* 6, 86; Dion. Per. 1148) Salm κωνιακοὶ o 15 ὅσα D[1] 17 δι' αὐτοῦ τοῦ o (cf. b) διὰ τοῦ Cor 28 δὴ Cas δὲ o 30 οἴεται Cor πιστεύων ABC Cor 31 [ταῦτα] Cor 39 *ab in* (del. F) *his in* DFE

(den Prasii – Palibothri) *in interiore situ Monaedes et Suari, quorum mons Maleus, in quo umbrae ad septentrionem cadunt hieme, aestate in austrum per senos menses. septentriones eo tractu semel anno adparere, nec nisi quindecim diebus, Baeton* (119 F 4) *auctor est. hoc idem pluribus locis Indiae fieri Megasthenes.*

8 (9) STRABON 15, 1, 20 p. 693: Μεγασθένης δὲ τὴν εὐδαιμονίαν τῆς F 4 c. 35, Ἰνδικῆς ἐπισημαίνεται τῶι δίκαρπον εἶναι καὶ δίφορον, καθάπερ καὶ Ἐρατο- 3;36,4/5 σθένης (p. 235 Be) ἔφη, τὸν μὲν εἰπὼν σπόρον χειμερινὸν τὸν δὲ θερινόν, καὶ 721 F 7a ὄμβρον ὁμοίως· οὐδὲν γὰρ ἔτος εὑρίσκεσθαί φησι πρὸς ἀμφοτέρους καιροὺς ἄνομβρον, ὥστ' εὐετηρίαν ἐκ τούτου συμβαίνειν, ἀφόρου μηδέποτε τῆς γῆς οὔσης. τούς τε ξυλίνους καρποὺς γεννᾶσθαι πολλοὺς καὶ τὰς ῥίζας τῶν φυτῶν, καὶ μάλιστα τῶν μεγάλων καλάμων, γλυκείας καὶ φύσει καὶ ἑψήσει, χλιαινομένου τοῦ ὕδατος τοῖς ἡλίοις τοῦ τ' ἐκπίπτοντος ἐκ Διὸς καὶ τοῦ ποταμίου. τρόπον δή τινα λέγειν βούλεται, διότι ἡ παρὰ τοῖς ἄλλοις λεγομένη πέψις καὶ καρπῶν καὶ χυμῶν παρ' ἐκείνοις ἕψησίς ἐστι, καὶ κατεργάζεται τοσοῦτον εἰς εὐστομίαν ὅσον καὶ ἡ διὰ πυρός. διὸ καὶ τοὺς κλάδους φησὶν εὐκαμπεῖς εἶναι τῶν δένδρων, ἐξ ὧν οἱ τροχοί· ἐκ δὲ τῆς αὐτῆς αἰτίας ἐνίοις καὶ ἐπανθεῖν ἔριον. (Es folgt Nearchos 133 F 19).

9 (18) a) ARRIAN. *Ind.* 4, 2: αὐτοῖν δὲ τοῖν μεγίστοιν ποταμοῖν τοῦ τε F 4 c. 37 Γάγγεω καὶ τοῦ Ἰνδοῦ τὸν Γάγγεα μεγέθει πολύ τι ὑπερφέρειν Μεγασθένης ἀνέγραψε [[καὶ ὅσοι ἄλλοι μνήμην τοῦ Γάγγεω ἔχουσιν (721 F 16)]]. (3) αὐτόν τε γὰρ μέγαν ἀνίσχειν ἐκ τῶν πηγέων, δέχεσθαί τε ἐς ἑωυτὸν τόν τε Καινὰν ποταμὸν καὶ τὸν Ἐραννοβόαν καὶ τὸν Κοσσόανον πάντας πλωτούς, ἔτι δὲ Σῶνόν τε ποταμὸν καὶ Σιττόκατιν καὶ Σολόματιν καὶ τούτους πλωτούς, ἐπὶ δὲ Κονδοχάτην τε καὶ Σάμβον καὶ Μάγωνα καὶ Ἀγόρανιν καὶ Ὤμαλιν. (4) ἐμβάλλουσι δὲ ἐς αὐτὸν Κομμινάσης τε μέγας ποταμὸς καὶ Κάκουθις καὶ Ἀνδώματις ἐξ ἔθνεος Ἰνδικοῦ τοῦ Μαδυανδινῶν ῥέων. (5) καὶ ἐπὶ τούτοισιν Ἄμυστις παρὰ πόλιν Καταδούπην καὶ Ὀξύμαγις ἐπὶ <τοῖσι> Παζάλαις καλουμένοισι· καὶ Ἐρέννεσις ἐν Μάθαις ἔθνει Ἰνδικῶι συμβάλλει τῶι Γάγγηι. (6) τούτων λέγει Μεγασθένης οὐδένα εἶναι τοῦ Μαιάνδρου ἀποδέοντα, ἵναπερ ναυσίπορος ὁ Μαίανδρος.

(7) εἶναι ὧν τὸ εὖρος | b) STRABON 15, 1, 35 p. 702: (Ps. Krateros

---

3-4 *sicut auctor est Baeton, qui perhibet hoc in plurimis Indiae locis evenire* Solin. 52, 13 7-8 εἰπών – φησί: wohl sicher M., nicht Eratosthenes 8 ὄμβρων D 11 τῶν καλ. τῶν μεγάλων E 12 ἐκ θεοῦ E 13 δή: δὲ Cor διότι: ὅτι x 14 εὐστομίαν: εὐδοκίαν F 20 ὅσοι ἄλλοι: Ps. Krateros 153 F 2? 21 καϊναν (so) A *cainnas* (*camna* a) Plin. *N.H.* 6, 64 22 Ἐραννοβόαν (c. 10, 5) Vulcanius ἐρρανοβόαν A *Rhamnumbovam* Plin. *N.H.* 6, 65 cf. Strab. 15, 1, 36 ἐπὶ δὲ τῆι συμβολῆι τούτου (*scil.* τοῦ Γάγγου) καὶ † τοῦ ἄλλου ποταμοῦ (Ἐραννοβόα Schmieder Ἰσάμου Altheim *Weltgesch. Asiens* I p. 326) τὰ Παλίβοθρα ἱδρῦσθαι? 27 Ὀξύματις Schwanbeck ἐν <τοῖσι> He 28 <δὲ> ἐν He
31 ὧν (u. οὗ) apogr. ὥν A[2]

τῶι Γάγγηι, ἔνθαπερ αὐτὸς ἑωυτοῦ στεινότατος, ἐς ἑκατὸν σταδίους· πολλαχῇ δὲ καὶ λιμνάζειν, ὡς μὴ ἄποπτον εἶναι τὴν πέρην χώρην, ἵναπερ χθαμαλή τέ ἐστι καὶ οὐδαμῇ γηλόφοισιν ἀνεστηκυῖα.

153 F 2 = 721 F 11) ὅτι μὲν γὰρ μέγιστος τῶν μνημονευομένων κατὰ τὰς τρεῖς ἠπείρους (der Ganges), καὶ μετ' αὐτὸν ὁ Ἰνδός, τρίτος δὲ καὶ τέταρτος ὁ Ἴστρος καὶ ὁ Νεῖλος, ἱκανῶς συμφωνεῖται· τὰ καθ' ἕκαστα δ' ἄλλοι ἄλλως περὶ αὐτοῦ λέγουσιν, οἱ μὲν τριάκοντα σταδίων τοὐλάχιστον πλάτος, οἱ δὲ καὶ τριῶν (?)· Μεγασθένης δὲ ὅταν ἦι μέτριος καὶ εἰς ἑκατὸν εὐρύνεσθαι, βάθος δὲ εἴκοσι ὀργυιῶν τοὐλάχιστον.

(8) τῶι δὲ Ἰνδῶι ἐς ταὐτὸν ἔρχεται. Ὑδραώτης μὲν ἐν Καμβισθόλοις, παρειληφὼς τόν τε Ὕφασιν ἐν Ἀστρύβαις καὶ τὸν Σαράγγην ἐκ Κηκαίων καὶ τὸν Σύδρον ἐξ Ἀττακηνῶν, ἐς Ἀκεσίνην ἐμβάλλει. (9) Ὑδάσπης δὲ ἐν Συδράκαις, ἄγων ἅμα οἷ τὸν Σίναρον ἐν Ἀρίσπηισιν, ἐς τὸν Ἀκεσίνην ἐκδιδοῖ καὶ οὗτος· [ὁ δὲ Ἀκεσίνης ἐν Μαλλοῖς ξυμβάλλει τῶι Ἰνδῶι] καὶ Τούταπος δὲ μέγας ποταμὸς ἐς τὸν Ἀκεσίνην ἐκδιδοῖ. (10) τούτων ὁ Ἀκεσίνης ἐμπλησθεὶς καὶ τῆι ἐπικλήσει ἐκνικήσας, αὐτὸς τῶι ἑωυτοῦ ἤδη ὀνόματι <ἐν Μαλλοῖς> ἐσβάλλει ἐς τὸν Ἰνδόν. (11) Κωφὴν δὲ ἐν Πευκελαΐτιδι, ἅμα οἷ ἄγων Μαλάμαντόν τε καὶ Σόαστον καὶ Γαροίαν, ἐκδιδοῖ ἐς τὸν Ἰνδόν. (12) καθύπερθε δὲ τουτέων Πάρεννος καὶ Σάπαρνος οὐ πολὺ διέχοντες ἐμβάλλουσιν ἐς τὸν Ἰνδόν. Σόανος δὲ ἐκ τῆς ὀρεινῆς τῆς Ἀβισσαρέων ἔρημος ἄλλου ποταμοῦ ἐκδιδοῖ ἐς αὐτόν. καὶ τουτέων τοὺς πολλοὺς Μεγασθένης λέγει ὅτι πλωτοί εἰσιν. [[(13-16) οὔκουν ἀπιστίαν χρὴ ἔχειν ὑπέρ τε τοῦ Ἰνδοῦ καὶ τοῦ Γάγγεω μηδὲ συμβλητοὺς εἶναι αὐτοῖσι τόν τε Ἴστρον καὶ τοῦ Νείλου τὸ ὕδωρ κτλ.
(5) τὸ δὲ αἴτιον ὅστις ἐθέλει φράζειν τοῦ πλήθεός τε καὶ μεγέθεος τῶν Ἰνδῶν ποταμῶν, φραζέτω· ἐμοὶ δὲ καὶ ταῦτα ὡς ἀκοὴ ἀναγεγράφθω.]] ἐπεὶ καὶ ἄλλων πολλῶν ποταμῶν οὐνόματα Μεγασθένης ἀνέγραψεν, οἳ ἔξω τοῦ

3-4 καὶ – Νεῖλος: s. zu lin. 22/3 5 αὐτοῦ F αὐτῶν r 7 καὶ om. E κ καὶ τριῶν?

11 Σαράγγην v σαράγγιν o Κηκαίων Marquart, Roos κηκέων A cf. Plin. *N.H.* 6, 77 *Umbrilae Ceaeque* (*Cecaeaeque* Marquart) 12 Σύδρον (Plin. *N.H.* 6, 63) νευδρον (so) A ἐξ Ἀττ. <ῥέοντα> Roos ἐς <τὸν> He ἐμβάλλει Vulcanius ἐμβαλλ/ A ἐμβάλλουσιν v 12-13 Συδράκαις Marquart, Roos οὐδράκαις A Ὀξυδράκαισ(ιν) v; cf. Συδράκαι (ὀξυδράκαι E) Strab. 15, 1, 33 (= Nearchos o. Aristobulos? Ὕδρακες 15, 1, 6 = F 11a); *Sudracae* Curtius 9, 4, 15; 24; 26; *Sydraci* Plin. *N.H.* 6, 92 (Sieglin *syndraci* o); 12, 24; Justin. 12, 9, 3 (? *sugambri* o *Sudracae* Gutschmid) Ὀξυδράκαι Arrian. Anab. 5, 22, 2 u.ö.; Strab. 15, 1, 8 (σύδρακες F) = Eratosthenes(?) 13 Σίναρον: Κουσίναρον Marquart Σίνδον? Kiessling 14 [ὁ – Ἰνδῶι] Marquart; cf. § 10 Τούταπος: Οὐίτασπος Marquart 16-17 <ἐν Μαλλοῖς> Jac; cf. § 9 20 Ἀβισσαρέων Lassen βισσαρέων A² σαβισσαρέων apogr. 22-23: Arrian. *Ind.* 3, 9-10; *Anab.* 5, 6, 7-8

Γάγγεώ τε καὶ τοῦ Ἰνδοῦ ἐκδιδοῦσιν ἐς τὸν ἑῶιόν τε καὶ μεσημβρινὸν τὸν ἔξω πόντον, ὥστε τοὺς πάντας ὀκτὼ καὶ πεντήκοντα λέγει ὅτι εἰσὶν Ἰνδοὶ ποταμοί, ναυσίποροι πάντες. (§ 3 = T 2b).

10 (19) **a**) ARRIAN. *Ind.* 6: ταῦτα μέν μοι ἐκβολὴ ἔστω τοῦ λόγου ἐς τὸ μὴ πιστὰ φαίνεσθαι ὅσα ὑπὲρ τῶν ἐπέκεινα τοῦ Ὑφάσιος ποταμοῦ Ἰνδῶν μετεξέτεροι ἀνέγραψαν (721 F 6d) .... (2) ἐπεὶ καὶ τόδε λέγει Μεγασθένης ὑπὲρ ποταμοῦ Ἰνδικοῦ, Σίλαν μὲν εἶναί οἱ ὄνομα, ῥέειν δὲ ἀπὸ κρήνης ἐπωνύμου τοῦ ποταμοῦ διὰ τῆς χώρης τῆς Σιλαίων, καὶ τούτων ἐπωνύμων τοῦ ποταμοῦ τε καὶ τῆς κρήνης, τὸ δὲ ὕδωρ παρέχεσθαι τοιόνδε· (3) οὐδὲν εἶναι ὅτωι ἀντέχει τὸ ὕδωρ, <καὶ> οὔτε τι νήχεσθαι ἐπ' αὐτοῦ οὔτε τι ἐπιπλεῖν, ἀλλὰ πάντα γὰρ ἐς βυσσὸν δύνειν· οὕτω τι ἀμενηνότερον πάντων εἶναι τὸ ὕδωρ ἐκεῖνο καὶ ἠεροειδέστερον.

b) STRABON 15, 1, 38: ἐν δὲ τῆι ὀρεινῆι Σίλαν ποταμὸν εἶναι (*scil.* Μεγασθένης φησίν), ὧι μηδὲν ἐπιπλεῖ. Δημόκριτον (Vorsokr.[5] 68 [55] A 12) μὲν οὖν ἀπιστεῖν, ἅτε πολλὴν τῆς Ἀσίας πεπλανημένον· καὶ Ἀριστοτέλης (–) δὲ ἀπιστεῖ, καίπερ καὶ ἀέρων ὄντων λεπτῶν, οἷς οὐδὲν ἐποχεῖται πτηνόν· ἔτι δὲ τῶν ἀναφερομένων ἀτμῶν ἐπισπαστικοί τινές εἰσι πρὸς ἑαυτοὺς καὶ οἷον ῥοφητικοὶ τοῦ ὑπερπετοῦς, ὡς τὸ ἤλεκτρον τοῦ ἀχύρου καὶ ἡ σιδηρῖτις τοῦ σιδήρου· τάχα δὲ καὶ καθ' ὕδατος τοιαῦταί τινες εἶεν ἂν δυνάμεις. [[ταῦτα μὲν οὖν φυσιολογίας ἔχεταί τινος καὶ τῆς περὶ τῶν ὀχουμένων πραγματείας, ὥστε ἐν ἐκείνοις ἐπισκεπτέον κτλ.]]. F 4 c. 37, 7

11 (20-21) **a**) STRABON 15, 1, 6-7 p. 686/7: (721 F 5) συναποφαίνεται δέ πως καὶ Μεγασθένης τῶι λόγωι τούτωι, κελεύων ἀπιστεῖν ταῖς ἀρχαίαις περὶ Ἰνδῶν ἱστορίαις· οὔτε γὰρ παρ' Ἰνδῶν ἔξω σταλῆναί ποτε στρατιὰν οὔτ' ἐπελθεῖν ἔξωθεν καὶ κρατῆσαι, πλὴν τῆς μεθ' Ἡρακλέους

b) ARRIAN. *Ind.* 5, 4: οὗτος ὦν ὁ Μεγασθένης λέγει, οὔτε Ἰνδοὺς ἐπιστρατεῦσαι οὐδαμοῖσιν ἀνθρώποισιν οὔτε Ἰνδοῖσιν ἄλλους ἀνθρώπους, (5) ἀλλὰ Σέσωστριν μὲν τὸν Αἰγύπτιον τῆς Ἀσίης καταστρεψάμενον τὴν πολλήν, ἔστε ἐπὶ τὴν Εὐρώπην σὺν στρατιῆι F 4 c. 38, 1; 39, 4; F 14

1 ἐκδιδοῦσιν v ἐκδίδωσιν A 2 [τὸν ἔξω] He 2-3: Plin. *N.H.* 6, 60 *Seneca* (644 F 2) ... *LX amnes eius prodidit*

11 Σίλαν (cf. b?; Ktesias 688 F 47) Σίλλας F 4 c. 37, 7 Σίλλη Paradox. Vat. 36 (= Hellanikos 4 F 190) 14 Σιλαίων Rei σιλεων (so) A[2] σιλέων apogr. cf. *Silae* (*silei* a) Plin. *N.H.* 6, 77 17 <καὶ> He 18 ἐπ' αὐτοῦ: ἐν αὐτῶι He 29-30 στρατεία CD στρατίαν F

6 σίλαν Epit σιλίαν r 9-11 οὖν <οὐκ> ἀπιστεῖν – [καὶ] Ἀριστοτέλης δὲ Cor πεπλανημένον, <οὐδαμοῦ δὲ τοιοῦτόν τι εὑρηκότα o.ä.> Groskurd 12 καὶ om. D[1]Fv 19-22 [[ ]] zusatz Strabons 28 ἀσίας A 29 <καὶ> ἔστε He

καὶ Διονύσου (F 12/3) καὶ τῆς νῦν μετὰ Μακεδόνων. καίτοι Σέσωστριν μὲν τὸν Αἰγύπτιον καὶ Τεάρχωνα τὸν Αἰθίοπα ἕως Εὐρώπης προελθεῖν, Ναβοκοδρόσορον δὲ τὸν παρὰ Χαλδαίοις εὐδοκιμήσαντα Ἡρακλέους μᾶλλον καὶ ἕως Στηλῶν ἐλάσαι (F 1)· μέχρι μὲν δὴ δεῦρο καὶ Τεάρχωνα ἀφικέσθαι, ἐκεῖνον δὲ καὶ ἐκ τῆς Ἰβηρίας εἰς τὴν Θράικην καὶ τὸν Πόντον ἀγαγεῖν τὴν στρατιάν· Ἰδάνθυρσον δὲ τὸν Σκύθην ἐπιδραμεῖν τῆς Ἀσίας μέχρι Αἰγύπτου. τῆς δὲ Ἰνδικῆς μηδένα τούτων ἅψασθαι· καὶ Σεμίραμιν δ' ἀποθανεῖν πρὸ τῆς ἐπιχειρήσεως. Πέρσας δὲ

ἐλάσαντα, ὀπίσω ἀπονοστῆσαι, Ἰδάνθυρσον δὲ τὸν Σκύθεα ἐκ Σκυθίης ὁρμηθέντα πολλὰ μὲν τῆς Ἀσίης ἔθνεα καταστρέψασθαι, ἐπελθεῖν δὲ καὶ τὴν Αἰγυπτίων γῆν κρατέοντα. (7) Σεμίραμιν δὲ τὴν Ἀσσυρίην ἐπιχειρέειν μὲν στέλλεσθαι εἰς Ἰνδούς, ἀποθανεῖν δὲ πρὶν τέλος ἐπιθεῖναι τοῖς βουλεύμασιν. ἀλλὰ Ἀλέξανδρον γὰρ στρατεῦσαι ἐπ' Ἰνδοὺς μοῦνον. [[(8) καὶ πρὸ Ἀλεξάνδρου Διονύσου μὲν πέρι πολλὸς λόγος κατέχει ὡς καὶ τούτου στρατεύσαντος ἐς Ἰνδοὺς καὶ καταστρεψαμένου [Ἰνδούς], Ἡρακλέος δὲ πέρι οὐ πολλὸς κτλ. (F 12/3)]].

μισθοφόρους μὲν ἐκ τῆς Ἰνδικῆς μεταπέμψασθαι Ὕδρακας, ἐκεῖ δὲ μὴ στρατεῦσαι (F 14a c. 9, 10), ἀλλ' ἐγγὺς ἐλθεῖν μόνον, ἡνίκα Κῦρος ἤλαυνεν ἐπὶ Μασσαγέτας. [[(7) καὶ τὰ περὶ Ἡρακλέους δὲ καὶ Διονύσου Μεγασθένης μὲν μετ' ὀλίγων πιστὰ ἡγεῖται κτλ. (s. 721 F 3a)]].

12 (23) ARRIAN. *Ind.* 7: ἔθνεα δὲ Ἰνδικὰ εἴκοσι καὶ ἑκατὸν τὰ πάντα λέγει Μεγασθένης δυοῖν δέοντα. F 4 c. 3 [[καὶ πολλὰ μὲν εἶναι ἔθνεα Ἰνδικὰ καὶ αὐτὸς συμφέρομαι Μεγασθένει, τὸ δὲ ἀτρεκὲς οὐκ ἔχω εἰκάσαι ὅπως ἐκμαθὼν ἀνέγραψεν, οὐδὲ πολλοστὸν μέρος τῆς Ἰνδῶν γῆς ἐπελθὼν οὐδὲ ἐπιμιξίης πᾶσι τοῖς γένεσιν ἐούσης ἐς ἀλλήλους.]]. 1 T 2

(2) πάλαι μὲν δὴ νομάδας εἶναι Ἰνδοὺς καθάπερ Σκυθέων τοὺς οὐκ ἀροτῆρας, F 4 c. 3 οἳ ἐπὶ τῇσιν ἁμάξῃσι πλανώμενοι ἄλλοτε ἄλλην τῆς Σκυθίης ἀμείβουσιν, οὔτε 2/3 πόληας οἰκέοντες οὔτε ἱερὰ θεῶν σέβοντες· (3) οὕτω μηδὲ Ἰνδοῖσι πόληας εἶναι μηδὲ ἱερὰ θεῶν δεδομημένα, ἀλλ' ἀμπίσχεσθαι μὲν δορὰς θηρείους [ὅσων κατακάνοιεν], σιτέεσθαι δὲ τῶν δενδρέων τὸν φλοιόν· καλέεσθαι δὲ τὰ δένδρεα ταῦτα τῆι Ἰνδῶν φωνῆι τάλα, καὶ φύεσθαι ἐπ' αὐτῶν κατάπερ τῶν φοινίκων ἐπὶ τῇσι κορυφῇσι οἷάπερ τολύπας. (4) σιτέεσθαι δὲ καὶ τῶν θηρίων ὅσα

3 τέαρχον F cf. 1, 3, 21 Τεαρχὼ τοῦ Αἰθίοπος (o) 9 [καὶ] ς Cor

1-2 Ἰδάνθυρσον He ἰνδάθυρσον (*v.l.* Herodt. 4, 76, 6) A; s. zu Arrian. (Parth.) 156 F 30a 11 μὲν apogr. B (Suda s.v. πολλός) om. A² apogr. 14 [Ἰνδούς] Jac

16 Ὕδρακας: Ὀξυδράκας Groskurd; cf. zu p. 614, 12/3 20-21: Seneca 644 F 2 τὰ πάντα He τι ἅπαντα A τὰ ἅπαντα v 21. δυοῖν v δυεῖν A 23 οὔτε – οὔτε He οὐδὲ – κοὐδὲ? Roos 23-24 γένεσιν: ἔθνεσιν? 24 ἐς ἄλληλα He 25-27 καθάπερ – σέβοντες: cf. Arrian. (*Bithyn.*) 156 F 72 27 (p. 617, 2) πόλιας ed. Venet. 28 δορὰς θηρίων (cf. § 4) v 28-29 [ὅ. κ.] Jac

ἕλοιεν ὠμοφαγέοντας, πρίν γε δὴ Διόνυσον ἐλθεῖν ἐς τὴν χώρην τῶν Ἰνδῶν. (5) Διόνυσον δὲ ἐλθόντα, ὡς καρτερὸς ἐγένετο Ἰνδῶν, πόληάς τε οἰκίσαι καὶ νόμους θέσθαι τῇσι πόλεσιν, οἴνου τε δοτῆρα Ἰνδοῖς γενέσθαι κατάπερ Ἕλλησι, καὶ σπείρειν διδάξαι τὴν γῆν, διδόντα αὐτὸν σπέρματα [[(6) ἢ οὐκ ἐλάσαντος ταύτῃ Τριπτολέμου, ὅτε περ ἐκ Δήμητρος ἐστάλη σπείρειν τὴν γῆν πᾶσαν, ἢ πρὸ Τριπτολέμου τις οὗτος Διόνυσος ἐπελθὼν τὴν Ἰνδῶν γῆν σπέρματά σφισιν ἔδωκε καρποῦ τοῦ ἡμέρου]]. (7) βόας τε ὑπ' ἄροτρον ζεῦξαι Διόνυσον πρῶτον, καὶ ἀροτῆρας ἀντὶ νομάδων ποιῆσαι Ἰνδῶν τοὺς πολλούς, καὶ ὁπλίσαι ὅπλοισι τοῖσιν ἀρηίοισι. (8) καὶ θεοὺς σέβειν ὅτι ἐδίδαξε Διόνυσος ἄλλους τε καὶ μάλιστα δὴ ἑωυτὸν κυμβαλίζοντας καὶ τυμπανίζοντας· καὶ ὄρχησιν δὲ ἐκδιδάξαι τὴν σατυρικήν, τὸν κόρδακα παρ' Ἕλλησι καλούμενον· (9) καὶ κομᾶν [Ἰνδοὺς] τῶι θεῶι μιτρηφορέειν τε ἀναδεῖξαι, καὶ μύρων ἀλοιφὰς ἐκδιδάξαι, ὥστε καὶ εἰς Ἀλέξανδρον ἔτι ὑπὸ κυμβάλων τε καὶ τυμπάνων ἐς τὰς μάχας Ἰνδοὶ καθίσταντο.

(8) ἀπιόντα δὲ ἐκ τῆς Ἰνδῶν γῆς ὥς οἱ ταῦτα κεκοσμέατο, καταστῆσαι βασιλέα τῆς χώρης Σπατέμβαν, τῶν ἑταίρων ἕνα τὸν βακχωδέστατον· τελευτήσαντος δὲ Σπατέμβα, τὴν βασιληίην ἐκδέξασθαι Βουδύαν τὸν τούτου παῖδα· (2) καὶ τὸν μὲν πεντήκοντα καὶ δύο ἔτεα βασιλεῦσαι Ἰνδῶν τὸν πατέρα, τὸν δὲ παῖδα εἴκοσιν ἔτεα. (3) καὶ τούτου παῖδα ἐκδέξασθαι τὴν βασιληίην Κραδεύαν, καὶ τὸ ἀπὸ τοῦδε τὸ πολὺ μὲν κατὰ γένος ἀμείβειν τὴν βασιληίην, παῖδα F 14
παρὰ πατρὸς ἐκδεχόμενον· εἰ δὲ ἐκλείποι τὸ γένος, οὕτω δὴ ἀριστίνδην καθίστασθαι Ἰνδοῖσι βασιλέας.

13 (23-24; 33) **a)** ARRIAN. *Ind.* 8, 4: Ἡρακλέα δὲ ὅντινα ἐς Ἰνδοὺς F 4 c. 39,
ἀφικέσθαι λόγος κατέχει, παρ' αὐτοῖσιν Ἰνδοῖσι γηγενέα λέγεσθαι. (5) τοῦτον 1-4
τὸν Ἡρακλέα μάλιστα πρὸς Σουρασηνῶν γεραίρεσθαι, Ἰνδικοῦ ἔθνεος, ἵνα δύο πόληες μεγάλαι, Μέθορά τε καὶ Κλεισόβορα· καὶ ποταμὸς Ἰωμάνης πλωτὸς διαρρεῖ τὴν χώρην αὐτῶν. (6) τὴν σκευὴν δὲ οὗτος ὁ Ἡρακλέης ἥντινα ἐφόρεε, Μεγασθένης λέγει ὅτι ὁμοίη τῶι Θηβαίωι Ἡρακλεῖ, ὡς αὐτοὶ Ἰνδοὶ ἀπηγέονται. καὶ τούτωι ἄρσενας μὲν παῖδας πολλοὺς κάρτα γενέσθαι ἐν τῇι

***b)** PLIN. *N.H.* 6, 76: *gens Pandae, sola Indorum regnata feminis: unam*

1 πρίν γε δὴ He πρὶν ὲ δὴ A ('incertum utrum A[2] voluerit ε delere an τ, non γ, superscripserit' Roos) τὴν Ἰνδῶν Rei 4-6 [[ ]] zusatz Arrians oder (eher) interpolation 7 ἄροτρον He ἀροτρω (so) A 11-13 [Ἰνδούς] Roos [ὥστε – καθίσταντο] (aus c. 5, 9) He; verwirrung in dem stark gekürzten excerpt (καὶ κομᾶν – ἐκδιδάξαι nachtrag Arrians an falscher stelle)? 11 τῶι θεῶι: $\overset{ω}{τ}$ διο$\overset{υ}{ν}$ A[mg] (m. 1?) 12 καταδεῖξαι Rei 15 [ἕνα] He τῶν βακχωδεστάτων? Castiglioni 16 Βουδύαν Vulcanius βονδύαν A 18-19 Κραδεύαν: Πραρεύαν o.ä. Lassen (*I.A.*[2] I p. 610) 25 πόλιες ed. Bas. Ἰωμάνης (Plin. *N.H.* 6, 69; cf. 6, 63) Roos ἰῶβάρης A Διαμούνας Ptolem. 7, 1, 29; 42 27 ὁμοίη Jac ὁμοίην Av ὁμοίη ἦν? Castiglioni; cf. c. 5, 12 27-p. 618, 8: cf. Polyaen. *Strat.* 1, 3, 4?

28 *Pandaea gens* Solin. 52, 15 29 *<nam> unam?*

Ἰνδῶν γῆι – πολλῆισι γὰρ δὴ γυναιξὶν ἐς γάμον ἐλθεῖν καὶ τοῦτον τὸν Ἡρακλέα –, θυγατέρα δὲ μουνογενέην. (7) οὔνομα δὲ εἶναι τῆι παιδὶ Πανδαίην, καὶ τὴν χώρην ἵνα τε ἐγένετο καὶ

Herculi sexus eius genitam ferunt ob idque gratiorem praecipuo regno donatam; ab ea deducentes originem imperitant CCC oppidis, peditum $\overline{CL}$, elephantis D.

ἥστινος ἐπέτρεψεν αὐτῆι ἄρχειν Ἡρακλέης, Πανδαίην <καλεῖσθαι> τῆς παιδὸς ἐπώνυμον. καὶ ταύτηι ἐλέφαντας μὲν γενέσθαι ἐκ τοῦ πατρὸς ἐς πεντακοσίους, ἵππον δὲ ἐς τετρακισχιλίην, πεζῶν δὲ ἐς τὰς τρεῖς καὶ δέκα μυριάδας.

(8) καὶ τάδε μετεξέτεροι Ἰνδῶν περὶ Ἡρακλέους λέγουσιν, ἐπελθόντα αὐτὸν πᾶσαν γῆν καὶ θάλασσαν καὶ καθήραντα ὅ τι περ κακόν, καινὸν εἶδος F 4 c
ἐξευρεῖν ἐν τῆι θαλάσσηι κόσμου γυναικηίου [[(9) ὅντινα καὶ εἰς τοῦτο ἔτι οἵ τε ἐξ Ἰνδῶν τῆς χώρης τὰ ἀγώγιμα παρ' ἡμέας ἀγινέοντες σπουδῆι ὠνεόμενοι ἐκκομίζουσι, καὶ Ἑλλήνων δὲ πάλαι καὶ Ῥωμαίων νῦν ὅσοι πολυκτέανοι καὶ εὐδαίμονες μέζονι ἔτι σπουδῆι ὠνέονται]], τὸν μαργαρίτην δὴ τὸν θαλάσσιον οὕτω τῆι Ἰνδῶν γλώσσηι καλεόμενον. (10) τὸν γὰρ Ἡρακλέα ὡς καλόν οἱ ἐφάνη τὸ φόρημα, ἐκ πάσης τῆς θαλάσσης ἐς τὴν Ἰνδῶν γῆν συναγινέειν τὸν μαργαρίτην δὴ τοῦτον, τῆι θυγατρὶ τῆι ἑωυτοῦ εἶναι κόσμον. (11) καὶ λέγει Μεγασθένης θηρεύεσθαι τὴν κόγχην αὐτοῦ δικτύοισι, νέμεσθαι δ' ἐν τῆι θαλάσσηι κατὰ ταὐτὸ πολλὰς κόγχας κατάπερ τὰς μελίσσας· καὶ εἶναι γὰρ καὶ τοῖσι μαργαρίτηισι βασιλέα ἢ βασίλισσαν ὡς τῆισι μελίσσηισι. (12) καὶ ὅστις μὲν ἐκεῖνον κατ' ἐπιτυχίην συλλάβοι, τοῦτον δὲ εὐπετέως περιβάλλειν καὶ τὸ ἄλλο σμῆνος τῶν μαργαριτῶν· εἰ δὲ διαφύγοι σφᾶς ὁ βασιλεύς, τούτωι δὲ οὐκέτι θηρατοὺς εἶναι τοὺς ἄλλους. (13) τοὺς ἑλόντας δὲ περιορᾶν κατασαπῆναί σφισι τὴν σάρκα, τῶι δὲ ὀστέωι ἐς κόσμον χρῆσθαι· καὶ εἶναι γὰρ καὶ παρ' Ἰνδοῖσι τὸν μαργαρίτην τριστάσιον κατὰ τιμὴν πρὸς χρυσίον τὸ ἄπεφθον, καὶ τοῦτο ἐν τῆι Ἰνδῶν γῆι ὀρυσσόμενον.

(9) ἐν δὲ τῆι χώρηι ταύτηι ἵνα ἐβασίλευσεν ἡ θυγάτηρ τοῦ Ἡρακλέος, τὰς μὲν γυναῖκας ἑπταέτεις ἐούσας ἐς ὥρην γά-

c) PHLEGON *Mir.* 33 (257 F 36): Μεγασθένης δέ φησιν τὰς ἐν Πανδαίαι κατοικούσας γυναῖκας ἑξαετεῖς γενομένας τίκτειν. F 27

5 τῆι χώρηι Haupt 6 αὐτῆι He αὐτὴν A [Πανδαίην] He <καλεῖσθαι> Roos 8 [τὰς] Boehner τρεῖς: πέντε (**b**)? 10-11 καινὸν εἶδος – κόσμου γυναικηίου Sintenis κίναιδος – κόσμον γυναικήιον A 16 [τῆς] He [γῆν] He 17-21: cf. Plin. *N.H.* 9, 111 19 κατὰ ταὐτὸ Rei κατάυτὸ A κατὰ τωὐτὸ He 20-21 μελίσσησι A[2] (und A[1]?) μελισσίησι apogr. (BL) 23 τούτωι: τούτοισι He 24 ἑλόντας (o. ἁλιεύοντας) He ἁλόντας A

4 *CCC*: cf. F 13d? 31 Πανδαίαι Mue παλαιᾶι P 32 γενομένας Nauck γιν- P

μου ἰέναι, τοὺς δὲ ἄνδρας τεσσαράκοντα ἔτεα τὰ πλεῖστα βιώσκεσθαι. (2) καὶ ὑπὲρ τούτου λεγόμενον λόγον εἶναι παρὰ Ἰνδοῖσιν· Ἡρακλέα ὀψιγόνου οἱ γενομένης τῆς παιδός, ἐπεί τε δὴ ἐγγὺς ἔμαθεν ἑαυτῶι ἐοῦσαν τὴν τελευτήν, οὐκ ἔχοντα ὅτωι ἀνδρὶ ἐκδῶι τὴν παῖδα ἑωυτοῦ ἐπαξίωι, αὐτὸν μιγῆναι τῆι παιδὶ ἑπταέτει ἐούσηι, ὡς γένος ἐξ οὗ τε κἀκείνης ὑπολείπεσθαι Ἰνδῶν βασιλέας. (3) ποιῆσαι ὦν αὐτὴν Ἡρακλέα ὡραίην γάμου, καὶ ἐκ τοῦδε ἅπαν τὸ γένος τοῦτο ὅτου ἡ Πανδαίη ἐπῆρξε, ταὐτὸν τοῦτο γέρας ἔχειν παρὰ Ἡρακλέος. [[4-7 kritik Arrians]]. (8) καὶ γὰρ τοὺς καρποὺς ἐν ταύτηι τῆι χώρηι πεπαίνεσθαί τε ταχύτερον μὲν τῆς ἄλλης αὐτὸς οὗτος Μεγασθένης ἀνέγραψεν, καὶ φθίνειν ταχύτερον.

d) PLIN. *N.H.* 7, 28: *Crates Pergamenus* (F 13 Mette) *Indos qui centenos annos excedant Gymnetas appellat; non pauci Macrobios. Ctesias* (688 F 52) *gentem ex his, quae appelletur Pandarae, in convallibus sitam annos ducenos vivere....* (29) *contra alios quadragenos non excedere annos, iunctos Macrobiis, quorum feminae semel pariant. idque et Agatharchides* (86 F 22) *tradit; praeterea locustis eos ali et esse pernices. Mandorum* (?) *nomen iis dedit Clitarchus* (137 F 23); *et Megasthenes trecentos <sexaginta quin>que eorum vicos adnumerat; feminas septimo aetatis anno parere, senectam quadragesimo accidere.*

***14** (23) ARRIAN. *Ind.* 9, 9: ἀπὸ μὲν δὴ Διονύσου βασιλέας ἠρίθμεον Ἰνδοὶ ἐς Σανδρόκοττον τρεῖς καὶ πεντήκοντα καὶ ἑκατόν, ἔτεα δὲ δύο καὶ τεσσαράκοντα (?) καὶ ἑξακισχίλια· ἐν δὲ τούτοισι τρὶς τὸ πᾶν εἰς ἐλευθερίην ***, τὴν

---

10 [τὴν παῖδα]? 14-15 ὦν αὐτὴν Vulcanius ὠναυτὴν A 15 ὡραίην Vulcanius ὡραῆν A 22 [μὲν] τῶν παρ' ἄλλοις Rei [μὲν] τῶν ἄλληι (cf. F 18a c. 10, 5) He ἢ ἐν τῆισι ἄλληισι Sykutris 23 ὡυτὸς He αὐτὸς Roos οὗτος <ὁ>?

3 *Gymnetas* (Strab. 15, 1, 70) v *gymnestas* (*-stos* R[1]) o 6 *Pandarae* v *-are* DRa[1] *-ere* Fa[3] *Pandae* (*N.H.* 6, 76) Mayhoff 13 *Mandorum*: *Pandarum* Pintianus 15-16 *trecentos <sexaginta quin>que* (cf. Polyaen. *Strat.* 1, 3, 4) Jac *trecentosque* (cf. F 13b) o *trecentos quoque* Detlefsen *trecentos* Mayhoff

25-27: cf. Plin. *N.H.* 6, 59 (Solin. 52, 5) 26 ἐς Σανδρόκοττον Gronov ἐς ἀνδρόκοτον A *ad Alexandrum Magnum* Plin 26-27 τεσσαράκοντα: τεσσαρακόσια Bunsen *annis VI·CCCCLII* (*-LI* R? Solin); *adiciunt et menses III* Plin 27 ***Vulcanius <μεταβαλέειν τὴν πολιτηίην· καὶ ἐς ἔτεα μὲν *τὴν πρώτην ὑπάρξαι ἐλευθερίην o.ä.> Gutschmid

δὲ καὶ ἐς τριακόσια, τὴν δὲ εἴκοσίν τε ἐτέων καὶ ἑκατόν· πρεσβύτερόν τε Διόνυσον Ἡρακλέος δέκα καὶ πέντε γενεῆισιν Ἰνδοὶ λέγουσιν. (10) ἄλλον δὲ οὐδένα ἐμβαλεῖν ἐς γῆν τὴν Ἰνδῶν ἐπὶ πολέμωι, οὐδὲ Κῦρον τὸν Καμβύσεω, καίτοι ἐπὶ Σκύθας ἐλάσαντα καὶ τἆλλα πολυπραγμονέστατον δὴ τῶν κατὰ τὴν Ἀσίαν βασιλέων γενόμενον τὸν Κῦρον. (11) ἀλλὰ Ἀλέξανδρον γὰρ ἐλθεῖν τε καὶ κρατῆσαι [πάντων] τοῖς ὅπλοις, ὅσους γε δὴ ἐπῆλθε· καὶ ἂν καὶ πάντων κρατῆσαι, εἰ ἡ στρατιὴ ἤθελεν. (12) οὐ μὲν δὴ οὐδὲ Ἰνδῶν τινα ἔξω τῆς οἰκείης σταλῆναι ἐπὶ πολέμωι διὰ δικαιότητα. F 11

*15 (26) ARRIAN. *Ind.* 10, 1: λέγεται δὲ καὶ τάδε μνημεῖα ὅτι Ἰνδοὶ τοῖς τελευτήσασιν οὐ ποιέουσιν, ἀλλὰ τὰς ἀρετὰς γὰρ τῶν ἀνδρῶν ἱκανὰς ἐς μνήμην τίθενται τοῖσιν ἀποθανοῦσι, καὶ τὰς ὠιδὰς αἳ αὐτοῖσιν ἐπάιδονται. F 4 c 1; F § 54

*16 (26) ARRIAN. *Ind.* 10, 8: (F 18a) εἶναι δὲ καὶ τόδε μέγα ἐν τῆι Ἰνδῶν γῆι, πάντας Ἰνδοὺς εἶναι ἐλευθέρους, οὐδέ τινα δοῦλον εἶναι Ἰνδόν. τοῦτο μὲν Λακεδαιμονίοισιν ἐς ταὐτὸ συμβαίνει καὶ Ἰνδοῖσι. [[(9) Λακεδαιμονίοις μέν γε οἱ εἵλωτες δοῦλοί εἰσιν καὶ τὰ δούλων ἐργάζονται, Ἰνδοῖσι δὲ οὐδὲ ἄλλος δοῦλός ἐστι, μήτι γε Ἰνδῶν τις.]] F 4 c 5; F § 54

*17 (26) ARRIAN. *Ind.* 10, 2: (F 15) πόλεων δὲ καὶ ἀριθμὸν οὐκ εἶναι ἂν ἀτρεκὲς ἀναγράψαι τῶν Ἰνδικῶν ὑπὸ πλήθεος. (3) ἀλλὰ γὰρ ὅσαι παραποτάμιαι αὐτέων ἢ παραθαλάσσιαι, ταύτας μὲν ξυλίνας ποιέεσθαι· οὐ γὰρ εἶναι ἐκ πλίνθου ποιεομένας διαρκέσαι ἐπὶ χρόνον τοῦ τε ὕδατος ἕνεκα τοῦ ἐξ οὐρανοῦ, καὶ ὅτι οἱ ποταμοὶ αὐτοῖσιν ὑπερβάλλοντες ὑπὲρ τὰς ὄχθας ἐμπιμλᾶσι τοῦ ὕδατος τὰ πεδία. (4) ὅσαι δ' ἐν ὑπερδεξίοις τε καὶ μετεώροις τόποισι καὶ τούτοισι ψιλοῖσιν ὠικισμέναι εἰσί, ταύτας δὲ ἐκ πλίνθου τε καὶ πηλοῦ ποιέεσθαι.

18 (25-26) a) ARRIAN. *Ind.* 10, 5: (F 17) μεγίστην δὲ πόλιν ‹ἐν› Ἰνδοῖσιν εἶναι ‹τὴν› Παλίμβοθρα καλεομένην ἐν τῆι Πρασίων γῆι, ἵνα αἱ συμβολαί εἰσι τοῦ τε Ἐραννοβόα ποταμοῦ καὶ τοῦ Γάγγεω· τοῦ μὲν Γάγγεω τοῦ μεγίστου ποταμῶν, ὁ δὲ Ἐραννοβόας

b) STRABON 15, 1, 36 p. 702: (F 9b) ἐπὶ δὲ τῆι συμβολῆι τούτου (des Ganges) τε καὶ τοῦ † ἄλλου ποταμοῦ τὰ Παλίβοθρα ἱδρῦσθαι, σταδίων ὀγδοήκοντα τὸ μῆκος, πλάτος δὲ πεντεκαίδεκα, ἐν παραλληλογράμμωι σχήματι, ξύλινον περίβολον ἔχουσαν F 4 c 3; F 34?

3 ἐς ‹τὴν› γῆν He 6 [πάντων] He 14-16 [[ ]] randnotiz Arrians oder (eher) eines lesers 15 μέν‹τοι› γε Rei 17 καὶ om. k (He) 18 ἀτρεκέως He ὑπὸ πλήθεος ** He; cf. Plin. *N.H.* 6, 59? 19 εἶναι A ἂν He εἶναι ‹ἂν›? Roos 22-23 τούτοισι ψιλοῖσιν He τούτοισιν ὑψηλοῖσιν A 23 ταύτας kv ταῦτα A 25 ‹ἐν› v 26 ‹τὴν› He 27 Πρασίων (b) Salm γρασίων A

26 καὶ του ἄλλου (*scil.* τοῦ Ἰωμάνου) Cor καὶ τοῦ Ἐραννοβόα Schmieder καὶ τοῦ ‹Ἐρ.› ἄλλου Groskurd κ. τ. ἄ. π. ‹Ἐρ.› Mei καὶ τοῦ ‹Ἰσ›άμου Altheim (*Weltgesch. Asiens* I p. 325 f.) 30 ἔχουσα CEx

τρίτος μὲν ἂν εἴη τῶν Ἰνδῶν ποταμῶν, μέζων δὲ τῶν ἄλληι καὶ οὗτος, ἀλλὰ ξυγχωρέει αὐτὸς τῶι Γάγγηι, ἐπειδὰν ἐμβάληι ἐς αὐτὸν τὸ ὕδωρ. (6) καὶ λέγει Μεγασθένης μῆκος μὲν ἐπέχειν τὴν πόλιν καθ' ἑκατέρην τὴν πλευρήν, ἵναπερ μακροτάτη αὐτὴ ἑωυτῆς ὤικισται, ἐς ὀγδοήκοντα σταδίους, τὸ δὲ πλάτος ἐς πεντεκαίδεκα. τάφρον δὲ περιβεβλῆσθαι τῆι πόλει τὸ εὖρος ἑξάπλεθρον, τὸ δὲ βάθος τριήκοντα πήχεων· πύργους δὲ ἑβδομήκοντα καὶ πεντακοσίους ἔχειν τὸ τεῖχος καὶ πύλας τέσσαρας καὶ ἑξήκοντα.

κατατετρημένον, ὥστε διὰ τῶν ὀπῶν τοξεύειν· προκεῖσθαι δὲ καὶ τάφρον φυλακῆς τε χάριν καὶ ὑποδοχῆς τῶν ἐκ τῆς πόλεως ἀπορροιῶν. τὸ δ' ἔθνος ἐν ὧι ἡ πόλις αὕτη, καλεῖσθαι Πρασίους, διαφορώτατον τῶν πάντων· τὸν δὲ βασιλεύοντα ἐπώνυμον δεῖν τῆς πόλεως εἶναι, Παλίβοθρον καλούμενον πρὸς τῶι ἰδίωι τῶι ἐκ γενετῆς ὀνόματι, καθάπερ τὸν Σανδρόκοττον, πρὸς ὃν ἧκεν ὁ Μεγασθένης πεμφθείς (T 2). τοιοῦτο δὲ καὶ τὸ παρὰ τοῖς Παρθυαίοις κτλ. (F 782 F 5)

***19** (35-36) **a)** ARRIAN. *Ind.* 11: νενέμηνται δὲ οἱ πάντες Ἰνδοὶ ἐς ἑπτὰ μάλιστα γένεα. (2) ἓν μὲν αὐτοῖσιν οἱ σοφισταί εἰσι, πλήθει μὲν μείους τῶν ἄλλων, δόξηι δὲ καὶ τιμῆι γεραρώτατοι· οὔτε γάρ τι τῶι σώματι ἐργάζεσθαι ἀναγκαίη σφιν προσκέαται οὔτε τι ἀποφέρειν ἀφ' ὅτων πονέουσιν ἐς τὸ κοινόν. οὐδέ τι ἄλλο ἀνάγκης ἁπλῶς ἐπεῖναι τοῖς σοφιστῆισι, ὅτι μὴ θύειν τὰς θυσίας τοῖσι θεοῖσιν ὑπὲρ τοῦ κοινοῦ <τῶν> Ἰνδῶν· (3) καὶ ὅστις δὲ ἰδίαι θύει, ἐξηγητὴς αὐτῶι τῆς θυσίης τῶν τις σοφιστῶν τούτων γίνεται, ὡς οὐκ ἂν ἄλλως κεχαρισμένα τοῖς θεοῖς

b) STRABON 15, 1, 39 ff. p. 703/7: (F 10b) φησὶ δὴ τὸ τῶν Ἰνδῶν πλῆθος εἰς ἑπτὰ μέρη διηιρῆσθαι· καὶ πρώτους μὲν τοὺς φιλοσόφους εἶναι κατὰ τιμήν, ἐλαχίστους δὲ κατ' ἀριθμόν. χρῆσθαι δ' αὐτοῖς ἰδίαι μὲν ἑκάστωι τοὺς θύοντας ἢ τοὺς ἐναγίζοντας, κοινῆι δὲ τοὺς βασιλέας κατὰ τὴν μεγάλην λεγομένην σύνοδον, καθ' ἣν τοῦ νέου ἔτους ἅπαντες οἱ φιλόσοφοι τῶι βασιλεῖ συνελθόντες ἐπὶ θύρας ὅ τι ἂν αὐτῶν ἕκαστος συντάξηι τῶν χρησίμων ἢ τηρήσηι πρὸς εὐετηρίαν καρπῶν τε καὶ ζώιων καὶ περὶ πολιτείας, προφέρει τοῦτ' εἰς τὸ μέσον.

F 4 c. 40/1; F 34

12 ἑξάπλεθρον: ἐνάπλεθρον Timmer 13 τριήκοντα apogr. τριάκοντα A^2 15 ἔχειν He ἐπέχειν A 20 γένεα (c. 12, 1; 2; 7-9) He γενεὰς A ἓν He ἐν A πρῶτον? 22 δόξηι v δόξα A 22-23 γεραρώτατοι kv -τατον A 25 ὅτων ς (Mue) ὅτω A ὅτου Vulcanius 26 ἀναγκαίης He 29 <τῶν> Vulcanius

5 αὕτη om. E 6-12: fraglich, ob M. direkt (s. Komm.) 7 δεῖν F δεῖ r 10-11 σαδρόκοττον CDF 19 φασὶ xE 26 σύνοδον: πρόοδον F 29 θύρας: θήρας x 29-30 συντάξοι – τηρήσοι E συντάξει – τηρήσει F 31-32 ζώιων καὶ περὶ πολ. Cas περὶ ζώιων καὶ πολ. o 32 προφέρει Cor προσ- o

θύσαντας. (4) εἰσὶ δὲ καὶ μαντικῆς οὗτοι μοῦνοι Ἰνδῶν δαήμονες, οὐδὲ ἐφεῖται ἄλλωι μαντεύεσθαι ὅτι μὴ σοφιστῆι ἀνδρί. (5) μαντεύουσι δὲ ὅσα ὑπὲρ τῶν ὡρέων τοῦ ἔτεος, καὶ εἴ τις ἐς τὸ κοινὸν συμφορὴ καταλαμβάνει· τὰ <δ'> ἴδια ἑκάστοισιν οὔ σφιν μέλει μαντεύεσθαι, ὡς οὐκ ἐξικνεομένης τῆς μαντικῆς ἐς τὰ μικρότερα ἢ ὡς οὐκ ἄξιον ἐπὶ τούτοισι πονέεσθαι. (6) ὅστις δὲ ἁμάρτοι ἐς τρὶς μαντευσάμενος, τούτωι δὲ ἄλλο μὲν κακὸν γίνεσθαι οὐδέν, σιωπᾶν δὲ εἶναι ἐπάναγκες τοῦ λοιποῦ· καὶ οὐκ ἔστιν ὅστις ἐξαναγκάσει τὸν ἄνδρα τοῦτον φωνῆσαι, ὅτου ἡ σιωπὴ κατακέκριται. [[(7) οὗτοι γυμνοὶ διαιτῶνται οἱ σοφισταί, τοῦ μὲν χειμῶνος ὑπαίθριοι ἐν τῶι ἡλίωι, τοῦ δὲ θέρεος ἐπὴν ὁ ἥλιος κατέχηι, ἐν τοῖς λειμῶσι καὶ τοῖσιν ἕλεσιν ὑπὸ δένδρεσι μεγάλοισιν, ὧν τὴν σκιὴν Νέαρχος (133 F 6) λέγει ἐς πέντε πλέθρα ἐν κύκλωι ἐξικνέεσθαι, καὶ ἂν καὶ μυρίους ἀνθρώπους ὑπὸ ἑνὶ δένδρει σκιάζεσθαι· τηλικαῦτα εἶναι ταῦτα τὰ δένδρεα. (8) σιτέονται δὲ <τὰ> ὡραῖα καὶ τὸν φλοιὸν τῶν δένδρων, γλυκύν τε ὄντα τὸν φλοιὸν καὶ τρόφιμον οὐ μεῖον ἤπερ οἱ βάλανοι τῶν φοινίκων]].

(9) δεύτεροι δ' ἐπὶ τούτοισιν οἱ γεωργοί εἰσιν, οὗτοι πλήθει πλεῖστοι

ὃς δ' ἂν τρὶς ἐψευσμένος ἁλῶι, νόμος ἐστὶ σιγᾶν διὰ βίου· τὸν δὲ κατορθώσαντα ἄφορον καὶ ἀτελῆ κρίνουσι.

(40) δεύτερον δὲ μέρος εἶναι τὸ τῶν γεωργῶν, οἳ πλεῖστοί τέ εἰσι καὶ ἐπιει-

1 θύσαντι He θύσαντα Castiglioni 4 σοφιστῆι He σοφῶι A μαντεύονται Rei 5 ὡρέων kv ὡραίων A 6-7 καταλαμβάνοι He 7 τὰ <δ'> ἴ. ed. Ven. τὰ ἴ. <δὲ> Vulcanius 8 <ἢ> ὡς Vulcanius 10 ἄξιον <ὂν> (ἐὸν He) Roos 11 τρὶς Rei τρεῖς A; cf. F 4 c. 40, 3 16 [ἡ] He 16-29: ganz aus Nearch? s. Komm. 19 ἐπεὰν He 26 <τὰ> He

3 ἄφθορον x

'Ινδῶν ἐόντες. καὶ τούτοισιν οὔτε ὅπλα ἐστὶν ἀρήια οὔτε μέλει τὰ πολεμήια ἔργα, ἀλλὰ τὴν χώρην οὗτοι ἐργάζονται, καὶ τοὺς φόρους τοῖς τε βασιλεῦσι καὶ τῆισι πόλεσιν, ὅσαι αὐτόνομοι, οὗτοι ἀποφέρουσι. (10) καὶ εἰ πόλεμος ἐς ἀλλήλους τοῖσιν 'Ινδοῖσι τύχοι, τῶν ἐργαζομένων τὴν γῆν οὐ θέμις σφιν ἅπτεσθαι οὐδὲ αὐτὴν τὴν γῆν τέμνειν, ἀλλὰ οἱ μὲν πολεμοῦσι, καὶ κατακαίνουσιν ἀλλήλους ὅπως τύχοιεν, οἱ δὲ πλησίον αὐτῶν κατ' ἡσυχίαν ἀροῦσιν ἢ τρυγῶσιν ἢ κλαδῶσιν ἢ θερίζουσιν.

(11) τρίτοι δέ εἰσιν 'Ινδοῖσιν οἱ νομέες, οἱ ποιμένες τε καὶ βουκόλοι. καὶ οὗτοι οὔτε κατὰ πόληας οὔτε ἐν τῆισι κώμηισιν οἰκέουσι, νομάδες δέ εἰσι καὶ ἀνὰ τὰ ὄρεα βιοτεύουσι. φόρον δὲ καὶ οὗτοι ἀπὸ τῶν κτηνέων ἀποφέρουσι, καὶ θηρεύουσιν οὗτοι ἀνὰ τὴν χώρην ὄρνιθάς τε καὶ ἄγρια θηρία.

(12) τέταρτον δέ ἐστι τὸ δημιουργικόν τε καὶ καπηλικὸν γένος. καὶ οὗτοι λειτουργοί εἰσι, καὶ φόρον ἀποφέρουσιν ἀπὸ τῶν ἔργων τῶν σφετέρων, πλήν γε δὴ ὅσοι τὰ ἀρήια ὅπλα ποιέουσιν· οὗτοι δὲ καὶ μισθὸν ἐκ τοῦ κοινοῦ προσλαμβάνουσιν. ἐν δὲ τούτωι τῶι γένει οἵ τε ναυπηγοὶ καὶ οἱ ναῦταί εἰσιν, ὅσοι κατὰ τοὺς ποταμοὺς πλώουσι.

κέστατοι [οἱ] ἀστρατεῖαι καὶ ἀδεῖαι τοῦ ἐργάζεσθαι, πόλει μὴ προσιόντες μηδ' ἄλληι χρείαι μηδ' ὀχλήσει κοινῆι· πολλάκις γοῦν ἐν τῶι αὐτῶι χρόνωι καὶ τόπωι τοῖς μὲν παρατετάχθαι συμβαίνει καὶ διακινδυνεύειν πρὸς τοὺς πολεμίους, οἱ δ' ἀροῦσιν ἢ σκάπτουσιν ἀκινδύνως, προμάχους ἔχοντες ἐκείνους. ἔστι δ' ἡ χώρα βασιλικὴ πᾶσα, μισθοῦ δ' αὐτὴν ἐπὶ τετάρταις ἐργάζονται τῶν καρπῶν.

(41) τρίτον τὸ τῶν ποιμένων καὶ θηρευτῶν, οἷς μόνοις ἔξεστι θηρεύειν καὶ θρεμματοτφορεῖν, ὠνιά τε παρέχειν καὶ μισθοῦ ζεύγη. ἀντὶ δὲ τοῦ τὴν γῆν ἐλευθεροῦν θηρίων καὶ τῶν σπερμολόγων ὀρνέων μετροῦνται παρὰ τοῦ βασιλέως σῖτον, πλάνητα καὶ σκηνίτην νεμόμενοι βίον. ἵππον δὲ καὶ ἐλέφαντα τρέφειν οὐκ ἔξεστιν ἰδιώτηι· βασιλικὸν δ' ἑκάτερον νενόμισται τὸ κτῆμα, καί εἰσὶν αὐτῶν ἐπιμεληταί. (42-44: F 20b; 23).

(45) . . . περὶ μὲν οὖν τῶν θηρίων τοσαῦτα λέγεται· ἐπανιόντες δ' ἐπὶ τὸν Μεγασθένη λέγωμεν τὰ ἑξῆς, ὧν ἀπελίπομεν. (46) μετὰ γὰρ τοὺς θηρευτὰς καὶ τοὺς ποιμένας τέταρτόν φησιν εἶναι μέρος τοὺς ἐργαζομένους τὰς τέχνας καὶ τοὺς καπηλικοὺς καὶ οἷς ἀπὸ τοῦ σώματος ἡ ἐργασία. ὧν οἱ μὲν φόρον τελοῦσι, καὶ λειτουργίας παρέχονται τακτάς, τοῖς

2 πολεμήια Nauck πολέμια A 12 τύχοι He 13 κλαδῶσιν (ο. κλαδεύουσιν) Rei κλαδοῦσιν A 18 δὲ He τέ A

1 [οἱ] Xyl οἱ ἀστρατεῖαι CD οἷα στρ. Fx ὡς ἐν ἀ. ς 2 μήτε πόλει πρ. E 17 τε: δὲ CD 30 ἀπελείπομεν F

(2) πέμπτον δὲ γένος ἐστὶν Ἰνδοῖσιν οἱ πολεμισταί, πλήθει μὲν δεύτερον μετὰ τοὺς γεωργούς, πλείστηι δὲ ἐλευθερίηι τε καὶ εὐθυμίηι ἐπιχρεόμενον. (3) καὶ οὗτοι ἀσκηταὶ μόνων τῶν πολεμικῶν ἔργων εἰσίν, τὰ δὲ ὅπλα ἄλλοι αὐτοῖς ποιέουσι, καὶ ἵππους ἄλλοι παρέχουσι, καὶ διακονοῦσιν ἐπὶ στρατοπέδου ἄλλοι, οἳ τούς τε ἵππους αὐτοῖς θεραπεύουσι, καὶ τὰ ὅπλα ἐκκαθαίρουσι, καὶ τοὺς ἐλέφαντας ἄγουσι, καὶ τὰ ἅρματα κοσμέουσί τε καὶ ἡνιοχεύουσιν. (4) αὐτοὶ δὲ ἔστ' ἂν μὲν πολεμεῖν δέηι, πολεμοῦσιν, εἰρήνης δὲ γενομένης εὐθυμέονται· καί σφιν μισθὸς ἐκ τοῦ κοινοῦ τοσόσδε ἔρχεται, ὡς καὶ ἄλλους τρέφειν ἀπ' αὐτοῦ εὐμαρέως.

(5) ἕκτοι δέ εἰσιν Ἰνδοῖσιν οἱ ἐπίσκοποι καλεόμενοι. οὗτοι ἐφορῶσι τὰ γινόμενα κατά τε τὴν χώρην καὶ κατὰ τὰς πόληας, καὶ ταῦτα ἀναγγέλλουσι τῶι βασιλεῖ, ἵναπερ βασιλεύονται Ἰνδοί, ἢ τοῖς τέλεσιν, ἵναπερ αὐτόνομοί εἰσι. καὶ τούτοις οὐ θέμις ψεῦδος ἀγγεῖλαι οὐδέν, οὐδέ τις Ἰνδῶν αἰτίην ἔσχε ψεύσασθαι.

δ' ὁπλοποιοῖς καὶ ναυπηγοῖς μισθοὶ καὶ τροφαὶ παρὰ βασιλέως ἔκκεινται· μόνωι γὰρ ἐργάζονται. παρέχει δὲ τὰ μὲν ὅπλα τοῖς στρατιώταις ὁ στρατοφύλαξ, τὰς δὲ ναῦς μισθοῦ τοῖς πλέουσιν ὁ ναύαρχος καὶ τοῖς ἐμπόροις.

(47) πέμπτον ἐστὶ τὸ τῶν πολεμιστῶν, οἷς τὸν ἄλλον χρόνον ἐν σχολῆι καὶ πότοις ὁ βίος ἐστίν, ἐκ τοῦ βασιλικοῦ διαιτωμένοις, ὥστε τὰς ἐξόδους, ὅταν ἦι χρεία, ταχέως ποιεῖσθαι, πλὴν τῶν σωμάτων μηδὲν ἄλλο κομίζοντας παρ' ἑαυτῶν.

(48) ἕκτοι δ' εἰσὶν οἱ ἔφοροι. τούτοις δ' ἐποπτεύειν δέδοται τὰ πραττόμενα καὶ ἀναγγέλλειν λάθρα τῶι βασιλεῖ, συνεργοὺς ποιουμένοις τὰς ἑταίρας, τοῖς μὲν ἐν τῆι πόλει τὰς ἐν τῆι πόλει, τοῖς δὲ ἐν στρατοπέδωι τὰς αὐτόθι. καθίστανται δ' οἱ ἄριστοι καὶ πιστότατοι.

10 διαχρεόμενον Rei χρεόμενον (cf. F 4 c. 41, 2) He   20 δέηι apogr. (FH) δεῖ A^{2} apogr. (BGL)   23 ἄλλους: διακόνους?

1 ναυπηγιοῖς CD^{c} -γίας D^{ac}F   2 βασιλέως v -έων o   3 (παρέχει)-6: zusatz aus F 31 § 52?   5-6 ὁ ναύαρχος om. x   6 ἐμπορίοις F [καὶ τ. ἐμ.]?   7 <δ'> ἐστὶ Mei   9 πότοις: τόποις Cx   11 ἦι ϛν εἴη o   24-25 τούτους CD   27 ποιουμένους CDF

(6) ἕβδομοι δέ εἰσιν οἱ ὑπὲρ τῶν κοινῶν βουλευόμενοι ὁμοῦ τῶι βασιλεῖ ἢ κατὰ πόληας ὅσαι αὐτόνομοι σὺν τῆισιν ἀρχῆισι. (7) πλήθει μὲν ὀλίγον τὸ γένος τοῦτό ἐστι, σοφίηι δὲ καὶ δικαιότητι ἐκ πάντων προκεκριμένον. ἔνθεν οἵ τε ἄρχοντες αὐτοῖσιν ἐπιλέγονται καὶ ὅσοι νομάρχαι καὶ ὕπαρχοι καὶ θησαυροφύλακές τε καὶ στρατοφύλακες, ναύαρχοί τε καὶ ταμίαι καὶ τῶν κατὰ γεωργίην ἔργων ἐπιστάται.

(8) γαμέειν δὲ ἐξ ἑτέρου γένεος οὐ θέμις, οἷον τοῖσι γεωργοῖσιν ἐκ τοῦ δημιουργικοῦ ἢ ἔμπαλιν. οὐδὲ δύο τέχνας ἐπιτηδεύειν τὸν αὐτὸν οὐδὲ τοῦτο θέμις· οὐδὲ ἀμείβειν ἐξ ἑτέρου γένεος εἰς ἕτερον, οἷον γεωργικὸν ἐκ νομέως γενέσθαι ἢ νομέα ἐκ δημιουργικοῦ. (9) μοῦνόν σφισιν ἀνεῖται σοφιστὴν ἐκ παντὸς γένεος γενέσθαι, ὅτι οὐ μαλθακὰ τοῖσι σοφιστῆισίν εἰσι τὰ πρήγματα ἀλλὰ πάντων ταλαιπωρότατα.

(49) ἕβδομοι δ' οἱ σύμβουλοι καὶ σύνεδροι τοῦ βασιλέως, ἐξ ὧν τὰ ἀρχεῖα καὶ δικαστήρια καὶ ἡ διοίκησις τῶν ὅλων. (F 32)

οὐκ ἔστι δ' οὔτε γαμεῖν ἐξ ἄλλου γένους οὔτ' ἐπιτήδευμα οὔτ' ἐργασίαν μεταλαμβάνειν ἄλλην ἐξ ἄλλης, οὐδὲ πλείους μεταχειρίζεσθαι τὸν αὐτόν, πλὴν εἰ τῶν φιλοσόφων τις εἴη· ἐᾶσθαι γὰρ τοῦτον δι' ἀρετήν. (Es folgt F 31).

20 (37-38) *a) ARRIAN. *Ind.* 13: (F 19a) θηρῶσι δὲ Ἰνδοὶ τὰ μὲν ἄλλα ἄγρια θηρία κατάπερ καὶ Ἕλληνες, ἡ δὲ τῶν ἐλεφάντων σφιν θήρα οὐδέν τι ἄλληι ἔοικεν, ὅτι καὶ ταῦτα τὰ θηρία οὐδαμοῖσιν ἄλλοισι θηρίοις ἐπέοικεν.

(2) ἀλλὰ τόπον γὰρ ἐπιλεξάμενοι ἄπεδον καὶ καυματώδεα ἐν κύκλωι τάφρον ὀρύσσουσιν, ὅσον μεγάλωι στρατοπέδωι ἐναυλίσασθαι· τῆς δὲ τάφρου τὸ εὖρος ἐς πέντε ὀργύας ποιέονται, βάθος δὲ ἐς τέσσαρας. (3) τὸν δὲ χοῦν ὅντινα ἐκβάλλουσιν ἐκ

b) STRABON 15, 1, 42/3 p. 704/6: (F 19b §§ 39-41) θήρα δὲ τῶν θηρίων τούτων τοιάδε. χωρίον ψιλὸν ὅσον τεττάρων ἢ πέντε σταδίων τάφρωι περιχαράξαντες βαθείαι γεφυροῦσι τὴν εἴσοδον στενωτάτηι γεφύραι· εἶτ' εἰσαφιᾶσι F4 c. 42, 1-2

6 [ἐκ] Castiglioni 17-18 ἀμείβειν ἕτερον ἐξ ἑτέρου γένεος He ἀμείβεσθαι? Roos 19 (21) γίνεσθαι He 32 ἐναυλίσασθαι He ἐπ- A 33 ὀργυιάς (Vulc.) Duebner βάθος δὲ Castiglioni β. τε A

2-3 ἀρχαῖα E 27-28: cf. 15, 1, 45 ἐπεὶ δ' ἐν τῶι περὶ τῶν θηρευτῶν λόγωι καὶ περὶ τῶν θηρίων ἐμνήσθημεν, ὧν τε Μεγασθένης εἶπε καὶ ἄλλοι 34 εἰσαφίουσι CD^{c}F

τοῦ ὀρύγματος, ἐπὶ τὰ χείλεα ἑκάτερα τῆς τάφρου ἐπιφορήσαντες ἀντὶ τείχεος διαχρέονται. (4) αὐτοὶ δὲ ὑπὸ τῶι χώματι τῶι ἐπὶ τοῦ χείλεος τοῦ ἔξω τῆς τάφρου σκηνάς σφιν ὀρυκτὰς ποιέονται, καὶ διὰ τουτέων ὀπὰς ὑπολείπονται, δι' ὧν φῶς τε αὐτοῖσιν εἰσέρχεται, καὶ τὰ θηρία προσάγοντα καὶ ἐσελαύνοντα ἐς τὸ ἕρκος σκέπτονται. (5) ἐνταῦθα ἐντὸς τοῦ ἕρκεος καταστήσαντες τῶν τινας θηλέων τρεῖς ἢ τέσσαρας ὅσαι μάλιστα τὸν θυμὸν χειροήθεες, μίαν εἴσοδον ἀπολιμπάνουσι κατὰ τὴν τάφρον, γεφυρώσαντες τὴν τάφρον, καὶ ταύτηι χοῦν τε καὶ πόαν πολλὴν ἐπιφέρουσι τοῦ μὴ ἀρίδηλον εἶναι τοῖσι θηρίοισι τὴν γέφυραν, μή τινα δόλον ὀισθῶσιν. (6) αὐτοὶ μὲν οὖν ἐκποδὼν σφᾶς <ποι>έουσι, κατὰ τῶν σκηνέων τῶν ὑπὸ τῆι τάφρωι δεδυκότες, οἱ δὲ ἄγριοι ἐλέφαντες ἡμέρης μὲν οὐ πελάζουσι τοῖσιν οἰκουμένοισι, νύκτωρ δὲ πλανῶνταί τε πάντη, καὶ ἀγεληδὸν νέμονται, τῶι μεγίστωι καὶ γενναιοτάτωι σφῶν ἑπόμενοι κατάπερ αἱ βόες τοῖσι ταύροισιν. (7) ἐπεὰν ὦν τῶι ἕρκει πελάσωσι, τήν τε φωνὴν ἀκούοντες τῶν θηλέων καὶ τῆς ὀδμῆς αἰσθόμενοι, δρόμωι ἵενται ὡς ἐπὶ τὸν χῶρον τὸν πεφραγμένον· ἐκπεριελθόντες δὲ τῆς τάφρου τὰ χείλεα εὖτ' ἂν τῆι γεφύρηι ἐπιτύχωσιν, κατὰ ταύτην ἐς τὸ ἕρκος ὠθέονται. (8) οἱ δὲ ἄνθρωποι αἰσθόμενοι τὴν ἔσοδον τῶν ἐλεφάντων τῶν ἀγρίων, οἳ μὲν αὐτῶν τὴν γέφυραν ὀξέως ἀφεῖλον, οἳ δὲ ἐπὶ τὰς πέλας κώμας ἀποδραμόντες ἀγγέλλουσι τοὺς ἐλέφαντας ὅτι ἐν τῶι ἕρκει ἔχονται. (9) οἳ δὲ ἀκούσαντες ἐπιβαίνουσι τῶν κρατίστων τε τὸν θυμὸν καὶ τῶν χειροηθεστάτων ἐλεφάντων, ἐπιβάντες δὲ ἐλαύνουσιν ὡς ἐπὶ τὸ ἕρκος· ἐλάσαντες δὲ οὐκ αὐτίκα μάχης ἅπ-

θηλείας τὰς ἡμερωτάτας τρεῖς ἢ τέτταρας, αὐτοὶ δ' ἐν καλυβίοις κρυπτοῖς ὑποκάθηνται λοχῶντες. ἡμέρας μὲν οὖν οὐ προσίασιν οἱ ἄγριοι, νύκτωρ δ' ἐφ' ἕνα ποιοῦνται τὴν εἴσοδον· εἰσιόντων δέ, κλείουσι τὴν εἴσοδον λάθρα, εἶτα τῶν ἡμέρων ἀθλητῶν τοὺς ἀλκιμωτάτους εἰσάγοντες διαμάχονται πρὸς αὐτούς, ἅμα καὶ λιμῶι καταπονοῦντες. ἤδη δὲ καμνόντων, οἱ εὐθαρσέστατοι τῶν ἡνιόχων λάθρα καταβαίνοντες ὑποδύνουσιν ἕκαστος τῆι γαστρὶ τοῦ οἰκείου ὀχήματος, ὁρμώμενος δ' ἐνθένδε ὑποδύνει τῶι ἀγρίωι, καὶ συμποδοδεσμεῖ. γενομένου δὲ τούτου, κελεύουσι τοῖς τιθασσοῖς τύπτειν τοὺς συμποδισθέντας, ἕως ἂν πέσωσιν εἰς τὴν γῆν· πεσόντων δ' ὠμοβοίνοις ἱμᾶσι προσλαμβάνονται τοὺς αὐχένας αὐτῶν πρὸς τοὺς τῶν τιθασσῶν. ἵνα δὲ μὴ σειόμενοι τοὺς

3 ὑπὸ Roos ἐπὶ A   τῶι ἐπὶ Rei τοῦ ἐπὶ A   6 αὐτοῖσιν εἰσέρχεται He αὐτοισσινεἰσέρχεται (so) A (aus -σσυν- corr. m. [1])   14 ποιέουσι Castiglioni ἐοῦσι A ἔχουσι Raphelius, v   15 οἱ γάρ?   21 τῆς ὀδμῆς He τῆι ὀδμῆι A   30 [τὸν θυμὸν] καὶ [τῶν] He

22-23 συμποδοδεσμεῖ Cas σύμποδα δεσμεῖ o   24-25 τοὺς τιθασσοὺς D

τονται, ἀλλ' ἐῶσι γὰρ λιμῶι τε ταλαιπωρηθῆναι τοὺς ἀγρίους ἐλέφαντας καὶ ὑπὸ τῶι δίψει δουλωθῆναι. (10) εὖτ' ἂν δέ σφισι κακῶς ἔχειν δοκέωσι, τηνικαῦτα ἐπιστήσαντες αὖθις τὴν γέφυραν ἐλαύνουσί τε ὡς ἐς τὸ ἕρκος· καὶ τὰ μὲν πρῶτα μάχη ἵσταται κρατερὴ τοῖσιν ἡμέροισι τῶν ἐλεφάντων πρὸς τοὺς ἑαλωκότας, ἔπειτα κρατέονται μὲν κατὰ τὸ εἰκὸς οἱ ἄγριοι, ὑπό τε τῆι ἀθυμίηι καὶ τῶι λιμῶι ταλαιπωρούμενοι. (11) οἱ δὲ ἀπὸ τῶν ἐλεφάντων καταβάντες παρειμένοισιν ἤδη τοῖσιν ἀγρίοισι τοὺς πόδας ἄκρους συνδέουσιν, ἔπειτα ἐγκελεύονται τοῖσιν ἡμέροισι πληγαῖς σφᾶς κολάζειν πολλαῖς, ἔστ' ἂν ἐκεῖνοι ταλαιπωρεύμενοι ἐς γῆν πέσωσι· παραστάντες δὲ βρόχους περιβάλλουσιν αὐτοῖσι κατὰ τοὺς αὐχένας, καὶ αὐτοὶ ἐπιβαίνουσι κειμένοισι. (12) τοῦ δὲ μὴ ἀποσείεσθαι τοὺς ἀμβάτας μηδέ τι ἄλλο ἀτάσθαλον ἐργάζεσθαι, τὸν τράχηλον αὐτοῖσιν ἐν κύκλωι μαχαιρίωι ὀξεῖ ἐπιτέμνουσι, καὶ τὸν βρόχον κατὰ τὴν τομὴν περιδέουσιν, ὡς ἀτρέμα ἔχειν τὴν κεφαλήν τε καὶ τὸν τράχηλον ὑπὸ τοῦ ἕλκεος· (13) εἰ γὰρ περιστρέφοιντο ὑπὸ ἀτασθαλίης, τρίβεται αὐτοῖσι τὸ ἕλκος ὑπὸ τῶι κάλωι· οὕτω μὲν ὦν ἀτρέμα ἴσχουσι, καὶ αὐτοὶ γνωσιμαχέοντες ἤδη ἄγονται κατὰ τὸν δεσμὸν πρὸς τῶν ἡμέρων. (14) ὅσοι δὲ νήπιοι αὐτῶν ἢ διὰ κακότητα οὐκ ἄξιοι ἐκτῆσθαι, τούτους ἐῶσιν ἀπαλλάττεσθαι ἐς τὰ σφέτερα ἤθεα. (2) ἀγ<αγ>όντες δὲ εἰς τὰς κώμας τοὺς ἁλόντας, τοῦ τε χλωροῦ καλάμου καὶ τῆς πόας τὰ πρῶτα ἐμφαγεῖν ἔδοσαν· (3) οἱ δὲ ὑπὸ ἀθυμίης οὐκ ἐθέλουσιν οὐδὲν σιτέεσθαι, τοὺς δὲ περιιστάμενοι οἱ Ἰνδοὶ ὠιδαῖσι τε καὶ τυμπάνοισι καὶ κυμβάλοισιν ἐν κύκλωι κρούοντές τε καὶ ἐπάιδοντες κατευνάζουσι. (4) θυμόσοφον γὰρ εἴπερ τι ἄλλο θηρίον ὁ ἐλέφας, καί τινες ἤδη αὐτῶν τοὺς

ἀναβαίνειν ἐπ' αὐτοὺς ἐπιχειροῦντας ἀποσείοιντο, τοῖς τραχήλοις αὐτῶν ἐμβάλλονται κύκλωι τομάς, καὶ κατ' αὐτὰς τοὺς ἱμάντας περιτιθέασιν, ὥσθ' ὑπ' ἀλγηδόνων εἴκειν τοῖς δεσμοῖς καὶ ἡσυχάζειν. τῶν δ' ἁλόντων ἀπολέξαντες τοὺς πρεσβυτέρους ἢ νεωτέρους τῆς χρείας, τοὺς λοιποὺς ἀπάγουσιν εἰς τοὺς σταθμούς, δήσαντες δὲ τοὺς μὲν πόδας πρὸς ἀλλήλους, τοὺς δὲ αὐχένας πρὸς κίονα εὖ πεπηγότα δαμάζουσι λιμῶι· ἔπειτα χλόηι καλάμου καὶ πόας ἀναλαμβάνουσι. μετὰ δὲ ταῦτα πειθαρχεῖν διδάσκουσι, τοὺς μὲν διὰ λόγου, τοὺς δὲ μελισμῶι τινι καὶ τυμπανισμῶι κηλοῦντες. σπάνιοι δ' οἱ δυστιθάσσευτοι· φύσει γὰρ διάκεινται πράιως καὶ ἡμέρως, ὥστ' ἐγγὺς εἶναι λογικῶι ζώωι· οἱ δὲ καὶ ἐξαίμους τοὺς ἡνιόχους ἐν τοῖς ἀγῶσι πεσόντας ἀνελόμενοι σώζουσιν ἐκ τῆς μάχης, τοὺς δὲ ὑποδύντας με-

6 κρατερὴ A^2 apogr. (BGL) καρτερὰ apogr. (FH) 10 τοῖσιν ἀγρίοισι Duebner τοῖς τ' ἀγρίοισι A 23 ὦν Duebner ἂν (so) A 24 [κατὰ τ. δ.] He 27 ἀγαγόντες Castiglioni ἄγοντες A

1 ἐπ' αὐτῶν x 8 εἴκειν: ἥκειν D 22-23 δι' ὀλίγου F 25 κηλοῦντες: καταυλοῦντες D^1 29-30 οἱ δε: τινὲς γαρ ς (Cor) 34 τούς: οἷς (Tzschucke) καὶ ὑποδύντας D

ἀμβάτας σφῶν ἐν πολέμωι ἀποθανόντας ἄραντες αὐτοὶ ἐξήνεγκαν ἐς ταφήν, οἱ δὲ καὶ ὑπερήσπισαν κειμένους, οἱ δὲ καὶ πεσόντων προεκινδύνευσαν, ὁ δέ τις πρὸς ὀργὴν ἀποκτείνας τὸν ἀμβάτην ὑπὸ μεταvοίης τε καὶ ἀθυμίης ἀπέθανεν. [[(5-6) εἶδον δὲ ἔγωγε καὶ κυμβαλίζοντα ἤδη ἐλέφαντα καὶ ἄλλους ὀρχεομένους κτλ.]].

ταξὺ τῶν προσθίων ποδῶν ὑπερμαχόμενοι διέσωσαν· τῶν δὲ χορτοφόρων καὶ διδασκάλων εἴ τινα παρὰ θυμὸν ἀπέκτειναν, οὕτως ἐπιποθοῦσιν, ὥσθ' ὑπ' ἀνίας ἀπέχεσθαι τροφῆς, ἔστι δ' ὅτε καὶ ἀποκαρτερεῖν.

(7) βαίνεται δὲ ἐλέφας ἦρος ὥρηι κατάπερ βοῦς ἢ ἵππος, ἐπεὰν τῆισι θηλέηισιν αἱ παρὰ τοῖσι κροτάφοισιν ἀναπνοαὶ ἀνοιχθεῖσαι ἐκπνέωσιν. κύει δὲ τοὺς ἐλαχίστους μὲν ἑκκαίδεκα μῆνας, τοὺς πλείστους δὲ ὀκτωκαίδεκα. τίκτει δὲ ἓν κατάπερ ἵππος, καὶ τοῦτο ἐκτρέφει τῶι γάλακτι ἐς ἔτος ὄγδοον (?). (8) ζῶσι δὲ ἐλεφάντων οἱ πλεῖστα ἔτεα ζῶντες ἐς διηκόσια, πολλοὶ δὲ νόσωι προτελευτῶσιν αὐτῶν· γήραι δὲ ἐς τόσον ἔρχονται. (9) καὶ ἔστιν αὐτοῖσι τῶν μὲν ὀφθαλμῶν ἴαμα τὸ βόειον γάλα ἐγχεόμενον, πρὸς δὲ τὰς ἄλλας νόσους ὁ μέλας οἶνος πινόμενος, ἐπὶ δὲ τοῖσιν ἕλκεσι τὰ ὕεια κρέα ὀπτώμενα καὶ καταπλασσόμενα· ταῦτα παρ' Ἰνδοῖσίν ἐστιν αὐτοῖσιν ἰάματα.

(43) βιβάζονται δὲ καὶ τίκτουσιν ὡς ἵπποι τοῦ ἔαρος μάλιστα. καιρὸς δ' ἐστὶ τῶι μὲν ἄρρενι, ἐπειδὰν οἴστρωι κατέχηται καὶ ἀγριαίνηι – τότε δὴ καὶ λίπους τι διὰ τῆς ἀναπνοῆς ἀνίησιν, ἣν ἔχει παρὰ τοὺς κροτάφους –, ταῖς δὲ θηλείαις ὅταν ὁ αὐτὸς οὗτος πόρος ἀνεωιγὼς τυγχάνηι. κύουσι δὲ τοὺς μὲν πλείστους ὀκτωκαίδεκα μῆνας, ἐλαχίστους δ' ἑκκαίδεκα· τρέφει δ' ἡ μήτηρ ἓξ ἔτη. ζῶσι δ' ὅσον μακροβιώτατοι ἄνθρωποι οἱ πολλοί, τινὲς δὲ καὶ ἐπὶ διακόσια διατείνουσιν ἔτη. πολύνοσοι δὲ καὶ δυσίατοι· ἄκος δὲ πρὸς ὀφθαλμίαν μὲν βόειον γάλα προσκλυζόμενον, τοῖς πλείστοις δὲ τῶν νοσημάτων ὁ μέλας οἶνος πινόμενος, τραύμασι δὲ ποτὸν μὲν βούτυρον – ἐξάγει γὰρ τὰ σιδήρια –, τὰ δ' ἕλκη σαρξὶν ὑείαις πυριῶσιν.

21 (10-12) **a)** STRABON 15, 1, 37 p. 702/3: (F 18b; 721 F 6b) ἀρίστη δ' ὁμολογεῖται πᾶσα ἡ τοῦ Ὑπάνιος πέραν· οὐκ ἀκριβοῦται δέ, ἀλλὰ διὰ τὴν ἄγνοιαν καὶ τὸν ἐκτοπισμὸν λέγεται πάντ' ἐπὶ τὸ μεῖζον ἢ τὸ τερατωδέστερον, οἷα τὰ τῶν χρυσωρύχων μυρμήκων (F 23) καὶ ἄλλων θηρίων τε καὶ ἀνθρώπων ἰδιομόρφων καὶ δυνάμεσί τισιν ἐξηλλαγμένων (cf. F 27/30)· ὡς τοὺς Σῆρας μακροβίους φασί, πέρα καὶ

17-18 ὄγδοον: ἓξ ἔτη **b**; F 4 c. 42, 2   26 καταπλασσόμενα Bernardus καταπασσόμενα A

1 ἐμπροσθίων x   10 [καὶ τίκτουσιν]?   13 δή: δὲ CD om. x   15 ἴσχει F   16 οὗτος om. D^1 18-19 ἐλάχιστοι x   26-27 τραῦμα x^{ac} πρὸς τραῦμα x^c τραύμασι μὲν D

31 Ὑπάνιος: *i.e.* Hyp(h)asis   ἀκριβοῦται E -οῦνται r

διακοσίων ἐτῶν παρατείνοντας. λέγουσι δὲ καὶ ἀριστοκρατικήν τινα σύνταξιν πολιτείας αὐτόθι ἐκ πεντακισχιλίων βουλευτῶν συνεστῶσαν, ὧν ἕκαστον παρέχεσθαι τῶι κοινῶι ἐλέφαντα. καὶ τίγρεις δ' ἐν τοῖς Πρασίοις φησὶν ὁ Μεγασθένης μεγίστους γίνεσθαι, σχεδὸν δέ τι καὶ διπλασίους λεόντων, δυνατοὺς δὲ ὥστε τῶν ἡμέρων τινά, ἀγόμενον ὑπὸ τεττάρων <ἀνδρῶν>, τῶι ὀπισθίωι σκέλει δραξάμενον ἡμιόνου βιάσασθαι καὶ ἑλκύσαι πρὸς ἑαυτόν.

κερκοπιθήκους δὲ μείζους τῶν μεγίστων κυνῶν, λευκοὺς πλὴν τοῦ προσώπου· τοῦτο δ' εἶναι μέλαν· παρ' ἄλλοις δ' ἀνάπαλιν· τὰς δὲ κέρκους μείζους δυεῖν (?) πήχεων· ἡμερωτάτους δὲ καὶ οὐ κακοήθεις περὶ ἐπιθέσεις καὶ κλοπάς.

λίθους δ' ὀρύττεσθαι λιβανόχρους, γλυκυτέρους σύκων ἢ μέλιτος. ἀλλαχοῦ δὲ διπήχεις ὄφεις ὑμενοπτέρους ὥσπερ αἱ νυκτερίδες· καὶ τούτους δὲ νύκτωρ πέτεσθαι, σταλαγμοὺς ἀφιέντας οὔρων, τοὺς δὲ ἱδρώτων, διασήποντας τὸν χρῶτα τοῦ μὴ φυλαξαμένου. καὶ σκορπίους εἶναι πτηνούς, ὑπερβάλλοντας μεγέθεσι. φύεσθαι δὲ καὶ ἔβενον. εἶναι δὲ καὶ κύνας ἀλκίμους οὐ πρότερον μεθιέντας τὸ δηχθέν, πρὶν εἰς τοὺς ῥώθωνας ὕδωρ καταχυθῆναι· ἐνίους δ' ὑπὸ προθυμίας ἐν τῶι δήγματι διαστρέφεσθαι τοὺς ὀφθαλμούς, τοῖς δὲ καὶ ἐκπίπτειν· κατασχεθῆναι δὲ καὶ λέοντα ὑπὸ κυνὸς καὶ ταῦρον· τὸν δὲ ταῦρον καὶ ἀποθανεῖν, κρατούμενον τοῦ ῥύγχους, πρότερον ἢ ἀφεθῆναι.

b) AELIAN. *N.A.* 17, 39: ἐν τῆι Πρασιακῆι χώραι (Ἰνδῶν δὲ αὕτη ἐστί) Μεγασθένης φησὶ πιθήκους εἶναι τῶν μεγίστων κυνῶν οὐ μείους, ἔχειν δὲ οὐρὰς πηχῶν πέντε (?). προσπεφυκέναι δὲ ἄρα αὐτοῖς καὶ προκόμια καὶ πώγωνας καθειμένους καὶ βαθεῖς. καὶ τὸ μὲν πρόσωπον πᾶν εἶναι λευκούς, τὸ σῶμα δὲ μέλανας ἰδεῖν. ἡμέρους δὲ καὶ φιλανθρωποτάτους, καὶ τὸ τοῖς ἀλλαχόθι πιθήκοις συμφυὲς οὐκ ἔχειν τὸ κακόηθες. F 27b?

c) AELIAN. *N.A.* 16, 41: Μεγασθένης φησὶ κατὰ τὴν Ἰνδικὴν σκορπίους γίνεσθαι πτερωτοὺς μεγέθει μεγίστους, τὸ κέντρον δὲ ἐγχρίπτειν τοῖς Εὐρωπαίοις παραπλησίως. γίνεσθαι δὲ καὶ ὄφεις αὐτόθι καὶ τούτους πτηνούς, ἐπιφοιτᾶν δὲ οὐ μεθ' ἡμέραν ἀλλὰ νύκτωρ, καὶ ἀφιέναι ἐξ αὐτῶν οὖρον, ὅπερ οὖν ἐὰν κατά τινος ἐπιστάξηι σώματος, σῆψιν ἐργάζεται παραχρῆμα. καὶ τὰ μὲν τοῦ Μεγασθένους ταῦτα.

22 (14) PLIN. *N.H.* 8, 36: *Megasthenes scribit in India serpentes* F 27a

2 βουλευτῶν Ex βουλευμάτων r 5 <ἀνδρῶν> Jac
11 δυεῖν: πέντε **b** 11-12 ἡμερωτέρους D 12 οὐκ ἀηθεῖς x 16 ὑμενοπτερώτους Epit 18 πέτεσθαι om. E 19 τοὺς δὲ: οἱ δὲ x (richtig? sachvariante?) 19-20 διακόπτοντας E 26 ἐνίοις C(?)

8 Πρασιακῆι Schneider πραξιακῆι o Πρασιανῆι? 11 πέντε: δυεῖν **a** 14-15 σῶμα πᾶν – τὸ πρόσωπον δὲ (**a**)? 22 ἐγχρίμπτειν He

in tantam magnitudinem adolescere, ut solidos hauriant cervos taurosque.

23 (39) **a)** ARRIAN. Ind. 15, 4: ἐπεὶ καὶ ὑπὲρ τῶν μυρμήκων λέγει Νέαρχος (133 F 8) μύρμηκα μὲν αὐτὸς οὐκ ἰδέειν, ὁποῖον δή τινα μετεξέτεροι διέγραψαν γίνεσθαι ἐν τῆι Ἰνδῶν γῆι, δορὰς δὲ καὶ τούτων ἰδεῖν πολλὰς ἐς τὸ στρατόπεδον καταχομισθείσας τὸ Μακεδονικόν. (5) Μεγασθένης δὲ καὶ ἀτρεκέα εἶναι ὑπὲρ τῶν μυρμήκων τὸν λόγον ἱστορέει· τούτους εἶναι τοὺς τὸν χρυσὸν ὀρύσσοντας, οὐκ αὐτοῦ τοῦ χρυσοῦ ἕνεκα, ἀλλὰ φύσι γὰρ κατὰ τῆς γῆς ὀρύσσουσιν ἵνα φωλεύσαιεν, καθάπερ οἱ ἡμέτεροι οἱ σμικροὶ μύρμηκες ὀλίγον τῆς γῆς ὀρύσσουσιν. (6) ἐκείνους δέ – εἶναι γὰρ ἀλωπεκέων μέζονας – πρὸς λόγον τοῦ μεγέθεος σφῶν καὶ τὴν γῆν ὀρύσσειν· τὴν δὲ γῆν χρυσῖτιν εἶναι, καὶ ἀπὸ ταύτης γίνεσθαι Ἰνδοῖσι τὸν χρυσόν. (7) ἀλλὰ Μεγασθένης τε ἀκοὴν ἀπηγέεται, καὶ ἐγὼ ὅτι οὐδὲν τούτου ἀτρεκέστερον ἀναγράψαι ἔχω, ἀπίημι ἑκὼν τὸν ὑπὲρ τῶν μυρμήκων λόγον.

b) STRABON 15, 1, 44 p. 705/6: F 27 τῶν δὲ μυρμήκων τῶν χρυσωρύχων δέρματα ἰδεῖν φησιν οὗτος (Nearchos) παρδαλέαις ὅμοια. Μεγασθένης δὲ περὶ τῶν μυρμήκων οὕτω φησίν, ὅτι ἐν Δέρδαις, ἔθνει μεγάλωι τῶν προσεώιων καὶ ὀρεινῶν Ἰνδῶν, ὀροπέδιον εἴη τρισχιλίων πως τὸν κύκλον σταδίων· ὑποκειμένων δὲ τούτωι χρυσωρυχείων, οἱ μεταλλεύοντες εἶεν μύρμηκες, θηρία ἀλωπέκων οὐκ ἐλάττω, τάχος ὑπερφυὲς ἔχοντες καὶ ζῶντες ἀπὸ θήρας. ὀρύττει δὲ χειμῶνι τὴν γῆν, σωρεύει τε πρὸς τοῖς στομίοις καθάπερ οἱ ἀσφάλακες· ψῆγμα δ' ἐστὶ χρυσοῦ μικρᾶς ἑψήσεως δεόμενον. τοῦθ' ὑποζυγίοις μετίασιν οἱ πλησιόχωροι λάθρα· φανερῶς γὰρ διαμάχονται καὶ διώκουσι φεύγοντας, καταλαβόντες δὲ διαχρῶνται καὶ αὐτοὺς καὶ τὰ ὑποζύγια. πρὸς δὲ τὸ λαθεῖν κρέα θήρεια προτιθέασι κατὰ μέρη· περισπασθέντων δ' ἀναιροῦνται τὸ ψῆγμα, καὶ τοῦ τυχόντος τοῖς ἐμπόροις ἀργὸν διατίθενται, χωνεύειν οὐκ εἰδότες.

24 (15) AELIAN. *N.A.* 8, 7: Μεγασθένους ἀκούω λέγοντος περὶ τὴν τῶν Ἰνδῶν θάλατταν γίνεσθαί τι ἰχθύδιον· καὶ τοῦτο μὲν ὅταν ζῆι, ἀθέατον εἶναι, κάτω που νηχόμενον καὶ ἐν βυθῶι, ἀποθανὸν δὲ ἀναπλεῖν. οὗ τὸν ἁψάμενον λειποθυμεῖν καὶ ἐκθνήσκειν τὰ πρῶτα, εἶτα μέντοι καὶ ἀποθνήσκειν.

10-11 τὸν λόγον <λέγων>? 13 φύσι Geier σφίσι A 14 φωλεύσαιεν Roos -σοιεν A² apogr. φωλεύοιεν k

7 Δέρδαις: *Dardae* Plin. *N.H.* 6, 67; 11, 111; Dionysios ἐν γ̄ Βασσαρικῶν (Steph. Byz. s.v.; cf. s.v. Δαρσανία?); Nonnos *Dion.* 26, 61 10 τούτων D τούτωι <τῶν>? 10-11 χρυσωρυχίων CDF 12 θηρία Kramer θηρίων o 14-15 ὀρύττουσι – σωρεύουσι E 22-23 προστιθέασι DF 23 περισπωμένων x (Cor)

28 ἰχθύδιον, <καὶ τοῦτο μέλαν> (Philes 81 βραχύς τις ἰχθὺς μέλας)? Jacobs 30 [λειπ. καὶ] He

25 (17) Antigon. *Hist. mir.* 132: Μεγασθένην δὲ τὸν τὰ 'Ινδικὰ γεγραφότα ἱστορεῖν ἐν τῆι κατὰ τὴν 'Ινδικὴν θαλάττηι δένδρεα φύεσθαι (*scil.* Καλλίμαχός φησιν [F 407 Pf]).

26 (16) Plin. *N.H.* 6, 81: *Onesicritus* (134 F 13) . . . *elephantos ibi* (in Taprobane: 721 F 10) *maiores bellicosioresque quam in India gigni scripsit; M e g a s t h e n e s f l u m i n e d i v i d i , i n c o l a s q u e P a l a e o g o n o s a p p e l l a r i , a u r i m a r g a r i t a r u m q u e g r a n d i u m f e r t i l i o r e s q u a m I n d o s . Eratosthenes* (p. 235 Be) *et mensuram prodidit* . . .

27 (13; 29-30) a) Strabon 2, 1, 9 p. 70: (721 F 2) διαφερόντως δ' F 13a c. ἀπιστεῖν ἄξιον Δηιμάχωι (716 F 5) τε καὶ Μεγασθένει· οὗτοι γάρ 9, 1 ff.; εἰσιν οἱ τοὺς 'Ενωτοκοίτας καὶ τοὺς 'Αστόμους (F 30) καὶ Ἄρρινας (F 29) F 22/3 ἱστοροῦντες, Μονοφθάλμους τε καὶ Μακροσκελεῖς καὶ 'Οπισθοδακτύλους (F 28). ἀνεκαίνισαν δὲ καὶ τὴν 'Ομηρικὴν τῶν Πυγμαίων γερανομαχίαν (*Il.* Γ 1 ff.), τρισπιθάμους εἰπόντες. οὗτοι δὲ καὶ τοὺς χρυσωρύχους μύρμηκας (F 23) καὶ Πᾶνας σφηνοκεφάλους ὄφεις τε καὶ βοῦς καὶ ἐλάφους σὺν κέρασι καταπίνοντας (F 22)· περὶ ὧν ἕτερος τὸν ἕτερον ἐλέγχει, ὅπερ καὶ 'Ερατοσθένης (p. 77 Be) φησίν. (Es folgt T 2c). b) – 15, 1, 56/7 p. 710/1: (F 34) ἔχει μὲν οὖν καὶ ταῦτα πολλὴν ἀήθειαν πρὸς τὰ παρ' ἡμῖν, ἔτι μέντοι μᾶλλον τὰ τοιάδε. φ η σ ὶ γ ά ρ (Megasthenes) τοὺς τὸν Καύκασον οἰκοῦντας ἐν τῶι φανερῶι γυναιξὶ μίσγεσθαι, καὶ σαρκοφαγεῖν τὰ τῶν συγγενῶν σώματα, πετροκυλιστὰς δ' εἶναι κερκοπιθήκους (F 21?), οἳ λίθους κατακυλίουσι κρημνοβατοῦντες ἐπὶ τοὺς διώκοντας. τά τε παρ' ἡμῖν ἥμερα ζῶια τὰ πλεῖστα παρ' ἐκείνοις ἄγρια εἶναι. ἵππους τε λέγει μονοκέρωτας ἐλαφοκράνους. καλάμους δὲ μῆκος μὲν τριάκοντα ὀργυιῶν τοὺς ὀρθίους, τοὺς δὲ χαμαικλινεῖς πεντήκοντα· πάχος δέ, ὥστε τὴν διάμετρον τοῖς μὲν εἶναι τρίπηχυν, τοῖς δὲ διπλασίαν. (57) ὑπερεκπίπτων δ' ἐπὶ τὸ μυθῶδες πεντασπιθάμους ἀνθρώπους λέγει καὶ F 29 τρισπιθάμους, ὧν τινας ἀμύκτηρας, ἀναπνοὰς ἔχοντας μόνον δύο ὑπὲρ τοῦ στόματος. πρὸς δὲ τοὺς τρισπιθάμους πόλεμον εἶναι ταῖς γεράνοις (ὃν καὶ Ὅμηρον δηλοῦν) καὶ τοῖς πέρδιξιν, οὓς χηνομεγέθεις εἶναι· τούτους δ' ἐκλέγειν αὐτῶν τὰ ὠὰ καὶ φθείρειν· ἐκεῖ γὰρ ὠοτοκεῖν τὰς γεράνους· διόπερ μηδαμοῦ μήτ' ὠὰ εὑρίσκεσθαι γεράνων μήτ' οὖν νεόττια· πλειστάκις δ' ἐκπίπτειν γέρανον χαλκῆν ἔχουσαν ἀκίδα ἀπὸ τῶν ἐκεῖθεν πληγμάτων. ὅμοια δὲ καὶ τὰ περὶ

6 *Palaeogonos* Pintianus *-leo-* ς *-gonis* o; cf. Marcian. *Peripl. M. ext.* 1, 1 Ταπροβάνηι . . . τῆι † παλλιγεμούνδου (Παλαισιμούνδου Hoeschel; cf. *ebd.* 1, 8; Plin. *N.H.* 6, 85; Ptolem. *Geogr.* 7, 4, 1; Steph. Byz. s.v. Ταπροβάνη) λεγομένηι πρότερον? 11 ἄρινας B 18 ἀήθεαν F ἀπίθιαν F[mg] (m. 1) 20 μίγνυσθαι D 23 ἐλαφοκράνους μονοκέρωτας D 25 περίμετρον x τρίπηχυ CF τριπήχην x 26 ὑπερεκπιπτόντων DF -πίπτοντες C 29 καὶ τοῖς – εἶναι korrupt? cf. 718 F 1 31 μήτ' Cor μηδ' o

τῶν Ἐνωτοκοιτῶν καὶ τῶν ἀγρίων ἀνθρώπων καὶ ἄλλων τερατωδῶν. τοὺς μὲν οὖν ἀγρίους μὴ κομισθῆναι παρὰ Σανδρόκοττον (ἀποκαρτερεῖν γάρ), F 28 ἔχειν δὲ τὰς μὲν πτέρνας πρόσθεν, τοὺς δὲ ταρσοὺς ὄπισθεν καὶ τοὺς δακτύλους. Ἀστόμους δέ τινας ἀχθῆναι, ἡμέρους ἀνθρώπους· οἰκεῖν δὲ περὶ τὰς πηγὰς τοῦ F 29 Γάγγου, τρέφεσθαι δ' ἀτμοῖς ὀπτῶν κρεῶν καὶ καρπῶν καὶ ἀνθέων ὀσμαῖς, ἀντὶ τῶν στομάτων ἔχοντας ἀναπνοάς· χαλεπαίνειν δὲ τοῖς δυσώδεσι, καὶ διὰ τοῦτο περιγίνεσθαι μόλις, καὶ μάλιστα ἐν στρατοπέδωι. περὶ δὲ τῶν ἄλλων διηγεῖσθαι τοὺς φιλοσόφους (F 32), Ὠκύποδάς τε ἱστοροῦντας ἵππων μᾶλλον ἀπιόντας· Ἐνωτοκοίτας τε ποδήρη τὰ ὦτα ἔχοντας, ὡς ἐγκαθεύδειν, ἰσχυροὺς δ' ὥστ' ἀνασπᾶν δένδρα καὶ ῥήττειν νευράν· Μονομμάτους τε ἄλλους, ὦτα μὲν ἔχοντας κυνός, ἐν μέσωι δὲ τῶι μετώπωι τὸν ὀφθαλμόν, ὀρθοχαίτας, λασίους τὰ στήθη. τοὺς δὲ Ἀμύκτηρας εἶναι παμφάγους, ὠμοφάγους, ὀλιγοχρονίους, πρὸ γήρως θνήσκοντας· τοῦ δὲ στόματος τὸ ἄνω προχειλότερον εἶναι πολύ. περὶ δὲ τῶν χιλιετῶν Ὑπερβορέων τὰ αὐτὰ λέγει Σιμωνίδηι (F 197 Bgk[4]) καὶ Πινδάρωι (*Ol.* 3, 16 u.ö.) καὶ ἄλλοις μυθολόγοις. [[μῦθος δὲ καὶ τὸ ὑπὸ Τιμαγένους (88 F 12) λεχθέν, [ὡς] ὅτι χαλκὸς ὕοιτο σταλαγμοῖς χαλκοῖς καὶ σύροιτο]]. ἐ γ γ υ τ έ ρ ω δ ὲ π ί σ τ ε ώ ς φ η σ ι ν ὁ Μ ε γ α σ θ έ ν η ς, ὅ τ ι ο ἱ π ο τ α μ ο ὶ κ α τ α φ έ ρ ο ι ε ν ψ ῆ γ μ α χ ρ υ σ ο ῦ, κ α ὶ ἀ π' α ὐ τ ο ῦ φ ό ρ ο ς ἀ π ά γ ο ι τ ο τ ῶ ι β α σ ι λ ε ῖ· [[τοῦτο γὰρ καὶ ἐν Ἰβηρίαι συμβαίνει]]. (Es folgt F 32).

28 (31-32) PLIN. *N.H.* 7, 22 (SOLIN. 52, 26): *in monte, cui nomen est* F 27 † *Nulo, homines esse aversis plantis, octonos digitos in singulis habentes auctor est Megasthenes.* (Es folgt Ktesias 688 F 45 pα).

29 (33) PLIN. *N.H.* 7, 25: *Megasthenes gentem inter Nomadas Indos* F 27 *narium loco foramina tantum habentem, anguium modo loripedem, vocari Sciritas. ad extremos fines Indiae ab oriente circa fontem Gangis Astomorum gentem sine ore, corpore toto hirtam, vestiri frondium lanugine, halitu tantum viventem et odore, quem naribus trahant. nullum illis cibum nullumque potum, radicum tantum florumque varios odores et silvestrium malorum, quae secum portant longiore itinere, ne desit olfactus; graviore paulo odore haud difficulter exanimari.* (26) *super hos extrema in parte montium Trispithami Pygmaeique narrantur, ternas spithamas longitudine* [[*hoc est ternos dodrantes*]] *non excedentes, salubri caelo semperque vernante montibus ab aquilone oppositis, quos a gruibus infestari Homerus quoque prodidit. fama*

---

2 σανδρόκοττον CF σαδρόκοτον x 6 τὰς ἀναπνοάς x 9 τε Groskurd δὲ o ὦτα om. C 10 τε Kramer δὲ o 16 [ὡς] ς (Cor) 19 τοῦτο δὲ D 21 *nullo* D[1]F *nulo, nullo, nilo* Solin (*v.l.*) *Imao* Marquart *in plantis singulis. Megasthenes . . . scribit nationes capitibus caninis e.q.s.* Solin 25 *scyritas* FT Σκιρᾶται Aelian. *N.A.* 16, 23 30-31 *Trispithami* (F 27) Harduin *Trispitami* d *spithami, sphitami, sphithami* r

est insidentes arietum caprarumque dorsis, armatos sagittis, veris tempore universo agmine ad mare descendere et ova pullosque earum alitum consumere. ternis expeditionem eam mensibus confici; aliter futuris gregibus non resisti. casas eorum luto pinnisque et ovorum putaminibus construi.

30 (34) Plutarch. *De fac. lun.* 24 p. 938C: τὴν μὲν γὰρ Ἰνδικὴν ῥίζαν, F 27 ἥν φησι Μεγασθένης τοὺς μήτ' ἐσθίοντας μήτε πίνοντας ἀλλ' ἀστόμους ὄντας ὑποτύφειν καὶ θυμιᾶν καὶ τρέφεσθαι τῆι ὀσμῆι.

31 (36a) Strabon 15, 1, 50/2 p. 707/9: (F 19b § 49) τῶν δ' ἀρχόντων F 4 c. 42, οἱ μέν εἰσιν ἀγορανόμοι, οἱ δ' ἀστυνόμοι, οἱ δ' ἐπὶ τῶν στρατιωτ<ικ>ῶν, ὧν οἱ 3/4 μὲν ποταμοὺς ἐξεργάζονται καὶ ἀναμετροῦσι τὴν γῆν ὡς ἐν Αἰγύπτωι, καὶ τὰς κλειστὰς διώρυχας, ἀφ' ὧν εἰς τὰς ὀχετείας ταμιεύεται τὸ ὕδωρ, ἐπισκοποῦσιν, ὅπως ἐξ ἴσης πᾶσιν ἡ τῶν ὑδάτων παρείη χρῆσις. οἱ δ' αὐτοὶ καὶ τῶν θηρευτῶν ἐπιμελοῦνται, καὶ τιμῆς καὶ κολάσεώς εἰσι κύριοι τοῖς ἐπαξίοις. καὶ φορολογοῦσι δέ, καὶ τὰς τέχνας τὰς περὶ τὴν γῆν ἐπιβλέπουσιν – ὑλοτόμων, τεκτόνων, χαλκέων, μεταλλευτῶν. ὁδοποιοῦσι δέ, καὶ κατὰ δέκα στάδια στήλην τιθέασι, τὰς ἐκτροπὰς καὶ τὰ διαστήματα δηλοῦσαν.

(51) οἱ δ' ἀστυνόμοι εἰς ἓξ πεντάδας διήιρηνται. καὶ οἱ μὲν τὰ δημιουργικὰ σκοποῦσιν, οἱ δὲ ξενοδοχοῦσιν· καὶ γὰρ καταγωγὰς νέμουσι, καὶ τοῖς βίοις παρακολουθοῦσι παρέδρους δόντες, καὶ προπέμπουσιν ἢ αὐτοὺς ἢ τὰ χρήματα τῶν ἀποθανόντων, νοσούντων τε ἐπιμελοῦνται, καὶ ἀποθανόντας θάπτουσι. τρίτοι δ' εἰσίν, οἳ τὰς γενέσεις καὶ θανάτους ἐξετάζουσι πότε καὶ πῶς, τῶν τε φόρων χάριν καὶ ὅπως μὴ ἀφανεῖς εἶεν αἱ κρείττους καὶ χείρους γοναὶ καὶ θάνατοι. τέταρτοι <δ'> οἱ περὶ τὰς καπηλείας καὶ μεταβολάς, οἷς μέτρων μέλει καὶ τῶν ὡραίων, ὅπως ἀπὸ συσσήμου πωλοῖτο· οὐκ ἔστι δὲ πλείω τὸν αὐτὸν μεταβάλλεσθαι, πλὴν εἰ διττοὺς ὑποτελοίη φόρους. πέμπτοι δ' οἱ προεστῶτες τῶν δημιουργουμένων καὶ πωλοῦντες ταῦτ' ἀπὸ συσσήμου, χωρὶς μὲν τὰ καινά, χωρὶς δὲ τὰ παλαιά· τῶι μιγνύντι δὲ ζημία. ἕκτοι δὲ καὶ ὕστατοι οἱ τὰς δεκάτας ἐκλέγοντες τῶν πωλουμένων· θάνατος δὲ τῶι κλέψαντι τὸ τέλος. ἰδίαι μὲν ἕκαστοι ταῦτα, κοινῆι δ' ἐπιμελοῦνται τῶν τε ἰδίων καὶ τῶν πολιτικῶν, καὶ τῆς τῶν δημοσίων ἐπισκευῆς, τιμῶν (?) τε καὶ ἀγορᾶς καὶ λιμένων καὶ ἱερῶν.

(52) μετὰ δὲ τοὺς ἀστυνόμους τρίτη ἐστὶ συναρχία ἡ περὶ τὰ στρατιωτικά, καὶ αὕτη ταῖς πεντάσιν ἐξαχῆι διωρισμένη. ὧν τὴν μὲν μετὰ τοῦ ναυάρχου

---

6 τοὺς add. BE   ἀστόμους v εὐστόμους o (?)   9 ἀγορανόμοι o ἀγρονόμοι Lumbroso   στρατιωτικῶν (lin. 31) Jac στρατιωτῶν o   9-10 οἱ μὲν <ἀγορανόμοι> o. <πρῶτοι>?   11 διώρυγας CD   17-20: cf. F 4 c. 42, 3   20 ἀποθανόντων (vor θαπτ.) x   23 <δ'> Mei   τὰς μεταβολάς D   24 ὡραίων: ὁρίων CDF   πωλοῖντο x   οὐκ ἔστι: οὐκέτι CD   26 καὶ πωλοῦσι (ἵνα π.) καὶ ταῦτ'?   29 πολιτῶν DF   [καὶ] τῆς?   30 τιμῶν: τειχῶν Kramer   32 διηιρημένη (lin. 17)? ναυάρχου: cf. F 19b § 45

τάττουσι, τὴν δὲ μετὰ τοῦ ἐπὶ τῶν βοικῶν ζευγῶν, δι' ὧν ὄργανα κομίζεται καὶ τροφὴ αὐτοῖς τε καὶ κτήνεσι καὶ τὰ ἄλλα τὰ χρήσιμα τῆι στρατιᾶι. οὗτοι δὲ καὶ τοὺς διακόνους παρέχουσι, τυμπανιστάς, κωδωνοφόρους, ἔτι δὲ καὶ ἱπποκόμους καὶ μηχανοποιοὺς καὶ τοὺς τούτων ὑπηρέτας· ἐκπέμπουσί τε πρὸς κώδωνα τοὺς χορτολόγους, τιμῆι καὶ κολάσει τὸ τάχος κατασκευαζόμενοι καὶ τὴν ἀσφάλειαν. τρίτοι δέ εἰσιν οἱ τῶν πεζῶν ἐπιμελούμενοι, τέταρτοι δὲ οἱ τῶν ἵππων, πέμπτοι δ' ἁρμάτων, ἕκτοι δὲ ἐλεφάντων. βασιλικοὶ δὲ σταθμοὶ καὶ ἵπποις καὶ θηρίοις, βασιλικὸν δὲ καὶ ὁπλοφυλάκιον· παραδίδωσι γὰρ ὁ στρατιώτης τήν τε σκευὴν εἰς τὸ ὁπλοφυλάκιον καὶ τὸν ἵππον εἰς τὸν ἱππῶνα καὶ τὸ θηρίον ὁμοίως. χρῶνται δ' ἀχαλινώτοις· τὰ δ' ἅρματα ἐν ταῖς ὁδοῖς βόες ἕλκουσιν, οἱ δὲ ἵπποι ἀπὸ φορβειᾶς ἄγονται τοῦ μὴ παρεμπίπρασθαι τὰ σκέλη, μηδὲ τὸ πρόθυμον αὐτῶν [τὸ] ὑπὸ τοῖς ἅρμασιν ἀμβλύνεσθαι. δύο δ' εἰσὶν ἐπὶ τῶι ἅρματι παραβάται πρὸς τῶι ἡνιόχωι· ὁ δὲ τοῦ ἐλέφαντος ἡνίοχος τέταρτος, τρεῖς δ' οἱ ἀπ' αὐτοῦ τοξεύοντες.

32 (27) STRABON 15, 1, 53/5 p. 709/10: (F 31) εὐτελεῖς δὲ κατὰ τὴν F 4 c. δίαιταν Ἰνδοὶ πάντες, μᾶλλον δ' ἐν ταῖς στρατείαις. οὐδ' ὄχλωι περιττῶι χαίρουσι· 5; F 1 διόπερ εὐκοσμοῦσι. πλείστη δ' ἐκεχειρία περὶ τὰς κλοπάς· γενόμενος γοῦν ἐν τῶι Σανδροκόττου στρατοπέδωι φησὶν ὁ Μεγασθένης, τετταράκοντα μυριάδων πλήθους ἱδρυμένου, μηδεμίαν ἡμέραν ἰδεῖν ἀνηνεγμένα κλέμματα πλειόνων ἢ διακοσίων δραχμῶν ἄξια, ἀγράφοις καὶ ταῦτα νόμοις χρωμένοις. οὐδὲ γὰρ γράμματα εἰδέναι αὐτούς, ἀλλ' ἀπὸ μνήμης ἕκαστα διοικεῖσθαι. εὐπραγεῖν δ' ὅμως διὰ τὴν ἁπλότητα καὶ τὴν εὐτέλειαν· οἶνόν τε γὰρ οὐ πίνειν ἀλλ' ἐν θυσίαις μόνον, πίνειν δ' ἀπ' ὀρύζης ἀντὶ κριθῶν συντιθέντας. καὶ σιτία δὲ τὸ πλέον ὄρυζαν εἶναι ῥοφητήν. καὶ ἐν τοῖς νόμοις δὲ καὶ συμβολαίοις τὴν ἁπλότητα ἐλέγχεσθαι ἐκ τοῦ μὴ πολυδίκους εἶναι· οὔτε γὰρ ὑποθήκης οὔτε παρακαταθήκης εἶναι δίκας· οὐδὲ μαρτύρων οὐδὲ σφραγίδων αὐτοῖς δεῖν, ἀλλὰ πιστεύειν παραβαλλομένους. καὶ τὰ οἴκοι δὲ τὸ πλέον ἀφρουρεῖν.

ταῦτα μὲν δὴ σωφρονικά, τἄλλα δ' οὐκ ἄν τις ἀποδέξαιτο· τὸ μόνους διαιτᾶσθαι ἀεὶ καὶ τὸ μὴ μίαν εἶναι πᾶσιν ὥραν κοινὴν δείπνου τε καὶ ἀρίστου, ἀλλ' ὅπως ἑκάστωι φίλον· πρός γὰρ τὸν κοινωνικὸν καὶ τὸν πολιτικὸν βίον ἐκείνως κρεῖττον.

---

2 τοῖς κτήνεσι D τῆι στρατιᾶι Cor τῆς στρατείας (-ειᾶς F) o 3 καὶ τοὺς κωδωνοφόρους D 5 κώδωνα Cor -ας o κατασφαλιζόμενοι D 8 βασ. δὲ Jac βασ. τε o 10 ἀχαλινώτοις: *scil.* τοῖς ἵπποις 11 φορβιᾶς D φορβέας F 12 [τὸ] v (vor Kramer) 12-13 ἐπὶ τ. ἅ. om. x 13 ἀναβάται x τῶι ἡνιόχωι F 12 τῶι om. r 16 στρατείαις Cor στρατιαῖς (-ειαῖς F) o οὐχ ὅπλωι F 17 γενόμενος Cas -μένους o 18 γοῦν F δ' οὖν r 21 χρωμένων? Mei 22 εὐπραγεῖν F εὖ πράττειν r 23 κριθῶν Kramer κριθίνων o κριθίνου Cor 25 ὑποθήκης Tyrwhitt ἐπι- o 26 οὐδὲ μαρτύρων om. x 27 τὰ πλέονα φρουρεῖν C τὰ πλέον ἀφρουδεῖν D 28 τἄλλα δ' οὐκ x τἄλλα δ' οὐδ' r 29 πᾶσιν om. D

(54) γυμνασίων δὲ μάλιστα τρῖψιν δοκιμάζουσι, καὶ ἄλλως καὶ διὰ σκυταλίδων ἐβενίνων λείων ἐξομαλίζονται τὰ σώματα. λιταὶ δὲ καὶ αἱ ταφαί, καὶ [F 15] μικρὰ χώματα. ὑπεναντίως δὲ τῆι ἄλληι λιτότητι κοσμοῦνται· χρυσοφοροῦσι γάρ, καὶ διαλίθωι κόσμωι χρῶνται, σινδόνας τε φοροῦσιν εὐανθεῖς, καὶ σκιάδια αὐτοῖς ἕπεται. τὸ γὰρ κάλλος τιμῶντες ἀσκοῦσιν ὅσα καλλωπίζει τὴν ὄψιν. ἀλήθειάν τε ὁμοίως καὶ ἀρετὴν ἀποδέχονται· διόπερ οὐδὲ τῆι ἡλικίαι τῶν γερόντων προνομίαν διδόασιν, ἂν μὴ καὶ τῶι φρονεῖν πλεονεκτῶσι. πολλὰς δὲ γαμοῦσιν ὠνητὰς παρὰ τῶν γονέων, λαμβάνουσί τε ἀντιδιδόντες ζεῦγος βοῶν, ὧν τὰς μὲν εὐπειθείας χάριν, τὰς δ' ἄλλας ἡδονῆς καὶ πολυτεκνίας. εἰ δὲ μὴ σωφρονεῖν ἀναγκάσαιεν, πορνεύειν ἔξεστι. θύει δὲ οὐδεὶς ἐστεφανωμένος οὐδὲ θυμιᾶι οὐδὲ σπένδει· οὐδὲ σφάττουσι τὸ ἱερεῖον, ἀλλὰ πνίγουσιν, ἵνα μὴ λελωβημένον ἀλλ' ὁλόκληρον διδῶται τῶι θεῶι. ψευδομαρτυρίας δ' ὁ ἁλοὺς [F 4 c. 42,] ἀκρωτηριάζεται· ὅ τε πηρώσας οὐ τὰ αὐτὰ μόνον ἀντιπάσχει, ἀλλὰ καὶ χειρο- [4] κοπεῖται· ἐὰν δὲ τεχνίτου χεῖρα ἢ ὀφθαλμὸν ἀφέληται, θανατοῦται. δούλοις [F 4 c. 39,] δὲ οὗτος (Megasthenes) μέν φησι μηδένα Ἰνδῶν χρῆσθαι [['Ονησί- [5; F 16] κριτος (134 F 24/5) δὲ τῶν ἐν τῆι Μουσικανοῦ τοῦτ' ἴδιον ἀποφαίνει]], καὶ ὡς κατόρθωμά γε, καθάπερ καὶ ἄλλα πολλὰ λέγει τῆς χώρας ταύτης κατορθώματα ὡς εὐνομωτάτης.

(55) τῶι βασιλεῖ δ' ἡ μὲν τοῦ σώματος θεραπεία διὰ γυναικῶν ἐστιν, ὠνητῶν καὶ αὐτῶν παρὰ τῶν πατέρων· ἔξω δὲ τῶν θυρῶν οἱ σωματοφύλακες καὶ τὸ λοιπὸν στρατιωτικόν. μεθύοντα δὲ κτείνασα γυνὴ βασιλέα γέρας ἔχει συνεῖναι τῶι ἐκεῖνον διαδεξαμένωι· διαδέχονται δ' οἱ παῖδες. οὐδ' ὑπνοῖ μεθ' ἡμέραν ὁ βασιλεύς, καὶ νύκτωρ δὲ καθ' ὥραν ἀναγκάζεται τὴν κοίτην ἀλλάττειν διὰ τὰς ἐπιβουλάς. τῶν δὲ μὴ κατὰ πόλεμον ἐξόδων μία μὲν ἐστιν ἡ ἐπὶ τὰς κρίσεις, ἐν αἷς διημερεύει διακούων οὐδὲν ἧττον, κἂν ὥρα γένηται τῆς τοῦ σώματος θεραπείας (αὕτη δ' ἐστὶν ἡ διὰ τῶν σκυταλίδων τρῖψις)· ἅμα γὰρ καὶ διακούει καὶ τρίβεται, τεττάρων περιστάντων τριβέων. ἑτέρα δ' ἐστὶν ἡ ἐπὶ τὰς θυσίας ἔξοδος· τρίτη δ' ἐπὶ θήραν βακχική τις, κύκλωι γυναικῶν περικεχυμένων, ἔξωθεν δὲ τῶν δορυφόρων. περιεσχοίνισται δ' ἡ ὁδός, τῶι δὲ παρελθόντι ἐντὸς μέχρι γυναικῶν θάνατος· προηγοῦνται δὲ τυμπανισταὶ καὶ κωδωνοφόροι. κυνηγετεῖ δ' ἐν μὲν τοῖς περιφράγμασιν, ἀπὸ βήματος τοξεύων (παρεστᾶσι δ' ἔνοπλοι δύο ἢ τρεῖς γυναῖκες), ἐν δὲ ταῖς ἀφράκτοις θήραις ἀπ' ἐλέφαντος· αἱ δὲ γυναῖκες αἱ μὲν ἐφ' ἁρμάτων, αἱ δ' ἐφ' ἵππων, αἱ δὲ καὶ ἐπ' ἐλεφάντων, ὡς καὶ συστρατεύουσιν, ἠσκημέναι παντὶ ὅπλωι. (Es folgt F 27b).

1 γυμνασίων Cor -σιον o 5 σκιάδεια D 9 εὐπαθείας ς (Cor) 11 ἀλλ' ἀποπνίγουσιν C 12 διδῶται ἀλλ' ὁλόκληρον D 14 <καὶ> τεχνίτου v 17-18 καὶ – εὐνομωτάτης nicht sicher, ob M. oder Onesikritos (περὶ τῆς Μουσικανοῦ χώρας . . . ἐγκωμιάζων αὐτήν) 22 μεθ' ἡμέρας D 23 καὶ om. D 24 τῶν δὲ μὴ Jac τῶν γε μὴν o τῶν τε μὴ Cor τῶν γε μὴ Groskurd 26 γὰρ: δὲ D [καὶ] διακούει Cor 29 περιεσχοίνισται Jac παρε- o ἐκτὸς CDF 30 μέχρι: δίχα x

33 (40) Strabon 15, 1, 58/60 p. 711/4: (F 27b) περὶ δὲ τῶν φιλοσόφων λέγων (Megasthenes) τοὺς μὲν ὀρεινοὺς αὐτῶν φησιν ὑμνητὰς εἶναι τοῦ Διονύσου, δεικνύντας τεκμήρια τὴν ἀγρίαν ἄμπελον παρὰ μόνοις <αὐτοῖς> φυομένην καὶ κιττὸν καὶ δάφνην καὶ μυρρίνην καὶ πύξον καὶ ἄλλα τῶν ἀειθαλῶν, ὧν μηδὲν εἶναι πέραν τοῦ Εὐφράτου, πλὴν ἐν παραδείσοις σπάνια καὶ μετὰ πολλῆς ἐπιμελείας σωζόμενα. Διονυσιακὸν δὲ καὶ τὸ σινδονοφορεῖν καὶ τὸ μιτροῦσθαι καὶ μυροῦσθαι καὶ βάπτεσθαι ἄνθινα καὶ τοὺς βασιλέας κωδωνοφορεῖσθαι (?) καὶ τυμπανίζεσθαι κατὰ τὰς ἐξόδους. τοὺς δὲ πεδιασίους τὸν Ἡρακλέα τιμᾶν. [[ταῦτα μὲν οὖν μυθώδη καὶ ὑπὸ πολλῶν ἐλεγχόμενα, καὶ μάλιστα τὰ περὶ τῆς ἀμπέλου καὶ τοῦ οἴνου· πέραν γὰρ τοῦ Εὐφράτου καὶ τῆς Ἀρμενίας ἐστὶ πολλὴ καὶ ἡ Μεσοποταμία ὅλη καὶ ἡ Μηδία ἑξῆς μέχρι καὶ Περσίδος καὶ Καρμανίας· τούτων δὲ τῶν ἐθνῶν ἑκάστου πολὺ μέρος εὐάμπελον καὶ εὔοινον λέγεται.]]

F 3; (721 F 20) (F 4 c … F 32 §

(59) ἄλλην δὲ διαίρεσιν ποιεῖται [περὶ] τῶν φιλοσόφων, δύο γένη φάσκων, ὧν τοὺς μὲν Βραχμᾶνας καλεῖ, τοὺς δὲ Γαρμᾶνας. τοὺς μὲν οὖν Βραχμᾶνας εὐδοκιμεῖν <μᾶλλον>· μᾶλλον γὰρ καὶ ὁμολογεῖν ἐν τοῖς δόγμασιν. ἤδη δ' εὐθὺς καὶ κυομένους ἔχειν ἐπιμελητὰς λογίους ἄνδρας, οὓς προσιόντας λόγωι μὲν ἐπάιδειν δοκεῖν καὶ τὴν μητέρα καὶ τὸν κυόμενον εἰς εὐτεκνίαν, τὸ δ' ἀληθὲς σωφρονικάς τινας παραινέσεις καὶ ὑποθήκας διδόναι· τὰς δ' ἥδιστα ἀκροωμένας μάλιστα εὐτέκνους εἶναι νομίζεσθαι. μετὰ δὲ τὴν γένεσιν ἄλλους καὶ ἄλλους διαδέχεσθαι τὴν ἐπιμέλειαν, ἀεὶ τῆς μείζονος ἡλικίας χαριεστέρων τυγχανούσης διδασκάλων. διατρίβειν δὲ τοὺς φιλοσόφους ἐν ἄλσει πρὸ τῆς πόλεως ὑπὸ περιβόλωι συμμέτρωι, λιτῶς ζῶντας ἐν στιβάσι καὶ δοραῖς, ἀπεχομένους ἐμψύχων καὶ ἀφροδισίων, ἀκροωμένους λόγων σπουδαίων, μεταδιδόντας καὶ τοῖς ἐθέλουσι· τὸν δ' ἀκροώμενον οὔτε λαλῆσαι θέμις οὔτε χρέμψασθαι, ἀλλ' οὐδὲ πτύσαι, ἢ ἐκβάλλεσθαι τῆς συνουσίας τὴν ἡμέραν ἐκείνην ὡς ἀκολασταίνοντα. ἔτη δ' ἑπτὰ καὶ τριάκοντα οὕτως ζήσαντα ἀναχωρεῖν εἰς τὴν ἑαυτοῦ κτῆσιν ἕκαστον, καὶ ζῆν ἀδεῶς καὶ ἀνειμένως μᾶλλον, σινδονοφοροῦντα καὶ χρυσοφοροῦντα μετρίως ἐν τοῖς ὠσὶ καὶ ταῖς χερσί, προσφερόμενον σάρκας τῶν μὴ πρὸς τὴν χρείαν συνεργῶν ζώιων, δριμέων καὶ ἀρτυτῶν ἀπεχόμενον. γαμεῖν δ' ὅτι πλείστας εἰς πολυτεκνίαν· ἐκ πολλῶν γὰρ καὶ τὰ σπουδαῖα πλείω

1-12: s. Komm. 3 τεκμήριον D μόνοις αὐτοῖς F (?) αὐτοῖς om. r 5 τοῦ om. DF 7-8 κωδωνοκροτεῖσθαι? Mei 9 [τὰ] Kramer 13 [περὶ] Cor 14 Γαρμᾶνας: γερμᾶνας x Epit (cf. zu p. 637, 23) Πράμνας 15, 1, 70 (721 F 15) Σαρμάναι (-μᾶνες Cobet -μᾶναι Stählin) Clem. Al. *Strom.* 1, 71, 5 (721 F 20) Σαμαναῖοι (Clem. *l.l.* § 4) Bardesanes 719 F 2 Brāhmaṇas und Samaṇas (çramaṇas): s. Hultzsch *C.I. Ind.* I 5, 15 u.ö.; Timmer *Megasthenes*, 1930, p. 84 ff. 15 <μᾶλλον> Cor 16 καὶ om. D λόγωι Tyrwhitt λόγων CDF λόγον r 17 [δοκεῖν]? 19-20 καὶ ἄλλας D 21 <τούτους> τοὺς φιλ: (cf. § 60)? 22 πόλεως: i.e. Palibothra? περιβόλων συμμέτρων D 27 κτῆσιν: κοίτην F 28 καὶ χρυσ. om. D 29 τῶν μὴ ς μὴ τῶν o

γίνεσθαι ἄν, ἀδουλοῦσί τε τὴν ἐκ τέκνων [μὴ ἔχουσι δούλους] ὑπηρεσίαν ἐγγυτάτω οὖσαν πλείω δεῖν παρασκευάζεσθαι. ταῖς δὲ γυναιξὶ ταῖς γαμεταῖς μὴ συμφιλοσοφεῖν τοὺς Βραχμᾶνας· εἰ μὲν μοχθηραὶ γένοιντο, ἵνα μή τι τῶν οὐ θεμιτῶν ἐκφέροιεν εἰς τοὺς βεβήλους, εἰ δὲ σπουδαῖαι, μὴ καταλείποιεν αὐτούς. οὐδένα γὰρ ἡδονῆς καὶ πόνου καταφρονοῦντα, ὡς δ' αὔτως ζωῆς καὶ θανάτου, ἐθέλειν ὑφ' ἑτέρωι εἶναι· τοιοῦτον δ' εἶναι τὸν σπουδαῖον καὶ τὴν σπουδαίαν. πλείστους δ' αὐτοῖς εἶναι λόγους περὶ τοῦ θανάτου· νομίζειν γὰρ δὴ τὸν μὲν ἐνθάδε βίον ὡς ἂν ἀκμὴν κυομένων εἶναι, τὸν δὲ θάνατον γένεσιν εἰς τὸν ὄντως βίον καὶ τὸν εὐδαίμονα τοῖς φιλοσοφήσασι· διὸ τῆι ἀσκήσει πλείστηι χρῆσθαι πρὸς τὸ ἑτοιμοθάνατον. ἀγαθὸν δὲ ἢ κακὸν μηδὲν εἶναι τῶν συμβαινόντων ἀνθρώποις· οὐ γὰρ ἂν τοῖς αὐτοῖς τοὺς μὲν ἄχθεσθαι, τοὺς δὲ χαίρειν, ἐνυπνιώδεις ὑπολήψεις ἔχοντας· καὶ τοὺς αὐτοὺς τοῖς αὐτοῖς τοτὲ μὲν ἄχθεσθαι, τοτὲ δ' αὖ χαίρειν μεταβαλλομένους. τὰ δὲ περὶ φύσιν τὰ μὲν εὐήθειαν ἐμφαίνειν φησίν (ἐν ἔργοις γὰρ αὐτοὺς κρείττους ἢ λόγοις εἶναι, διὰ μύθων τὰ πολλὰ πιστουμένους), περὶ πολλῶν δὲ τοῖς Ἕλλησιν ὁμοδοξεῖν. ὅτι γὰρ γενητὸς ὁ κόσμος καὶ φθαρτός, λέγειν κἀκείνους· καὶ ὅτι σφαιροειδής, ὅ τε διοικῶν αὐτὸν καὶ ποιῶν θεὸς δι' ὅλου διαπεφοίτηκεν αὐτοῦ· ἀρχαὶ δὲ τῶν μὲν συμπάντων ἕτεραι, τῆς δὲ κοσμοποιίας τὸ ὕδωρ· πρὸς δὲ τοῖς τέτταρσι στοιχείοις πέμπτη τίς ἐστι φύσις, ἐξ ἧς ὁ οὐρανὸς καὶ τὰ ἄστρα· γῆ δ' ἐν μέσωι ἵδρυται τοῦ παντός· καὶ περὶ σπέρματος δὲ καὶ ψυχῆς ὅμοια λέγεται, καὶ ἄλλα πλείω. παραπλέκουσι δὲ καὶ μύθους, ὥσπερ καὶ Πλάτων περί τε ἀφθαρσίας ψυχῆς καὶ τῶν καθ' Ἅιδου κρίσεων, καὶ ἄλλα τοιαῦτα. περὶ μὲν τῶν Βραχμάνων ταῦτα λέγει.

(60) τοὺς δὲ Γαρμᾶνας, τοὺς μὲν ἐντιμοτάτους Ὑλοβίους φησὶν ὀνομάζεσθαι, ζῶντας ἐν ταῖς ὕλαις ἀπὸ φύλλων καὶ καρπῶν ἀγρίων, † ἐσθῆτος φλοιῶν δενδρείων, ἀφροδισίων χωρὶς καὶ οἴνου· τοῖς δὲ βασιλεῦσι συνεῖναι, δι' ἀγγέλων πυνθανομένοις περὶ τῶν αἰτίων, καὶ δι' ἐκείνων θεραπεύουσι καὶ λιτανεύουσι τὸ θεῖον. μετὰ δὲ τοὺς Ὑλοβίους δευτερεύειν κατὰ τιμὴν τοὺς ἰατρικοὺς καὶ ὡς περὶ τὸν ἄνθρωπον φιλοσόφους, λιτοὺς μέν, μὴ ἀγραύλους δέ, ὀρύζηι καὶ ἀλφίτοις τρεφομένους, ἃ παρέχειν αὐτοῖς πάντα τὸν αἰτηθέντα καὶ ὑποδεξάμενον ξενίαι. δύνασθαι δὲ καὶ πολυγόνους ποιεῖν καὶ ἀρρενογόνους καὶ θηλυγόνους διὰ φαρμακευτικῆς. τὴν δὲ ἰατρείαν διὰ σιτίων τὸ πλέον, οὐ διὰ φαρμάκων ἐπιτε-

1-2 ἄν – παρασκευάζεσθαι om. x 1 ἄν, ἀδουλοῦσί τε Kramer ἀναδουλοῦσί τε o ἄν, ἀδούλοις οὖσι Tyrwhitt τὴν – ὑπηρεσίαν: cf. Onesikritos 134 F 24 [μὴ ἔ. δ.] Tyrwhitt 4 καταλίποιεν Dx 6-7 πλεῖστον – λόγον E 8 καὶ om. x (Cor) 14 διὰ μύθων: cf. 721 F 18; Bardesanes 719 F 1 § 2? ἀπιστουμένους DF 15 γεννητὸς C 17 διαπεφοίτηκεν (-φυ- F) o διαπέφυκεν Cor 20 καὶ ψυχῆς F καὶ om. r (?) 23 γαρμάνας F γερμᾶνας r; s. zu p. 636, 14 ἐντιμοτάτους D -τιμω- r 24-25 ἐσθῆτας δ' ἔχειν ἀπὸ φλ. δ. ς ἐσθῆτος <οὔσης>? Kramer ἐσθητοὺς φλοίωι δενδρείωι? Mei 25 δένδρων x δενδρίων CF 28 ἀγραύλους E ὑγραύλους r 30-31 δύνασθαι – φαρμακευτικῆς zusatz oder hinter μετέχειν (p. 638, 2)? 30 δὲ om. D

λεῖσθαι· τῶν φαρμάκων δὲ μάλιστα εὐδοκιμεῖν τὰ ἐπίχριστα καὶ τὰ καταπλάσματα, τἆλλα δὲ κακουργίας πολὺ μετέχειν. ἀσκεῖν δὲ καὶ τούτους κἀκείνους καρτερίαν, τήν τε ἐν πόνοις καὶ τὴν ἐν ταῖς ἐπιμοναῖς, ὥστ' ἐφ' ἑνὸς σχήματος ἀκίνητον διατελέσαι τὴν ἡμέραν ὅλην. ἄλλους δ' εἶναι τοὺς μὲν μαντικοὺς καὶ ἐπῳδοὺς καὶ τῶν περὶ τοὺς κατοιχομένους λόγων καὶ νομίμων ἐμπείρους, ἐπαιτοῦντας καὶ κατὰ κώμας καὶ πόλεις· τοὺς δὲ χαριεστέρους μὲν τούτων καὶ ἀστειοτέρους, οὐδ' αὐτοὺς δὲ ἀπεχομένους τῶν καθ' Ἅιδην θρυλουμένων, ὅσα δοκεῖ πρὸς εὐσέβειαν καὶ ὁσιότητα. συμφιλοσοφεῖν δ' ἐνίοις καὶ γυναῖκας, ἀπεχομένας καὶ αὐτὰς ἀφροδισίων.

34 (42-43) **a)** Strabon 15, 1, 68 p. 718: τῆς δ' ἀνομολογίας τῶν συγγραφέων ἔστω παράδειγμα καὶ ὁ περὶ τοῦ Καλάνου λόγος. ὅτι μὲν γὰρ συνῆλθεν Ἀλεξάνδρωι καὶ ἀπέθανεν ἑκὼν παρ' αὐτῶι διὰ πυρός, ὁμολογοῦσι· τὸν δὲ τρόπον οὐ τὸν αὐτόν φασιν οὐδὲ κατὰ τὰς αὐτὰς αἰτίας ..... Μεγασθένης δ' ἐν μὲν τοῖς φιλοσόφοις οὐκ εἶναι δόγμα φησὶν ἑαυτοὺς ἐξάγειν, τοὺς δὲ ποιοῦντας τοῦτο νεανικοὺς κρίνεσθαι, τοὺς μὲν σκληροὺς τῆι φύσει φερομένους ἐπὶ πληγὴν ἢ κρημνόν, τοὺς δ' ἀπόνους ἐπὶ βυθόν, τοὺς δὲ πολυπόνους ἀπαγχομένους, τοὺς δὲ πυρώδεις εἰς πῦρ ὠθουμένους, οἷος ἦν καὶ ὁ Κάλανος, ἀκόλαστος ἄνθρωπος καὶ ταῖς Ἀλεξάνδρου τραπέζαις δεδουλωμένος. τοῦτον μὲν οὖν ψέγεσθαι, τὸν δὲ Μάνδανιν (?) ἐπαινεῖσθαι, ὃς τῶν τοῦ Ἀλεξάνδρου ἀγγέλων καλούντων πρὸς τὸν Διὸς υἱόν, πειθομένωι τε δῶρα ἔσεσθαι ὑπισ-

b) Arrian. *Anab.* 7, 2, 2: οὕτω τοι οὐ πάντηι ἔξω τοῦ ἐπινοεῖν τὰ κρείττω ἦν Ἀλέξανδρος, ἀλλ' ἐκ δόξης γὰρ δεινῶς ἐκρατεῖτο. ἐπεὶ καὶ ἐς Τάξιλα αὐτῶι ἀφικομένωι καὶ ἰδόντι τῶν σοφιστῶν Ἰνδῶν τοὺς γυμνοὺς πόθος ἐγένετο ξυνεῖναί τινά οἱ τῶν ἀνδρῶν τούτων, ὅτι τὴν καρτερίαν αὐτῶν ἐθαύμασε. καὶ ὁ μὲν πρεσβύτατος τῶν σοφιστῶν, ὅτου ὁμιληταὶ οἱ ἄλλοι ἦσαν, Δάνδαμις ὄνομα, οὔτε αὐτὸς ἔφη παρ' Ἀλέξανδρον ἥξειν, οὔτε τοὺς ἄλλους εἶα. (3) ἀλλὰ ὑποκρίνασθαι γὰρ λέγεται, ὡς Διὸς υἱὸς καὶ αὐτὸς εἴη, εἴπερ οὖν καὶ Ἀλέξανδρος, καὶ ὅτι οὔτε δέοιτό του τῶν παρ' Ἀλεξάνδρου· ἔχειν γάρ οἱ εὖ τὰ παρόντα, καὶ ἅμα ὁρᾶν τοὺς ξὺν αὐτῶι πλανωμένους τοσαύτην γῆν καὶ θάλασσαν ἐπ' ἀγαθῶι οὐδενί, μηδὲ πέρας τι αὐτοῖς γινόμενον τῶν πολλῶν πλανῶν. οὔτ' οὖν ποθεῖν τι αὐτός, ὅτου κύριος ἦν Ἀλέξανδρος δοῦναι, οὔτε αὖ

6 καὶ (vor κατὰ) om. ς (Cor u. a.) (e coni.)   θρυλουμένων D θρυλλ- r   7 ἀστειοτέρους: λογιωτέρους F^{mg}m. 1   17 ἐν τοῖς μὲν DFv   22-23 ἄπνους – πολύπνους F   25 κάλλανος DF   28 Μάνδανιν (auch 15, 1, 64 = Onesikritos 134 F 17) ο Δάνδαμις **b**; Plutarch. *Alex.* 8; 65 *Dindimus* Alex. M. et Dind. regis Bragmanorum Coll. p. 169 ff. Kuebler   29 τοῦ om. E

14-15 ‹τῶν› Ἰνδῶν Sintenis [Ἰνδῶν]?   23-24 [καὶ] Ἀλ.?   25 ἔχειν Vulcanius ἔχει A   28 μηδὲ Ellendt μήτε A   31 ἦν: εἴη Krueger

χνουμένων, ἀπειθοῦντι δὲ κόλασιν, μήτ' ἐκεῖνον φαίη Διὸς υἱόν, ὅν γε ἄρχειν μηδὲ πολλοστοῦ μέρους τῆς γῆς, μήτε αὐτῶι δεῖν τῶν παρ' ἐκείνου δωρεῶν, ὧν οὐδεὶς †κόρος, μήτε δὲ ἀπειλῆς εἶναι φόβον, ὧι ζῶντι μὲν ἀρκοῦσα εἴη τροφὸς ἡ 'Ινδική, ἀποθανὼν δὲ ἀπαλλάξαιτο τῆς τετρυχωμένης ἀπὸ γήρως σαρκός, μεταστὰς εἰς βελτίω καὶ καθαρώτερον βίον, ὥστ' ἐπαινέσαι τὸν 'Αλέξανδρον καὶ συγχωρῆσαι.

δεδιέναι, ὅτου κρατοίη ἐκεῖνος, ἔστιν οὗ εἴργεσθαι· (4) ζῶντι μὲν γάρ οἱ τὴν 'Ινδῶν γῆν ἐξαρκεῖν, φέρουσαν τὰ ὡραῖα, ἀποθανόντα δὲ ἀπαλλαγήσεσθαι οὐκ ἐπιεικοῦς ξυνοίκου τοῦ σώματος. οὔκουν οὐδὲ 'Αλέξανδρον ἐπιχειρῆσαι βιάσασθαι, γνόντα ἐλεύθερον ὄντα τὸν ἄνδρα, ἀλλὰ Κάλανον γὰρ ἀναπεισθῆναι τῶν ταύτηι σοφιστῶν, ὅντινα μάλιστα δὴ αὐτοῦ ἀκράτορα Μεγασθένης ἀνέγραψεν αὐτοὺς τοὺς σοφιστὰς λέγειν κακίζοντας τὸν Κάλανον, ὅτι ἀπολιπὼν τὴν παρὰ σφίσιν εὐδαιμονίαν ὁ δὲ δεσπότην ἄλλον ἢ τὸν θεὸν ἐθεράπευε.

716. DAIMACHOS (DEI-) VON PLATAIAI

Nach 297 (293?)

T

1 (II 440) Strabon 2, 1, 9 p. 70 (= Eratosthenes): ἅπαντες μὲν τοίνυν οἱ περὶ τῆς 'Ινδικῆς γράψαντες ὡς ἐπὶ τὸ πολὺ ψευδολόγοι γεγόνασι, καθ' ὑπερβολὴν δὲ Δηίμαχος, τὰ δὲ δεύτερα λέγει Μεγασθένης (715 T 4; 721 F 2) ..... (F 5). ἐπέμφθησαν μὲν γὰρ εἰς τὰ Παλίμβοθρα ὁ μὲν Μεγασθένης πρὸς Σανδρόκοττον, ὁ δὲ Δηίμαχος πρὸς 'Αμιτροχάτην τὸν ἐκείνου υἱὸν κατὰ πρεσβείαν, ὑπομνήματα δὲ τῆς ἀποδημίας κατέλιπον τοιαῦτα, ὑφ' ἧς δή ποτε αἰτίας προαχθέντες.

2 Strabon 2, 1, 19 p. 76: πάλιν δ' ἐκείνου (Eratosthenes p. 178 ff. Be) τὸν Δηίμαχον ἰδιώτην ἐνδείξασθαι βουλομένου καὶ ἄπειρον τῶν τοιούτων .... (F 3)

3 Strabon 2, 1, 4 p. 68/9: von Hipparchos benutzt (712 F 2 § 4)?

---

2 ὅς γε ἄρχει x 3 μήτε Cor μηδὲ o 5 ὧν: ὧι ς κόρος: πόθος? Cor 7 τροφὴ E ἀποθανὼν E -νὸν F -νόντι r 8 ὑπὸ γήρως Cor

1-2 ἔστιν οὗ Krueger ἐς τὸ A

17 Δαίμαχος Harp. (F 1) Athen. (F 4) Δηίμαχος Strab. (T 1-2; F 2) 23 Σανδρόκοττον v ἀνδρόκοτ(τ)ον o διήμαχος C 'Αμιτροχάτην F 6 ἀλλιτροχάδην o 'Αμιτροχάδην (= Bindusāra Amitraghāta) Lassen

F

ΠΕΡΙ ΙΝΔΙΚΗΣ (ΙΝΔΙΚΑ) Α̅ – Β̅ (?)

1 (4) Harpokr. s.v. ἐγγυθήκη· . . . εἴη δ' ἂν σκεῦός τι πρὸς τὸ κρατῆρας ἢ λέβητας ἤ τι τούτων οὐκ ἀλλότριον ἐπικεῖσθαι ἐπιτήδειον [εἶναι], ὡς Καλλίξενός τε ἐν δ̅ Περὶ Ἀλεξανδρείας (627 F 2b) ὑποσημαίνει καὶ Δαίμαχος ὁ Πλαταιεὺς ἐν β̅ Περὶ Ἰνδικῆς.

OHNE BUCHZAHL (BUCHTITEL)

2 (1) **a**) Strabon 15, 1, 12 p. 690 (= Eratosthenes): (Ktesias 688 F 49; Onesikritos 134 F 6; Nearchos 133 F 5) Μεγασθένους (715 F 6c) δὲ καὶ Δηιμάχου μετριασάντων μᾶλλον· ὑπὲρ γὰρ δισμυρίους τιθέασι σταδίους τὸ ἀπὸ τῆς νοτίου θαλάττης ἐπὶ τὸν Καύκασον, Δηίμαχος δ' ὑπὲρ τοὺς τρισμυρίους κατ' ἐνίους τόπους· πρὸς οὓς ἐν τοῖς πρώτοις λόγοις (2, 1, 2 ff. = Patrokles 714 F 2) εἴρηται. **b**) – 2, 1, 14 p. 72: εἰ δὴ τοῦτο (*scil.* die auf 3000 stadien geschätzte breite von Taprobane zuzüglich der entfernung der insel von Indien) προσθείη τις τοῖς τρισμυρίοις, οἷς φησιν ὁ Δηίμαχος μέχρι τῆς εἰς Βακτρίους καὶ Σογδιανοὺς ὑπερθέσεως, ἐκπέσοι ἂν πάντα ταῦτα τὰ ἔθνη (*scil.* nördlich vom Tauros) τῆς οἰκουμένης καὶ τῆς εὐκράτου. **c**) – 2, 1, 17 p. 74: οἱ δέ γε περὶ Δηίμαχον τοῖς τρισμυρίοις ἐὰν προσλάβωσι τὸ ἐπὶ τὴν Ταπροβάνην καὶ τοὺς ὅρους τῆς διακεκαυμένης, οὓς οὐκ ἐλάττους τῶν τετρακισχιλίων θετέον, ἐκτοπιοῦσι τά τε Βάκτρα καὶ τὴν Ἀρίαν κτλ.

3 (2) Strabon 2, 1, 19 p. 76: πάλιν δ' ἐκείνου (*scil.* Ἐρατοσθένους) τὸν Δηίμαχον ἰδιώτην ἐνδείξασθαι βουλομένου καὶ ἄπειρον τῶν τοιούτων – οἴεσθαι γὰρ τὴν Ἰνδικὴν μεταξὺ κεῖσθαι τῆς τε φθινοπωρινῆς ἰσημερίας καὶ τῶν τροπῶν τῶν χειμερινῶν, Μεγασθένει τε ἀντιλέγειν φήσαντι (715 F 7a) ἐν τοῖς νοτίοις μέρεσι τῆς Ἰνδικῆς τάς τε ἄρκτους ἀποκρύπτεσθαι καὶ τὰς σκιὰς ἀντιπίπτειν· μηδέτερον γὰρ τούτων μηδαμοῦ τῆς Ἰνδικῆς συμβαίνειν – ταῦτα δὴ φάσκοντος ἀμαθῶς λέγεσθαι κτλ.

4 (3) Athen. 9, 51 p. 394 E: Δαίμαχος δ' ἐν τοῖς Ἰνδικοῖς ἱστορεῖ περιστερὰς μηλίνας γίνεσθαι ἐν Ἰνδοῖς.

5 (–) Strabon 2, 1, 9 p. 70 (= Eratosthenes): (T 1) διαφερόντως δ' ἀπιστεῖν ἄξιον Δηιμάχῳ τε καὶ Μεγασθένει (715 F 27)· οὗτοι γάρ εἰσιν οἱ τοὺς Ἐνωτοκοίτας καὶ τοὺς Ἀστόμους καὶ Ἄρρινας ἱστοροῦντες, Μονοφθάλμους τε καὶ Μακροσκελεῖς καὶ Ὀπισθοδακτύλους. ἀνεκαίνισαν δὲ καὶ τὴν Ὁμηρικὴν

---

4 [εἶναι] Sauppe   10 (11) διημάχου F   28 δὴ Cas δὲ o   34 ἄρινας B

τῶν Πυγμαίων γερανομαχίαν, τρισπιθάμους εἰπόντες. οὗτοι δὲ καὶ τοὺς χρυσωρύχους μύρμηκας καὶ Πᾶνας σφηνοκεφάλους ὄφεις τε καὶ βοῦς καὶ ἐλάφους σὺν κέρασι καταπίνοντας· περὶ ὧν ἕτερος τὸν ἕτερον ἐλέγχει, ὅπερ καὶ Ἐρατοσθένης φησίν.

ANHANG

6 (–) Athen. 14, 67 p. 652 F: ὡς καὶ Ἀμιτροχάτην τὸν τῶν Ἰνδῶν βασιλέα γράψαι Ἀντιόχωι ἀξιοῦντά φησιν Ἡγήσανδρος (IV), πέμψαι αὐτῶι γλυκὺν καὶ ἰσχάδας καὶ σοφιστὴν ἀγοράσαντα. καὶ τὸν Ἀντίοχον ἀντιγράψαι· «ἰσχάδας μὲν καὶ γλυκὺν ἀποστελοῦμέν σοι, σοφιστὴν δ' ἐν Ἕλλησιν οὐ νόμιμον πωλεῖσθαι».

—. DEMODAMAS VON HALIKARNASS-MILET c. 300/280*

‹ΙΝΔΙΚΑ?›

428 F 2-3.

717. DIONYSIOS 285/47*

T

1 (II 442) **a**) Plin. *N.H.* 6, 58: *etenim patefacta est* (Indien) . . . *et aliis auctoribus Graecis, qui cum regibus Indicis morati, sicut Megasthenes* (715 T 2) *et Dionysius a Philadelpho missus, ex ea causa vires quoque gentium prodidere.* Cf. 721 F 7.

b) Solin. *Coll.* 52, 3: *Megasthenes sane apud Indicos reges aliquantisper moratus res Indicas scripsit, ut fidem, quam oculis subiecerat, memoriae daret. Dionysius quoque, qui et ipse a Philadelpho rege spectator missus est, gratia periclitandae veritatis paria prodidit.*

F

‹INDIKA?›

1 (–) Schol. Apoll. Rhod. 2, 904/10a: ὦκα δὲ Καλλιχόροιο παρὰ προχοὰς ποταμοῖο / ἤλυθον, ἔνθ' ἐνέπουσι Διὸς Νυσήιον υἷα / Ἰνδῶν ἡνίκα φῦλα λιπὼν κατενάσσατο Θήβας / ὀργιάσαι] ποταμὸς Παφλαγονίας ἱερὸς Διονύσου περὶ Ἡράκλειαν, οὗ μέμνηται καὶ Καλλίμαχος (F 600 Pf) . . . οὕτω δὲ κέκληται . . . ἀπὸ τοῦ τὸν Διόνυσον αὐτόθι στῆσαι χορόν, ὅτε ἀπὸ Ἰνδῶν ὑπέστρεφε. τοῦτον δὲ πάλιν Ὀξύνοντα ἐκάλουν. ὅτι δὲ ἐπολέμησεν Ἰνδοὺς ὁ Διόνυσος, Διονύσιός φησι καὶ Ἀριστόδημος ἐν ᾱ Θηβαικῶν

16-17 *conversatus inter r. i. aliqu. moratus* P[1] *conv. aliquantisper* (*aliquantis conv.* A) *inter i. r.* SA 18 *oculi subiecerant*? Mommsen 20-21 *spectatus* G *-tur* N 21 *gratia*: *grecie* A

29 Ὀξ(ε)ίναν (Arrian. *Peripl. Pont. Eux.* 13) Hoelzlin Ὄξυνον Mue 30 κατεπολέμησεν F ἰνδοῖς P Διονύσιος: doch wohl Skytobrachion 32 F 13 (vgl. F 1-5; 9-10; 12?); der verfasser der Βασσαρικά (Schol. 3, 350?) Lobeck, M. Schneider; der Indienfahrer Schwartz (*De Dion. Scyt.* 1880 p. 49 n. 1)

ἐπιγραμμάτων (383 F 1) καὶ Κλείταρχος ἐν ταῖς περὶ Ἀλέξανδρον ἱστορίαις (137 F 17) . . . . .

718. BASILIS

s. II
II (v
130*)

T

1 (IV 346) Agatharch. *De M. Rubr.* 64 (Phot. *Bibl.* 250 p. 454b): τῆς ὅλης οἰκουμένης ἐν τέτταρσι κυκλιζομένης μέρεσιν . . . . τὰ μὲν πρὸς ἑσπέραν ἐξείργασται Λύκος (570) τε καὶ Τίμαιος (566), τὰ δὲ πρὸς ἀνατολὰς Ἑκαταῖός (1) τε καὶ Βάσιλις, τὰ δὲ πρὸς τὰς ἄρκτους Διόφαντος (805 T 1) καὶ Δημήτριος (85), τὰ δὲ πρὸς μεσημβρίαν . . . . ἡμεῖς.

2 Plin. *N.H.* 1, 6: *situs, gentes . . . . ex auctoribus . . . externis Juba rege* (275) *. . . . Alexandro Polyhistore* (273), *Isidoro* (781), *Amometo* (645), *. . . . Onesicrito* (134), *Nearcho* (133), *Megasthene* (715), *Diogneto* (120), *Aristocreonte* (667), *Bione* (668), *Dalione* (666), *Simonide minore* (669), *Basile, Xenophonte Lampsaceno* (*V*).

F

1. ΙΝΔΙΚΑ Ā–?

1 Athen. 9, 43 p. 390 B: Βάσιλις δ' ἐν τῶι δευτέρωι τῶν Ἰνδικῶν «οἱ μικροί» φησίν «ἄνδρες οἱ ταῖς γεράνοις διαπολεμοῦντες πέρδιξιν ὀχήματι χρῶνται».

‹2. ΑΙΘΙΟΠΙΚΑ?›

2 Plin. *N.H.* 6, 183: *simili modo et de mensura eius* (Aethiopiens oder der strecke Syene-Meroe) *varia prodidere primus Dalion ultra Meroen longe subvectus, mox Aristocreon et Bion et Basilis; Simonides minor etiam quinquennio in Meroe moratus, cum de Aethiopia scriberet.*

—. ALEXANDROS POLYHISTOR

c. 80/35

ΙΝΔΙΚΑ

237 F 18.

—. L. ANNAEUS SENECA

c. 31/2

DE SITU INDIAE

644 F 2-3.

---

7 ἑκαταῖος ς (B?) ἀκταῖος A 8 βάσιλις ς (B?) βασιλεύς A 13 daltone F• daldone Ea 22 *Meroen*: *melon* DFR a 23 *bion et* E•p om. r

719. BARDESANES VON EDESSA

154/222?

T

1 (V 2 p. 68) 679 F 12 c. 63.

F

1. <ΙΝΔΙΚΑ?>

218/22

1 Stob. *Flor.* 1, 3, 56: Πορφυρίου ἐκ τοῦ Περὶ Στυγός. (1) Ἰνδοὶ οἱ περὶ τῆς βασιλείας τῆς Ἀντωνίνου τοῦ ἐξ Ἐμισῶν † εἰς τὴν Συρίαν ἀφικομένου† Βαρδισάνηι τῶι ἐκ τῆς Μεσοποταμίας εἰς λόγους ἀφικόμενοι ἐξηγήσαντο, ὡς ὁ Βαρδισάνης ἀνέγραψεν, εἶναί τινα λίμνην ἔτι καὶ νῦν παρ' Ἰνδοῖς δοκιμαστηρίου λεγομένην, εἰς ἣν ἄν τις τῶν Ἰνδῶν αἰτίαν ἔχων τινὸς ἁμαρτίας ἀρνῆται, <εἰσάγεται>. τῶν δὲ Βραχμάνων τινὲς δοκιμάζουσιν αὐτὸν τοῦτον τὸν τρόπον· πυνθάνονται τοῦ ἀνθρώπου, εἰ θέλει διὰ τοῦ ὕδατος γενέσθαι τὴν ἐξέτασιν, καὶ μὴ θέλοντα μὲν ὡς ὑπεύθυνον ἀποπέμπουσι τὴν δίκην ἀποτίσοντα, παραδεχόμενον δὲ τὴν βάσανον εἰσάγουσι μετὰ τῶν κατηγόρων· καταβαίνουσι γὰρ καὶ οὗτοι εἰς τὸ ὕδωρ, δοκιμασθησόμενοι μὴ συκοφαντῶσι. διέρχονται τοίνυν οἱ ἐπιβαίνοντες τοῦ ὕδατος εἰς ἕτερον μέρος τῆς λίμνης· τὸ βάθος δ' ἐστὶν ἄχρι τῶν γονάτων παντὸς ὁτουοῦν εἰς αὐτὴν ἐπιβάντος. ὅταν δ' <ὁ> κατηγορούμενος ἐπιβῆι, ἀναμάρτητος μὲν ὢν ἀδεῶς διέρχεται ἄχρι τῶν γονάτων ἔχων τὸ ὕδωρ, ἁμαρτὼν δὲ ὀλίγον προβὰς βαπτίζεται μέχρι κεφαλῆς· οἱ δὲ Βραχμᾶνες ἀνασπῶντες αὐτὸν ἐκ τοῦ ὕδατος παραδιδόασι τοῖς ἐνάγουσι ζῶντα, καὶ ἀξιοῦσι παιδευθῆναι χωρὶς θανατικῆς καταδίκης. γίγνεσθαι δὲ τοῦτο σπανίως τῶι μηδένα τολμᾶν ἀρνεῖσθαι τὸ ἁμάρτημα διὰ τὸν ἐκ τοῦ ὕδατος γιγνόμενον ἔλεγχον.

(2) ἑκουσίων τοίνυν ἁμαρτημάτων δοκιμαστήριον Ἰνδοὺς τοῦτ' ἔχειν τὸ ὕδωρ, ἀκουσίων δὲ ὁμοῦ καὶ ἑκουσίων καὶ ὅλως ὀρθοῦ βίου ἕτερον εἶναι, περὶ οὗ ὁ Βαρδισάνης τάδε γράφει (θήσω γὰρ τἀκείνου κατὰ λέξιν)· «ἔλεγον δὲ καὶ σπήλαιον εἶναι αὐτόματον μέγα ἐν ὄρει ὑψηλοτάτωι σχεδὸν κατὰ μέσον τῆς γῆς, ἐν ὧι σπηλαίωι ἐστὶν ἀνδριάς, ὃν εἰκάζουσι πηχῶν δέκα ἢ δώδεκα, ἑστὼς ὀρθός, ἔχων τὰς χεῖρας ἡπλωμένας ἐν τύπωι σταυροῦ. καὶ τὸ μὲν δεξιὸν τῆς ὄψεως αὐτοῦ ἐστιν

3: s. Komm. 6 Στυγός Schott στυγοῦς o (= FP) ἰνδοὶ P^{mg} (m. 2) ἰδοῦ P ἰδού F 7 ἀντωνίου P Ἐμίσων Wa(chsmuth) [εἰς τὴν Συρίαν] Mei ἐν τῆι Συρίαι Wa 7-8 [ἀφικομένου] Heeren, Wa εἰς τ. Ῥώμην ἀφικομένου o. εἰς τ. Συρίαν ἀφικόμενοι? 8 (26) l. Βαρδησάνης (F 2 p. 645, 30) 10 δοκιμαστήριον ς (Wa) δοκιμαστηρίαν Mei 11 <εἰσάγεται> Mei 17 ὁτουοῦν Wa ὅτου οὖν o 18 δ' ὁ Mei δὲ o μὲν ὢν Holste μένων o 21 ἐνάγουσι Schott ἀν- o 29 ὑπλωμένας P

ἀνδρικόν, τὸ δ' εὐώνυμον θηλυκόν· ὁμοίως δὲ καὶ ὁ βραχίων ὁ δεξιὸς καὶ ὁ δεξιὸς ποῦς καὶ ὅλον τὸ μέρος ἀρσενικὸν καὶ τὸ εὐώνυμον θηλυκόν, ὡς ἰδόντα τινὰ ἐκπλαγῆναι τὴν σύγκρασιν, * *πῶς ἀδιαιρέτως ἔστιν ἰδεῖν τὴν ἀνομοιότητα * *τῶν δύο πλευρῶν ἐν ἑνὶ σώματι. ἐν τούτωι τῶι ἀνδριάντι λέγουσι γεγλύφθαι περὶ τὸν μαζὸν τὸν δεξιὸν ἥλιον καὶ περὶ τὸν ἀριστερὸν σελήνην, καὶ κατὰ τῶν δύο βραχιόνων * * τέχνηι γεγλύφθαι ἀγγέλων ἀριθμὸν καὶ ὅσα ἐστὶν ἐν τῶι κόσμωι, τουτέστιν οὐρανὸν καὶ ὄρη καὶ θάλασσαν καὶ † ποταμὸν καὶ ὠκεανὸν καὶ φυτὰ καὶ ζῶια καὶ ἁπλῶς ὅσα ἔστι. τοῦτον τὸν ἀνδριάντα φασὶ δεδωκέναι τὸν θεὸν τῶι υἱῶι, ὁπηνίκα τὸν κόσμον ἔκτιζεν, ἵνα θεατὸν ἔχηι παράδειγμα. ἐξήτασα δέ (φησί) ποίας ἐστὶν ὕλης, καὶ διεβεβαιοῦτο ὁ Σανδάλης, ἐμαρτύρουν δὲ αὐτῶι καὶ οἱ ἄλλοι, μηδένα εἰδέναι ποίας ὕλης ἐστὶν ὁ ἀνδριὰς ἐκεῖνος· οὔτε γὰρ χρύσεός ἐστιν οὔτε ἀργύρεος οὔτε χάλκεος οὔτε λίθινος οὔτε ἄλλης ὕλης, ἀλλὰ μᾶλλον παραπλήσιός ἐστι ξύλωι στερροτάτωι καὶ ἀσηπτοτάτωι, μὴ εἶναι δὲ ξύλον. προσετίθεσαν δὲ λέγοντες, ὅτι τῶν βασιλέων τις ἠθέλησεν.ἀφελέσθαι τρίχα ἐκ τῶν περὶ τὸν τράχηλον αὐτοῦ, καὶ αἷμα ῥεῦσαι, καὶ φοβηθῆναι τὸν βασιλέα ἐκεῖνον, ὡς μόλις εὐξαμένων τῶν Βραχμάνων ἀνακτήσασθαι ἑαυτόν. ἐπὶ δὲ τῆι κεφαλῆι τούτου λέγουσι θεοῦ ἄγαλμα εἶναι ὡς ἐπὶ θρόνου τινὸς καθήμενον. λέγουσιν δὲ καὶ ἐν τοῖς καύμασιν ἱδροῦν ὅλον τὸν ἀνδριάντα τοῦτον, καὶ ῥιπίζεσθαι ὑπὸ τῶν Βραχμάνων, καὶ παύεσθαι τοὺς ἱδρῶτας· καὶ εἰ μὴ ῥιπίζοιεν, πολὺν φέρειν ἱδρῶτα, ὡς βρέχεσθαι τὴν περὶ αὐτὸν γῆν. ἐνδοτέρω δὲ αὐτοῦ ἐν τῶι σπηλαίωι μετὰ πολὺ διάστημα εἶναι σκότος, ἔνθα μετὰ λαμπάδων εἰσέρχονται οἱ βουλόμενοι, καὶ εὑρίσκουσι θύραν τινά, ἐξ ἧς θύρας προέρχεται ὕδωρ, καὶ λιμνάζει περὶ τὰ τελευταῖα τοῦ σπηλαίου, καὶ ὡς δοκιμάζοντες

4-5 [πῶς – σώματι] ('lectoris adnotatio')? Wa   4 vor πῶς lücke (9 buchst. F, 3 in P) o ἀδιαίρετον Mei   . . . . . τῶν F <τήνδε> τῶν Usener   6 ἥλιον καὶ om. P[1] δὲ σελήνην P   7 vor τέχνηι lücke (8 buchst. F, 3 in P) o <θαυμαστῆι> τ. Heeren <ταύτῆι> τ. Hense <zauber>kunst Reitzenstein (*Studien zum antiken Synkretismus*, 1926, p. 91)   9 ποταμὸν τὸν ὠκεανὸν Heeren [ποταμὸν καὶ] ('glossem zu ὠκ.') Hense ποταμούς Mei [*meer*] *der strom* ('natürlich der Ganges') Reitzenstein   10 ὅσα F lücke (7 buchst.) P   11 θεατὸν (o. τυτθὸν) Heeren θυτὸν o αἰσθητὸν Mei   12 ἐξήιτασα o. ἐζήτησα v   13 (p. 645, 10) Σανδάλης: Σανδάνης Mei Δάνδαλις Wa cf. F 2 p. 645, 32   15 ἀργύρεος P[c] (m. 1) -ριος P[ac]F   16-17 καὶ ἀσηπτοτάτωι om. P   24 τοῦ ἱδρῶτος Heeren   25 πολὺν ῥέειν Mei τοσόνδε ῥεῖν Wa   28 θύρας FP om. ς

ἑαυτοὺς εἰσέρχονται διὰ τῆς θύρας ἐκείνης. καὶ ὅσοι εἰσὶ καθαροὶ ἀπὸ τῆς φαυλότητος τοῦ βίου εἰσέρχονται ἀνεμποδίστως εὐρυνομένης τῆς θύρας, καὶ εὑρίσκουσι πηγὴν μεγίστην ὕδατος πάνυ διαυγεστάτου καὶ ποτιμωτάτου, ἐξ ἧς τὸ ὕδωρ ἐκεῖνο προέρχεται. οἱ δὲ ἐν καταγνώσει ὄντες πολὺ θλίβουσιν εἰσελθεῖν διὰ τῆς θύρας ἐκείνης, καὶ οὐ δύνανται στενουμένης αὐτῆς· οἵτινες βιαζόμενοι ἐξομολογοῦνται ἐπὶ τῶν ἑτέρων εἴ τι ἥμαρτον, <καὶ> δέησιν ποιοῦνται, ἵνα οἱ λοιποὶ εὔξωνται περὶ αὐτῶν, καὶ νηστεύουσι χρόνον τινὰ ἱκανόν>>. ἐκεῖ φησιν εἰρηκέναι <τοὺς> περὶ τὸν Σανδάλην συνάγεσθαι τοὺς Βραχμᾶνας ἡμέραι μέν τινι τεταγμένηι· ἀλλὰ εἶναι μέν τινας ἐκεῖ ἔχοντας τὴν διατριβήν, τοὺς δὲ ἀλλαχόθεν συνιέναι θέρους ὥραι καὶ περὶ τὸ φθινόπωρον πλεοναζούσης τῆς ὀπώρας ἐπί τε τὴν θέαν τοῦ ἀνδριάντος καὶ ἐπὶ τὸ ἀλλήλοις συμμῖξαι καὶ εἰς τὸ πεῖραν ἑαυτῶν λαβεῖν, εἰ δύνανται εἰσελθεῖν διὰ τῆς εἰρημένης θύρας. <<γίγνεσθαι δὲ ἐκεῖ ζητήσεις λέγουσι περὶ τῆς ἐν τῶι σώματι ἐκείνωι γλυφῆς· οὐδὲ γὰρ ἔστι ῥαιδίως πάσηι τῆι ἀνατυπώσει ἐπιστῆσαι διά τε τὸ πολλὰ εἶναι καὶ διὰ τὸ μὴ πάντα τὰ ζῶια καὶ φυτὰ ἐν πάσηι χώραι ὑπάρχειν>>.

[[(3) ἃ μὲν οὖν Ἰνδοὶ ἱστοροῦσι περὶ τοῦ παρ' αὐτοῖς δοκιμαστηρίου ὕδατός ἐστι ταῦτα. οἶμαι δὲ τούτου καὶ Ἀπολλώνιον τὸν Τυανέα μεμνῆσθαι τοῦ ὕδατος, τοῦ ἐν τῶι σπηλαίωι λέγω· γράφων γὰρ τοῖς Βραχμᾶσιν ὅρκον τινὰ ὀμνύει <<οὐ μὰ τὸ Ταντάλειον ὕδωρ, οὔ με ἐμυήσατε>>. οἶμαι γὰρ Ταντάλειον λέγειν τοῦτο διὰ τὸ ἀεὶ τῆι προσδοκίαι κολάζειν τοὺς ἐπὶ τοῦτο ἐλθεῖν ἐσπουδακότας κἀκ τούτου ποτὸν ἀρύσασθαι.]]

2 (V 2 p. 70) PORPHYR. *De abst.* 4, 17 (HIERONYM. *Adv. Jov.* 2, 14): (1) Ἰνδῶν γὰρ τῆς πολιτείας εἰς πολλὰ νενεμημένης ἔστι τι γένος παρ' αὐτοῖς τὸ τῶν θεοσόφων, οὓς γυμνοσοφιστὰς καλεῖν εἰώθασιν Ἕλληνες. τούτων δὲ δύο αἱρέσεις, ὧν τῆς μὲν Βραχμᾶνες προΐστανται, τῆς δὲ Σαμαναῖοι. ἀλλ' οἱ μὲν Βραχμᾶνες ἐκ γένους διαδέχονται ὥσπερ ἱερατείαν τὴν τοιαύτην θεοσοφίαν, Σαμαναῖοι δὲ λογάδες εἰσὶν κἀκ τῶν βουληθέντων θεοσοφεῖν συμπληρούμενοι. ἔχει δὲ τὰ κατ' αὐτοὺς τοῦτον τὸν τρόπον, ὡς Βαρδησάνης ἀνὴρ Βαβυλώνιος ἐπὶ τῶν πατέρων ἡμῶν γεγονὼς καὶ ἐντυχὼν τοῖς περὶ † Δαδάμανιν πεπεμμένοις Ἰνδοῖς πρὸς τὸν Καίσαρα ἀνέ-

7 αὐτῆς Heeren αὐτοῖς o βιαζόμενοι F . . . . .P 8 <καὶ> Holste om. P . . . . F 9 νηστεύουσι Heeren -ωσι P -σωσι F φησιν Holste φασιν o 10 <τοὺς> P[2] . . . . o ἡμέραι P . . μεραι F 10-11 μέν τινι Wa μέντοι o μὲν τῆι Usener 12 φθινόπωρον FP[mg](m. 2) φθινόμενον P 19-23: zusatz des Porphyrios 21 Ταντάλειον Mei -λιον o 22 ἐμυήσατε F ἐμνήσατε P Ταντάλειον: τάνταλον o Ταντάλου Mei 23 ἐπὶ Mei ὑπὸ o 25 πολλὰ <γένη> o. νενεμημένης <μέρη>? 27 Σαμαναῖοι: Γαρμᾶνες (Γερμᾶνες) Megasthenes 715 F 33 § 59; 60 32 *v.l.* δαδάμαμιν, δαμάδαμιν, δάμαλιν; Σανδάλης F 1 Δάνδαμιν Fabricius, v Καίσαρα: Elagabal s. p. 643, 7

γραψεν. (2) «πάντες γὰρ Βραχμᾶνες ἑνός εἰσι γένους· ἐξ ἑνὸς γὰρ πατρὸς καὶ μιᾶς μητρὸς πάντες κατάγουσιν· Σαμαναῖοι δὲ οὐκ εἰσι τοῦ γένους αὐτῶν, ἀλλ' ἐκ παντὸς τοῦ τῶν Ἰνδῶν ἔθνους, [[ὡς ἔφαμεν]], συνειλεγμένοι. (3) οὔτε δὲ βασιλεύεται Βραχμὰν οὔτε συντελεῖ τι τοῖς ἄλλοις· τούτων δὲ [οἱ φιλόσοφοι] οἱ μὲν ἐν ὄρει οἰκοῦσιν, οἱ δὲ περὶ Γάγγην ποταμόν. σιτοῦνται δὲ οἱ μὲν ὄρειοι τήν τε ὀπώραν καὶ γάλα βόειον βοτάναις παγέν, οἱ δὲ περὶ τὸν Γάγγην ἐκ τῆς ὀπώρας, ἣ πολλὴ περὶ τὸν ποταμὸν γεννᾶται. φέρει δὲ ἡ γῆ σχεδὸν καρπὸν ἀεὶ νέον καὶ μέντοι καὶ τὴν ὄρυζαν πολλήν τε καὶ αὐτόματον, ἧι χρῶνται ὅταν τὸ τῆς ὀπώρας ἐπιλείπηι· τὸ δ' ἄλλου τινὸς ἅψασθαι ἢ ὅλως θιγεῖν ἐμψύχου τροφῆς ἴσον τῆι ἐσχάτηι ἀκαθαρσίαι τε καὶ ἀσεβείαι νενόμισται. καὶ τοῦτο αὐτοῖς τὸ δόγμα † θρησκεύουσί τε τὸ θεῖον καὶ εὐσεβοῦσι περὶ αὐτὸ καθορῶνται † τὸν τοίνυν χρόνον τῆς ἡμέρας καὶ τῆς νυκτὸς τὸν πλεῖστον εἰς ὕμνους τῶν θεῶν ἀπένειμαν καὶ εὐχάς, ἑκάστου ἰδίαν καλύβην ἔχοντος καὶ ὡς ἔνι μάλιστα ἰδιάζοντος· κοινῆι γὰρ Βραχμᾶνες μένειν οὐκ ἀνέχονται οὐδὲ πολλὰ διαλέγεσθαι· ἀλλ' ὅταν τοῦτο συμβῆι, ἀναχωρήσαντες ἐπὶ πολλὰς ἡμέρας οὐ φθέγγονται· πολλάκις δὲ καὶ νηστεύουσιν. (4) Σαμαναῖοι δὲ εἰσὶ μὲν [[ὡς ἔφαμεν]] λογάδες· ὅταν δὲ μέλληι εἰς τὸ τάγμα τις ἐγγράφεσθαι [ἄρχεσθαι], πρόσεισι τοῖς ἄρχουσι τῆς πόλεως, ὅπου [δ'] ἂν τύχηι [τῆς πόλεως], ἢ τῆς κώμης, καὶ τῶν κτημάτων ἐξίσταται <καὶ> πάσης τῆς ἄλλης οὐσίας, ξυράμενος δὲ τοῦ σώματος τὰ περιττὰ λαμβάνει στολήν, ἄπεισί τε πρὸς Σαμαναίους, οὔτε πρὸς γυναῖκα οὔτε πρὸς τέκνα (εἰ τύχοι κεκτημένος) ἐπιστροφὴν ἢ τινα λόγον ἔτι ποιούμενος ἢ πρὸς αὐτὸν ὅλως νομίζων. καὶ τῶν μὲν τέκνων ὁ βασιλεὺς κήδεται, ὅπως ἔχωσι τὰ ἀναγκαῖα, τῆς δὲ γυναικὸς οἱ οἰκεῖοι. ὁ δὲ βίος τοῖς Σαμαναίοις ἐστὶ τοιοῦτος· ἔξω τῆς πόλεως διατρίβουσι, διημερεύοντες ἐν τοῖς περὶ τοῦ θείου λόγοις, ἔχουσι δὲ οἴκους καὶ τεμένη ὑπὸ τοῦ βασιλέως οἰκοδομηθέντα, ἐν οἷς οἰκονόμοι εἰσίν, ἀπότακτόν τι λαμβάνοντες παρὰ τοῦ βασιλέως εἰς τροφὴν τῶν συνιόντων. ἡ δὲ παρασκευὴ γίνεται

3 τοῦ αὐτοῦ γένους He, Nauck   4 (20) [[ ]] zusatz des Porphyrios (p. 645, 19 ff.)   5 [οἱ φιλ.] Nauck τῶν φιλοσόφων Rei   11 ἐπιλίπηι? Nauck   12 v.l. καὶ τῆι ἐσχάτηι   13-14 * * καθορῶνται Rei καθορᾶται Valentin δόγμα. θρησκεύουσι δὲ – εὐσεβοῦντες – καθορῶνται·?   21 [ἄρχεσθαι] Valentin   22 [δ'] – [τῆς πόλεως] Nauck   23 ἐξίσταται Rei -ανται o   <καὶ> Langlois πάσης <τε> Abresch   27 αὐτὸν Rei αὐτὸν o   νομίζων <εἶναι> Rei

ὀρύζης καὶ ἄρτων καὶ ὀπώρας καὶ λαχάνων. καὶ εἰσελθόντων εἰς τὸν οἶκον ὑπὸ σημαίνοντι κώδωνι, οἱ μὴ Σαμαναῖοι ἐξίασιν, οἱ δὲ προσεύχονται· εὐξαμένων δὲ πάλιν διακωδωνίζει, καὶ οἱ ὑπηρέται ἑκάστωι τρυβλίον δόντες (δύο γὰρ ἐκ ταὐτοῦ οὐκ ἐσθίουσιν) τρέφουσιν αὐτοὺς τῆι ὀρύζηι, τῶι δὲ δεομένωι ποικιλίας προστίθεται [τὸ] λάχανον ἢ τῆς ὀπώρας τι· τραφέντες δὲ συντόμως ἐπὶ τὰς αὐτὰς διατριβὰς ἐξίασιν. (5) ἀγύναιοι δ' εἰσὶ πάντες καὶ ἀκτήμονες, καὶ τοσοῦτον αὐτῶν τε καὶ τῶν Βραχμάνων σέβας ἔχουσιν οἱ ἄλλοι, ὥστε καὶ τὸν βασιλέα ἀφικνεῖσθαι παρ' αὐτούς, καὶ ἱκετεύειν εὔξασθαι τε καὶ δεηθῆναι ὑπὲρ τῶν καταλαμβανόντων τὴν χώραν ἢ συμβουλεῦσαι τὸ πρακτέον.

(18) αὐτοὶ δὲ οὕτω πρὸς θάνατον διάκεινται, ὡς τὸν μὲν τοῦ ζῆν χρόνον ὥσπερ ἀναγκαίαν τινὰ τῆι φύσει λειτουργίαν ἀκουσίως ὑπομένειν, σπεύδειν δὲ τὰς ψυχὰς ἀπολῦσαι τῶν σωμάτων. καὶ πολλάκις ὅταν εὖ ἔχειν σκέψωνται, μηδενὸς αὐτοὺς ἐπείγοντος κακοῦ μηδὲ ἐξελαύνοντος, ἐξίασι τοῦ βίου, προειπόντες μέντοι τοῖς ἄλλοις· καὶ ἔστιν οὐδεὶς ὁ κωλύσων, ἀλλὰ πάντες αὐτοὺς εὐδαιμονίζοντες πρὸς τοὺς οἰκείους [τῶν τεθνηκότων] ἐπισκήπτουσί τινα· οὕτως βεβαίαν καὶ ἀληθεστάτην αὐτοί τε καὶ οἱ πολλοὶ ταῖς ψυχαῖς τὴν μετ' ἀλλήλων εἶναι δίαιταν πεπιστεύκασιν. οἳ δ' ἐπειδὰν ὑπακούσωσι τῶν ἐντεταλμένων αὐτοῖς, πυρὶ τὸ σῶμα παραδόντες, ὅπως δὴ καθαρωτάτην ἀποκρίνωσι τοῦ σώματος τὴν ψυχήν, ὑμνούμενοι τελευτῶσιν· ῥᾶιον γὰρ ἐκείνους εἰς τὸν θάνατον οἱ φίλτατοι ἀποπέμπουσιν ἢ τῶν ἄλλων ἀνθρώπων ἕκαστοι τοὺς πολίτας εἰς μηκίστας (?) ἀποδημίας, καὶ σφᾶς μὲν αὐτοὺς δακρύουσιν ἐν τῶι ζῆν διαμείναντας, ἐκείνους δὲ μακαρίζουσιν τὴν ἀθάνατον λῆξιν ἀπολαμβάνοντας>>.

1-2 εἴς τινα οἶκον? 2 ὑπὸ σημαίνοντι Abresch ὑποσημαίνοντι O οἱ <μὲν> μὴ Rei 3 διακωδωνίζει Rei -ζειν O 5 τρέφουσιν Rei τρέφοντες O 6 [τὸ] He 7 αὐτάς: αὐτῶν Nauck 8-9 [τε καὶ τῶν Βραχμάνων] zusatz des Porphyrios? 9-11 *cum rex ad eos venerit, adorare illos solitus sit, pacemque suae provinciae in illorum precibus arbitrari sitam* Hier 10 τε Nauck τι O 11 *v.l.* ἢ om. Ald τί πρακτέον? 15 σκήψωνται Valentin 16 [μηδὲ ἐξελ.] Felicianus 18 [τῶν τεθν.] Jac τοὺς τεθνηκότας Nauck 21 ἐπακούσωσι Nauck 25 <μὴ> μηκίστας Felicianus 26-27 διαμένοντας He 28: hier schliest das excerpt aus B.; was folgt ist Porphyrios

ANHANG

2. BUCH DER GESETZE DER LAENDER (ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ) nach 19

3 (V 2 p. 73) a) Syr. Text c. 16:

homines quidem non ita agunt (wie die tiere, die gemäss ihrer natur leben), *sed in operationibus corporum suorum naturam servant sicut animalia, in operationibus mentis vero quidquid volunt agunt, tamquam libertate et imperio praediti et tamquam dei imago.*

sunt enim ex eis qui carnem manducant et ad panem non appropinquant; et sunt qui distinguunt alimenta carnis; et sunt ex eis qui carnem animalis, anima in quo est, non manducant. sunt ex eis qui se coniungunt cum suis matribus et cum suis sororibus et cum suis filiis; et sunt

b) Euseb. *P.E.* 6,9, 32: .... ὥρα καὶ τῶν ἐξ ἀστρολογίας πρὸς τοὺς Χαλδαΐζοντας τῶν τὴν κακότεχνον ταύτην γοητείαν ὡς ἐν μέρει μαθήματος ἐπαγγελλομένων τοὺς λόγους ἐπισκέψασθαι. παραθήσομαι δέ σοι καὶ τῶνδε τὰς ἀποδείξεις ἐξ ἀνδρὸς Σύρου μὲν τὸ γένος, ἐπ' ἄκρον δὲ τῆς Χαλδαικῆς ἐπιστήμης ἐληλακότος. Βαρδησάνης ὄνομα τῶι ἀνδρί, ὃς ἐν τοῖς Πρὸς τοὺς ἑταίρους διαλόγοις τάδε πη μνημονεύεται φάναι.

(10) ..... (4) ... ὅτι τὰ μὲν ἄλλα ζῶια κατὰ τὴν κοινότητα καὶ τὴν διαφορὰν κατὰ φύσιν δοθεῖσαν ἑκάστωι ἐξ ἀνάγκης ἡδέως φέρεται, (5) ἄνθρωποι δὲ μόνοι, τὸ ἐξαίρετον ἔχοντες τόν τε νοῦν καὶ τὸν ἐκ τούτου προφερόμενον λόγον, κατὰ μὲν τὴν κοινότητα ἕπονται τῆι φύσει, ὡς προεῖπον, κατὰ δὲ τὸ ἐξαίρετον οὐ κατὰ φύσιν πολιτεύονται. (6) οὐδὲ γὰρ μία βρῶσις ἡ τῶν ἁπάντων .... οὐχ ἔθος ἕν, οὐχ εἷς νόμος πολιτείας ἐν αὐτοῖς, οὐ μία κίνησις ἐπιθυμίας τῶν πραγμάτων, ἀλλ' ἕκαστος τῶν ἀνθρώπων κατὰ τὴν ἰδίαν θέλησιν αἱρεῖται ἑαυτῶι βίον, τὸν πλησίον μὴ μιμούμενος, πλὴν ἐν οἷς βούλεται ....

(8) πόσοι τῶν ἀνθρώπων, καὶ μάλιστα τῶν Ἀλαναίων, ὡς τὰ ἄγρια ζῶια κρεοβοροῦσιν, ἄρτου μὴ γευόμενοι, καὶ οὐ διὰ τὸ μὴ ἔχειν ἀλλὰ διὰ τὸ μὴ θέλειν· ἄλλοι κρεῶν οὐ γεύονται, ὡς τὰ ἥμερα ζῶια· ἄλλοι

---

3 Cod. Mus. Brit. Add. 14658 nach der übertragung von Nau (-Nöldeke) *Patrol. Syr.* 12, 1907, p. 536 ff. (s. auch *Eusebius Werke* VIII 1 ed. Mras, 1954, p. 335 und Kommentar) 33 *quo*: *qua* Nau

4 τῶν: τὴν B 11-12 βαρδησάνης I -ισάνης BO 12-13 πρὸς τοὺς ἐν τοῖς O 13-14 τάδε πη B τάδ' ἔπη IO 23 γὰρ om. I 25 ἐν αὐτοῖς om. I 31-32 κρέα τρεφόμενοι I κρεωβοροῦσιν O κρεοβωροῦσιν B 32 μὴ γευόμενοι Vigier μὴ γευόμενα BO οὐ γεύονται I 32 καὶ I om. BO 33-34 κρεῶν οὐ γεύονται I οὐχ οὕτως B δ' οὐχ οὕτως, ἀλλ' O

qui ad feminam ipsimet non appropinquant. sunt qui ulciscuntur sicut leones et sicut tigres; et sunt qui sicut scorpiones nocent eis, qui ipsis nihil fecerunt; et sunt qui trahuntur sicut oves et eorum ducibus non nocent. sunt qui secundum bonitatem trahuntur, alii vero secundum iustitiam, alii autem secundum malitiam ..... (17) *quaenam est ergo natura hominis?* .....

ἰχθυοφαγοῦσι μόνον· ἕτεροι δὲ ἰχθύων οὐ γεύονται, οὐδ' ἂν λιμώσσωσιν. οἱ μὲν ὑδροποτοῦσιν, οἱ δὲ οἰνοποτοῦσιν, οἱ δὲ σίκερα πίνουσι. καὶ ἁπλῶς πολλὴ διαφορὰ βρωμάτων καὶ πομάτων ἐν τῆι ἀνθρωπότητι, μέχρι καὶ ἐν τῆι τῶν λαχάνων καὶ ὀπωρῶν βρώσει διαφερόμενοι. (9) ἀλλὰ καὶ οἱ μὲν ὡς σκορπίοι καὶ ὡς ἀσπίδες μὴ ἀδικηθέντες ἀδικοῦσιν· οἱ δὲ ὡς τὰ ἄλλα ζῶια ἀδικούμενοι ἀμύνονται· ἕτεροι δὲ ὡς λύκοι ἁρπάζουσι, καὶ ὡς γαλαῖ κλέπτουσιν· ἄλλοι δὲ ὡς ἀμνάδες καὶ μηκάδες ὑπὸ τῶν ὁμοιοπαθῶν ἐλαύνονται, καὶ τοὺς ἀδικοῦντας οὐκ ἀδικοῦσι. καὶ οἱ μὲν λέγονται ἀγαθοί, οἱ δὲ κακοί, οἱ δὲ δίκαιοι. (10) ὅθεν ἔστι νοεῖν μὴ πάντως κατὰ φύσιν ἄγεσθαι τὸν ἄνθρωπον – ποίαν γὰρ αὐτοῦ ἐροῦμεν φύσιν; – ἀλλὰ πῆι μὲν φέρεται κατὰ φύσιν, πῆι δὲ κατὰ προαίρεσιν ....».

(25) .... *Bardesanes inquit: legistine libros Chaldaeorum Babylonis, in quibus describitur quid faciant stellae cum coniunctionibus suis in horoscopio hominum, et libros Aegyptiorum, in quibus describitur quidquid hominibus accidere potest?* .... *audi ergo et intellige non simili modo, quidquid decernunt stellae in fato et in partibus eorum agere homines, qui sunt super terram. posuerunt enim homines leges in quacumque regione secundum illam libertatem, quae a Deo eis data est* .... *incipiam dicere quantum memini, incipiens ab oriente, qui est caput totius mundi.*

(11) καὶ ἑξῆς φησι· «νόμους ἔθεντο διαφόρους οἱ ἄνθρωποι ἐν ἑκάστηι χώραι, τινὰς γεγραμμένους, τινὰς δὲ ἀγράφους, ἐξ ὧν διηγήσομαι, ὡς οἶδα καὶ ὧν μέμνημαι, ἀρξάμενος ἐκ τῆς τοῦ κόσμου ἀρχῆς.

(26) *sunt leges SERIBUS, ne occidant*

(12) νόμος ἐστὶ παρὰ ΣΗΡΑΙΣ μηδένα

1-2 ἕτεροι – γεύονται I ἕτεροι οὐδὲ τοῦτο BO 2-3 οἱ μὲν ὑδρ. om. BO 3-4 σίκερα πίνουσι I σικερατίζουσι BO 5 τε καὶ O 6 τῶν om. O 8 ὡς I ὡσεὶ BO 9 ἄλλα o ἄλογα Steph 23 *sive scriptura sive etiam usu durantes, quas nemo facile transgreditur* Clem (= Ps. Clemens *Recogn.* 9, 19 f.) 36 ff.: überschüsse einer der fassungen sind durch unterstreichen gekennzeichnet 36 *Seres, qui initio orbis terrae habitant* Clem οἱ τὸ ἄκρον τοῦ χέρσου οἰκοῦντες Kais (= Kaisarios Πεύσεις καὶ ἀποκρίσεις Migne *Patr. Gr.* 38) οἱ τ. ἄ. τῆς γῆς οἰκ. Ge (= Georgios Hamartolos *A.O.* IV p. 236 f.)

nec scortum faciant nec idolis serviant. et in tota regione Serum idola non sunt nec meretrices, nec est qui occidat aut occidatur, etsi etiam quacumque die et quacumque hora nascantur; et non impedit libertatem Serum Mars terribilis, etsi positus sit in medio caeli, ita ut vir occurrat socio suo cum gladio ferri; et non cogit Venus in coniunctione cum Marte ullum e Seribus, ut coinquinetur cum muliere socii sui aut cum alia muliere.

(27) *ita apud* INDOS *sunt leges Brahminarum, qui sunt milia et myriades, ne occisionem committant, et idola ne adorent, et scortum ne faciant, et ne carnem manducent, et vinum ne bibant; et inter eos nulla ex eis fiunt, et milia annorum sunt, ex quo illi homines hac lege, quam sibi posuerunt, ducuntur.* (28) *est alia lex in India et in eodem climate, quae pertinet ad eos qui non sunt e tribu Brahminarum et doctrinam eorum non servant, ut idolis serviant et scortentur et occidant et committant alia horrenda, quae Brahminis displicent. et in eodem climate Indiae sunt homines, qui solent carnem hominum manducare .....*

φονεύειν μήτε πορνεύειν μήτε κλέπτειν μήτε ξόανα προσκυνεῖν, καὶ ἐν ἐκείνηι τῆι μεγίστηι χώραι οὐ ναὸν ἔστιν ἰδεῖν, οὐ γυναῖκα πορνικήν, οὐ μοιχαλίδα ὀνομαζομένην, οὐ κλέπτην ἑλκόμενον ἐπὶ δίκην, οὐχ ἀνδροφόνον, οὐ πεφονευμένον. (13) οὐδενὸς γὰρ τὸ αὐτεξούσιον ἠνάγκασεν ὁ τοῦ πυριλαμπέος Ἄρεος ἀστὴρ μεσουρανῶν ἄνδρα σιδήρωι ἀνελεῖν, οὐ Κύπρις σὺν Ἄρει τυχοῦσα ἀλλοτρίαι γυναικὶ μιγῆναί τινα παρ' ἐκείνοις, πάντως πάσηι ἡμέραι μεσουρανοῦντος τοῦ Ἄρεος, καὶ πάσηι ὥραι καὶ ἡμέραι γεννωμένων τῶν Σηρῶν.

(14) παρὰ ΙΝΔΟΙΣ καὶ ΒΑΚΤΡΟΙΣ εἰσὶ χιλιάδες πολλαὶ τῶν λεγομένων Βραχμάνων, οἵτινες κατὰ παράδοσιν τῶν προγόνων καὶ νόμων οὔτε φονεύουσιν οὔτε ξόανα σέβονται, οὐχ ἐμψύχου γεύονται, οὐ μεθύσκονταί ποτε, οἴνου καὶ σίκερος μὴ γευόμενοι, οὐ κακίαι τινὶ κοινωνοῦσι, προσέχοντες τῶι θεῶι, τῶν ἄλλων Ἰνδῶν φονευόντων καὶ ἑταιρευόντων καὶ μεθυσκομένων καὶ σεβομένων ξόανα, καὶ πάντα σχεδὸν καθ' εἱμαρμένην φερομένων. (15) ἔστι δ' ἐν τῶι αὐτῶι κλίματι τῆς Ἰνδίας φυλή τις Ἰνδῶν, οἵτινες τοὺς ἐμπίπτοντας ξένους ἀγρεύοντες καὶ θύοντες ἐσθίουσι .....

4-11: die astrologischen stücke sind im folgenden fortgelassen 11 *alia*: *aliena*? cf. ἀλλοτρίαι **b** *alienum matrimonium* Clem

1 ἢ κλέπτειν ἢ λοιδορεῖν Ge 4 πορνικήν BO πρακτικήν I 7 γὰρ om. I 8 πυριλαμπέως B 9 ἀνελῆ I 14 *apud Bactros in regionibus Indorum* Clem παρὰ Βακτριανοῖς ἤτοι Βραγμανοῖς Kais παρὰ Βακτριανοῖς ἤτοι Βραχμάνες καὶ Γνησιῶτες Ge; cf. p. 652 b 10 16 οἵτινες I οἱ BO 19 (a 18) καὶ σίκερος (s. p. 649 b 3/4) ἢ οἰνοποτεῖν ἢ λαγνεύειν Ge 25-28 ἐν δὲ τοῖς ἐσωτέροις μέρεσι τούτων ἀνθρωποβοροῦντες μάλιστα καὶ κατεσθίοντες ἀλλήλους ὡς οἱ κύνες Ge 21 τῶι om. BO 25 αὐτοῦ B 26 οἵτινες I οἱ BO 27 καὶ τούτους I

(29) *pariter PERSAE sibi leges posuerunt, ut uxores sumerent et sorores et filias et filias filiarum; addunt aliqui, ut ducerent etiam matres suas. aliqui ex his Persis dispersi fuerunt et vixerunt in Media et in Aderbidian et in Parthia et in Aegypto et in Phrygia, et magi vocantur; in quacumque regione ... secundum hanc legem, quae posita est eorum patribus, reguntur.*

multae sunt regiones in regno PARTHORUM, ubi homines occidunt uxores suas et fratres et filios, et poenas nullas accipiunt, dum apud Romanos et Graecos, qui occidit unum ex illis, poenam maximam vindictae subiit.

(30) *apud GELAS mulieres metunt, seminant, aedificant, faciunt omnia opera artificum; ac vestibus coloratis non vestiuntur, calceamenta non sumunt, suavibus odoribus non utuntur. at nemo est qui eas reprehendat, dum scortantur cum extraneis aut dum coniunguntur cum servis suarum domorum. viri autem Gelae vestibus coloratis induti sunt, auro et gemmis ornantur, suavibus odoribus ungun-*

(16) παρὰ ΠΕΡΣΑΙΣ νόμος ἦν γαμεῖν τὰς θυγατέρας καὶ τὰς ἀδελφὰς καὶ τὰς μητέρας· καὶ οὐ μόνον ἐν τῆι χώραι ἐκείνηι καὶ ἐν ἐκείνωι τῶι κλίματι τούτους τοὺς ἀνοσίους γάμους οἱ Πέρσαι ἐποίησαν, ἀλλὰ καὶ ὅσοι αὐτῶν τῆς Περσίδος ἐξεδήμησαν, οἵτινες καλοῦνται Μαγουσαῖοι, τὴν αὐτὴν ἀθεμιστίαν διαπράσσονται, παραδιδόντες τοὺς αὐτοὺς νόμους καὶ τὰ ἔθη τοῖς τέκνοις κατὰ διαδοχήν.

(17) ἐξ ὧν εἰσι μέχρι νῦν πολλοὶ ἐν Μηδίαι καὶ ἐν Αἰγύπτωι καὶ ἐν Φρυγίαι καὶ ἐν Γαλατίαι .... s. p. 653 b 1 ff.

(18) παρὰ ΓΗΛΟΙΣ νόμος ἐστὶ τὰς γυναῖκας γεωργεῖν καὶ οἰκοδομεῖν καὶ πάντα τὰ ἐργατικὰ πράσσειν καὶ κοινωνεῖν οἷς ἂν βούλωνται, καὶ μὴ ἐγκαλεῖσθαι ὑπὸ τῶν ἀνδρῶν, μήτε καλεῖσθαί τινα μοιχαλίδα τῶι πάσας ἐργατικὰς εἶναι καὶ πᾶσι

1 Πέρσαις: Χαλδαίοις τε καὶ Βαβυλωνίοις Kais Ge 4 ἐκείνηι om. BO ἐν – κλίματι I τῶι κλ. ἐκ. BO τούτους om. BO 5 γάμους om. B 7 οἵτινες I οἱ BO 9 τοὺς – καὶ om. BO τὰ αὐτὰ BO 12 ἐν (vor Αἰγ.) om. BO 12-13 ἀλλὰ καὶ ἐν Φρυγίαι I ἐν Μήδοις καὶ Πάρθοις καὶ Ἐλαμίταις καὶ Αἰγυπτίοις, ἐν Φρυξὶ καὶ Γαλάταις Kais *alii in Media, alii in Parthia, sed et in Aegypto nonnulli, plures autem in Galatia et Phrygia* Clem 13 ἐν (vor Γαλ.) om. BO 17 παρὰ Γήλοις (περὶ I) Eus Clem παρὰ Γήλαις a Kais περαγιλαίοις Ge 19 πάντα τὰ ἐργ. πράσσειν: *omne opus virile* (τὰ τῶν ἀνδρῶν ἔργα) Clem Kais Ge 19-20 κοινωνεῖν (πορνεύειν Ge) οἷς ἂν βούλωνται τῶν ἐπηλύδων (τ. ἐπ. om. Ge) Kais 22 τῶι: τῶν O

tur. non autem quia effeminati sunt, ita agunt, sed propter legem quae eis posita est; et omnes homines venationem diligunt et bellum agunt .....

(31) apud *BACTRIANOS, qui CUSCIANI vocantur, ornantur mulieres pulchris hominum vestibus et auro multo et gemmis pretiosis, et serviunt eis servi et servae plus quam maritis. ipsae in iumentis equitant, et ornantur vestibus aureis et gemmis pretiosis. at illae mulieres honestatem non servant, sed coinquinantur cum servis suis et cum extraneis, qui in haec loca veniunt; mariti autem eas non obiurgant, nec timor est eis, quia sicut dominas Cusciani uxores suas habent* .....

(32) apud *RACAMOS, EDESSEÑOS, ARABAS non tantum illa quae moechatur occiditur, sed etiam ea cui nomen infertur adulterae poenam accipit*. s. p. 651 a 11/6.

κοινωνεῖν, μάλιστα δὲ τοῖς ξένοις. (19) καὶ οὔτε μυρίζονται Γήλισσαι γυναῖκες οὔθ' ἱμάτια βαπτὰ φοροῦσιν, ἀνυπόδετοι δέ εἰσι πᾶσαι, καίτοι τῶν Γήλων ἀνδρῶν κοσμουμένων ἐν φορήμασι μαλακοῖς καὶ διαφόροις χρώμασι, καὶ χρυσοφορούντων καὶ μυριζομένων· καὶ οὐ κατά τινα ἄλλην μαλακίαν· εἰσὶ γὰρ ἀνδρεῖοι καὶ πολεμικώτατοι καὶ κυνηγετικώτατοι. (20) ....

(21) παρὰ ΒΑΚΤΡΟΙΣ αἱ γυναῖκες παντὶ κόσμωι διαφέροντι καὶ παντὶ μύρωι χρῶνται, ὑπηρετούμεναι ὑπὸ παιδίσκων καὶ νεανίσκων μᾶλλον ἢ οἱ ἄνδρες, προερχόμεναι μετὰ πολλῆς φαντασίας ἔφιπποι, κοσμοῦσαι πολλῶι χρυσῶι καὶ λίθοις βαρυτίμοις τοὺς ἵππους. καὶ οὐ σωφρονοῦσιν, ἀλλ' ἀδιαφόρως κοινωνοῦσι τοῖς δούλοις καὶ τοῖς ξένοις, ἄδειαν ἔχουσαι τοιαύτην, καὶ ὑπὸ τῶν ἀνδρῶν μὴ ἐγκαλούμεναι σχεδὸν κυριεύουσιν αὐτῶν .....

(22) ἐν τῆι ΑΡΑΒΙΑΙ δὲ καὶ ἐν τῆι 'ΟΣΡΟΗΝΗΙ οὐ μόνον αἱ μοιχαλίδες φονεύονται, ἀλλὰ καὶ αἱ ὑποπτευόμεναι οὐχ ἀφίενται ἀτιμώρητοι.

10-11 *Cusciani*: cf. 653 a 15/6 *ornantur*: scil. *iumenta* (b)

1-9 αἳ ὑπάρχουσαι καὶ πολεμικώταται (ὑπάρχουσι δ' ἐν αὐταῖς καὶ πολεμικώταται † καὶ ἀνθοβάφωι Kais) καὶ θηρῶσαι τὰ μὴ λίαν ἰσχυρώτατα (ἰσχυρὰ Kais) τῶν θηρίων· ἄρχουσι δὲ καὶ τῶν ἰδίων ἀνδρῶν καὶ κυριεύουσιν (ἄρχ. – κυρ. steht bei Kais richtig am schluss des nächsten §, der bei Ge übersprungen ist und in den vielleicht dieses stück ganz gehört) 2 μερίζονται O 3 οὔθ' Ddf οὐχ o ἀνυπόδετοι BI -ητοι O 4 γηλίων O 5-6 *indumentis mollibus et variis* Clem ἐσθῆτι μαλακῆι περιβολῆι Kais 6 ἐν διαφόροις I 10 Βάκτροις (cf. p. 650 b 14): ἐν δὲ Σούσοις τῆς Βαβυλῶνος Kais *in Susis* Clem 11 διαφέρων τὲ O διαφέρονται? 15 πολλῶι χρυσῶι BO χρ. π. I 17 ἀλλὰ διαφόρως I 22 δὲ u. ἐν om. BO 23 ὀσροινῆι BO

(33) *posita est lex in HATRA, ut omnis scilicet qui aliquid furatus est, parvi licet pretii, reus sit lapidationis; apud CUSCIANOS illius, qui tale furtum commisit, inspuunt in faciem; apud ROMANOS is qui committit aliquod parvum furtum flagellatur et in exilium mittitur.*

(34) *ab Euphrate usque ad orientem ille qui contumeliose laeditur sive ut latro sive ut occisor non multum irascitur; sed si cui conviciatus fuerit ut dormienti cum masculis, ulciscitur usque ad occisionem.* [* * *] *iterum in omni regione orientis illi qui convicio accepti fuerunt et cognoscuntur, a patribus et fratribus suis occiduntur. quinimo sepulchrum illis non agnoscunt.* [*leges Orientalium*].

(35) *apud septentrionem vero et in re-*

(23) παρὰ ΠΑΡΘΟΙΣ καὶ ΑΡΜΕΝΙΟΙΣ οἱ φονεῖς ἀναιροῦνται ποτὲ μὲν ὑπὸ τῶν δικαστῶν, ποτὲ δὲ ὑπὸ τῶν καθ' αἷμα τῶν φονευθέντων. καὶ ἐάν τις φονεύσηι γυναῖκα αὐτοῦ ἢ ἀδελφὸν ἄτεκνον ἢ ἀδελφὴν ἄγαμον ἢ υἱὸν ἢ θυγατέρα, οὐκ ἐγκαλεῖται ὑπό του, νόμου τοιούτου ὑπάρχοντος ἐν ταῖς χώραις ἐκείναις. παρ' ΕΛΛΗΣΙ δὲ καὶ ΡΩΜΑΙΟΙΣ μείζονι τιμωρίαι ὑποβάλλονται οἱ τῶν οἰκείων καὶ συγγενῶν φονευταί.

(24) ἐν ΑΤΡΟΙΣ ὁ κλέπτων τι ἄξιον ὀβολοῦ λιθάζεται· παρὰ ΒΑΚΤΡΟΙΣ ὁ ὀλίγα κλέπτων ἐμπτύεται· παρὰ ΡΩΜΑΙΟΙΣ πληγαῖς παιδεύεται. τοιοῦτοι γὰρ οἱ νόμοι.

(25) ἀπὸ Εὐφράτου ποταμοῦ καὶ μέχρι τοῦ ὠκεανοῦ ὡς ἐπὶ ἀνατολὰς ὁ λοιδορούμενος ὡς φονεὺς ἢ ὡς κλέπτης οὐ πάνυ ἀγανακτεῖ, ὁ δὲ ὡς ἀρσενοκοίτης λοιδορούμενος ἑαυτὸν ἐκδικεῖ μέχρι καὶ φόνου. [παρ' Ἕλλησι οἱ σοφοὶ ἐρωμένους ἔχοντες οὐ ψέγονται]. (26) ἐν τῆι αὐτῆι ἀνατολῆι ὑβριζόμενοι ἐὰν γνωσθῶσιν, ὑπὸ ἀδελφῶν ἢ πατέρων καὶ συγγενῶν φονεύονται, καὶ ταφῆς προδήλου οὐκ ἀξιοῦνται.

(27) παρὰ δὲ ΓΑΛΛΟΙΣ οἱ νέοι γα-

13-14 *parvi pretii*: 'wörtlich *dem wasser gleich*' Merx 14-15 *Cuscianos*: s. p. 652 a 10/1 24 * * * Nau * * *boys* * *and are not* * * Cureton ..... *bei .... knaben .... uns und nicht wird ge** ('in der rasur stand nichts von hellenischer paederastie; der schreiber war zu früh auf § 35 übergesprungen') Merx 25 *convicio*: scil. *ut dormiens cum masculis* 28 [ ] Langlois; nicht subscriptio des ersten abschnitts (*die gesetze der Orientalen* <*sind zu ende*> Merx) *quinimo leges Orientalium* Nau

2 οἱ: οὐ I 3 ὑπὸ τοῦ B ὑπό τινος O. ὑπό του (lin. 7)? καθ' αἷμα BO συγγενῶν I 4 φονευομένων I 6 οὐχ BO οὐδ' I 7 του BO τινος I 9-10 παραβάλλονται I 10 οἰκείων καὶ om. BO 15 παιδεύεται I αἰκίζεται BO 19 ἐφράτου BO 24-25 παρ' – ψέγονται om. Clem Kais; zusatz Eusebs? <δὲ καὶ> οἱ σοφοὶ Vigier 26 ὑβριζόμενοι: οἱ ἀρρενοφθοροῦντες οἱ παρὰ Χριστιανοῖς Kais ἐὰν I ἂν BO 27 καὶ (*l.* ἢ) συγγενῶν: *vel quibuslibet aliis* Clem ὑπὸ τῶν ὁμαίμων (für ὑπὸ – συγγενῶν) Kais

gione GERMANORUM et eorum vicinorum illi iuvenes, qui pulchri sunt, viris sunt sicut mulieres, atque etiam nuptias eis faciunt; et illud tamquam dedecus et convicium eis non apparet propter legem quae est eis . . . . .

(36) *apud BRITANNOS plures homines sumunt unam uxorem;* (37) *apud PARTHOS unus vir sumit plures uxores, et omnes oboediunt illi cum honestate ob legem quae ibi eis posita est.* (38) *VIRAGINIBUS, populum quae constituunt, mariti non sunt, sed sicut animalia tempore uno anni, tempore verno, exeunt e finibus suis, flumen transeunt, et illo transmisso faciunt in monte festivitatem magnam. et veniunt homines e regionibus illis, et manent cum eis quattuordecim diebus, et coniunguntur cum eis; et ab eis concipiunt, et redeunt iterum ad suas regiones. et postquam pepererunt, eos qui masculi sunt proiciunt et feminas servant. patet eas secundum praeceptum naturae, quia in eodem mense concipiunt, omnes in eodem mense parturire, aliquantulo citius et aliquantulo serius. et sicut narratum est nobis, omnes strenuae sunt et bellicosae . . . . .*

(39) *scriptum est in libro Chaldaeorum, quando positus est Hermes cum Venere in domo Hermetis, fieri sculptores, pictores, nummularios; quando au-*

μοῦνται μετὰ παρρησίας, οὐ ψόγον τοῦτο ἡγούμενοι διὰ τὸν παρ' αὐτοῖς νόμον . . . .

(28) ἐν ΒΡΕΤΤΑΝΙΑΙ πολλοὶ ἄνδρες μίαν γυναῖκα ἔχουσιν, ἐν δὲ τῆι ΠΑΡΘΙΑΙ πολλαὶ γυναῖκες ἕνα ἄνδρα, καὶ πᾶσαι σωφρονοῦσι, πειθόμεναι αὐτῶι κατὰ τὸν νόμον.

(29) αἱ δ' ΑΜΑΖΟΝΕΣ πᾶσαι ἄνδρας οὐκ ἔχουσιν, ἀλλ' ὡς τὰ ἄλογα ζῶια ἅπαξ τοῦ ἔτους περὶ τὴν ἐαρινὴν ἰσημερίαν ὑπερβαίνουσαι τοὺς ἰδίους ὅρους κοινωνοῦσι τοῖς πλησιοχώροις, ἑορτήν τινα ταύτην ἡγούμεναι· ἐξ ὧν συλλαμβάνουσαι ὑποστρέφουσι, καὶ ἀναγκαίως ἐν ἑνὶ καιρῶι ἀποκυίσκουσι κατὰ τὸν τῆς φύσεως νόμον. καὶ τοὺς μὲν γεννωμένους ἄρρενας ῥίπτουσι, τὰς δὲ θηλείας ἀνατρέφουσι. πολεμικαί τε εἰσι καὶ γυμνασίων προνοούμεναι.

(30) Ἑρμῆς μετὰ Ἀφροδίτης ἐν οἴκοις Ἑρμοῦ ποιεῖ πλάστας καὶ ζωγράφους καὶ τραπεζίτας, ἐν οἴκοις δὲ Ἀφροδίτης μυρεψοὺς ἢ φωνάσκους καὶ ὑποκριτὰς

1-2 *apud Gallos lex prisca constituit nuptum tradi publice pueros* Clem 8 ἐν Παρθίαι a Eus (παρθία I πανθία O) Clem ὡσαύτως Kais om. Ge 13-14 ὑποβαίνουσαι I 16 ἡγούμεναι (Jac -μένοις Eus): *finitimae gentis viris miscentur, solemnitatem quandam per hoc observantes* Clem μισγόμεναι τοῖς γειτνιῶσιν ἀνδράσιν οἷον πανήγυρίν τινα καὶ (μεγάλην add. Ge) ἑορτὴν τὸν καιρὸν τῆς ἑταιρείας ἡγούμεναι Kais 18 ἀποκυίσκουσι I κυίσκουσι BO 19 μὲν om. I 20 ἀναστρέφουσι O

tem sunt in domo Veneris, fieri unguentarios, saltatores, cantatores, poetas. in tota regione ARABUM et SARACENORUM et in LIBYA SUPERIORE et apud MAURITANOS et in regione NUMIDARUM, quae est in ostio oceani, et in GERMANIA EXTERIORE et in SARMATIA SUPERIORE et in HISPANIA et in omnibus regionibus SEPTENTRIONIS PONTI et in tota regione ALANORUM et apud ALBANOS et apud SASSOS et in BRUSA, quae est trans Douro, nemo vidit sculptores nec pictores nec nummularios nec poetas, sed impotens est mandatum Hermetis et Veneris in circuitu totius mundi.

in tota MEDIA omnes homines cum moriuntur, etiamsi vita in eis permaneat, canibus proiciuntur, et canes manducant mortuos totius Mediae .... INDI omnes, cum moriuntur, igne consumuntur, et multae eorum mulieres cum eis cremantur, cum sint vivae .... GERMANI omnes per suffocationem moriuntur, exceptis illis qui in bellis moriuntur ....

(40) *sed in omnibus regionibus quocumque die, quacumque hora nascuntur*

ποιημάτων. (31) καὶ παρὰ ΤΑΗΝΟΙΣ καὶ ΣΑΡΑΚΗΝΟΙΣ καὶ ἐν τῆι ΑΝΩΤΕΡΑΙ ΛΙΒΥΗΙ καὶ παρὰ ΜΑΥΡΟΙΣ καὶ παρὰ τοῖς περὶ τὸ στόμα τοῦ ὠκεανοῦ ΝΟΜΑΣΙ καὶ ἐν τῆι ΕΞΩΤΕΡΑΙ ΓΕΡΜΑΝΙΑΙ καὶ ἐν τῆι ΑΝΩΤΕΡΑΙ ΣΑΡΜΑΤΙΑΙ καὶ ἐν τῆι ΣΚΥΘΙΑΙ καὶ ἐν πᾶσι τοῖς ἐξ ἀρκτικῶν μερῶν τοῦ ΠΟΝΤΟΥ ἔθνεσι καὶ ὅληι τῆι ΑΛΑΝΙΑΙ καὶ ΑΛΒΑΝΙΑΙ ΚΑΙ ΩΤΗΝΗΙ καὶ ἐν ΣΑΥΝΙΑΙ καὶ ἐν ΧΡΥΣΗΙ οὐκ ἔστιν ἰδεῖν οὐ τραπεζίτην, οὐ πλάστην, οὐ ζωγράφον, οὐκ ἀρχιτέκτονα, οὐ γεωμέτρην, οὐ φώνασκον, οὐχ ὑποκριτὴν ποιημάτων, ἀλλ' ἐστέρηται ὁ τῆς τοῦ Ἑρμοῦ καὶ τῆς Ἀφροδίτης ἐνεργείας τρόπος ἐν ὅλωι τῶι κύκλωι τούτωι τῆς οἰκουμένης. ·

(32) οἱ ΜΗΔΟΙ πάντες τοῖς μετὰ σπουδῆς τρεφομένοις κυσὶ τοὺς νεκροὺς ἔτι ἐμπνέοντας παραβάλλουσι ..... (33) ΙΝΔΟΙ τοὺς νεκροὺς καίουσι, μεθ' ὧν συγκαίουσιν ἑκούσας τὰς γυναῖκας ..... (34) ΓΕΡΜΑΝΩΝ οἱ πλεῖστοι ἀγχονιμαίωι μόρωι ἀποθνήσκουσι .....

(35) παντὶ ἔθνει καὶ πάσηι ἡμέραι καὶ παντὶ τόπωι τῆς γενέσεως γεννῶνται ἄν-

2 *saltatores* om. Renan, Nau 8-9 *Hispania*: i.e. *Iberia*? *to the north of the Pontus* Cureton 10-11 *Albanos*?

1 Ταηνοῖς Holste ταιηνοῖς BIO Ἠλείοις Kais om. Clem 2 Σαρακηνοῖς ς σαρρα- BO σαραχινοῖς I 4 καὶ om. Kais 5 Νομάσι om. Clem Kais 7-9 *sub axe septentrionis Pontici litoris* Clem τοῖς ἐξωτικοῖς μέρεσι τοῦ Πόντου ἔθνεσιν Kais 7 Σκυθίαι Eus (σκύθη O) Clem Kais 9-11 καὶ ὅληι – Χρύσηι om. Kais καὶ ὁ. – Σαυνίαι om. Clem ἢ Γερμανῶν χώραι ἢ Σαρματίαι ἢ ὁπόσοι ἐν τοῖς Δαύνισιν ἢ παρὰ Ζιχοῖς Epiphan 11 *et in Chrysea insula* Clem 12 τραπεζίτην: κολλυβιστήν Kais 13-14 *geometres* (om. Kais) *aut tragoedus aut poeta* Clem 22 ἑκούσας om. Kais 23 πλεῖστοι: *plurimi* Clem οἱ πλείους Kais 28 τρόπωι Vigier γεννήσεως O

homines sub horoscopiis ab invicem discretis, et superant fatum leges hominum, qui ducuntur secundum suam consuetudinem. et non cogit fatum Seras occisionem committere, cum nolint, nec Brahminas carnem manducare . . . . . .
(42) *dixit mihi* (scil. Bardesanes): *scito prius, fili mi Philippe, ut in errorem inducerent, Chaldaeos hanc vocem* (über die 7 κλίματα und die sie beherrschenden planeten) *invenisse* . . . . .
(43) *cogitate quot sint homines sapientes* . . . . *quot reges* . . . . *aboleverunt leges* . . . *et posuerunt leges, quae eis placuerunt* . . . . . *finitimum est vobis exemplum, quod videatis: heri Romani Arabiam subegere et abolevere omnes leges, quae ante eos erant, et praesertim circumcisionem* (über die jüdischen νόμοι) . . . .
(45) *in Syria et Edessae solebant homines virilitatem suam praecidere in honorem Tarathae; sed cum credidisset Abgar rex, iussit ut ei cuicumque sibi virilitatem resecaret, manus resecaretur, et ex illo die usque ad hoc tempus nemo in regione Edessae sibi virilitatem resecat* . . . . . .

θρωποι, κρατεῖ δὲ ἐν ἑκάστηι μοίραι τῶν ἀνθρώπων νόμος καὶ ἔθος διὰ τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου. καὶ οὐκ ἀναγκάζει ἡ γένεσις τοὺς Σῆρας μὴ θέλοντας φονεύειν ἢ τοὺς Βραχμᾶνας κρεοφαγεῖν . . . . .

(37) ἀπεκρίνατο· οὐκ ἀληθὴς ἡ διάκρισις αὕτη, ὦ Φίλιππε . . . . . .

(40) πόσοι, νομίζετε, σοφοὶ ἄνδρες παρήγαγον τοὺς κακῶς κειμένους νόμους; πόσοι δὲ νόμοι ὑπὸ τῆς ἀπορίας κατελύθησαν; πόσοι βασιλεῖς κρατήσαντες ἐθνῶν παρήγαγον τοὺς πρὸ αὐτῶν νόμους, καὶ ἔθεντο τοὺς ἰδίους; . . . . (41) χθὲς οἱ Ῥωμαῖοι τῆς Ἀραβίας κρατήσαντες τοὺς τῶν βαρβάρων νόμους ἤλλαξαν . . . . (42/3) νόμοι der Juden. (44) ἐν τῆι Συρίαι καὶ ἐν τῆι Ὀσροηνῆι ἀπεκόπτοντο πολλοὶ τῆι Ῥέαι, καὶ ἐν τούτωι μιᾶι ῥοπῆι ὁ βασιλεὺς Ἄβγαρος ἐκέλευσε τῶν ἀποκοπτομένων τὰ αἰδοῖα ἀποκόπτεσθαι καὶ τὰς χεῖρας· καὶ ἐκ τότε οὐδεὶς ἀπεκόψατο ἐν τῆι Ὀσροηνῆι . . . . .

GEFAELSCHTES

<3. ARMENISCHE GESCHICHTE>

4 (V 2 p. 63 ff.) Moses von Khoren *H.A.* 2, 58-63: s. 679 F 12.

—. CHRYSERMOS VON KORINTH —. KLEITOPHON VON RHODOS

ΙΝΔΙΚΑ

287 F 3; 293 F 2.

720. KAIMARON

ΙΝΔΙΚΑ

1 (II 441; IV 352) [Plutarch.] *De fluv.* 4, 3: παράκειται δὲ αὐτῶι (*scil.* τῶι Γάγγηι) ὄρος Ἀνατολὴ καλούμενον δι' αἰτίαν τοιαύτην. Ἀναξιβίαν νύμφην Ἥλιος

16 *Arabiam*: 'das syrische wort bezeichnet *regio deserta Mesopotamiae ab Arabibus habitata*' Nau

12 σοφοὶ ἄνδρες I ἄ. σ. O 20-26 om. Clem Kais 21 (25) ἐσροινῆ O 23 αὔγαρος O 25 ἐκ τότε I ἐκ om. O

θεασάμενος χορείαις προσευκαιροῦσαν εἰς ἐπιθυμίαν αὐτῆς ἐνέπεσεν, καὶ μὴ στέγων τῶν ἐρώτων <τὴν ἐπίτασιν (?)> ἐπεδίωξε τὴν προειρημένην βιάσασθαι βουλόμενος. ἡ δὲ περικατάληπτος γενομένη κατέφυγεν ἐπὶ τὸ τῆς 'Ορθίας 'Αρτέμιδος τέμενος, ὅπερ ἦν ἐν ὄρει Κορύφη καλουμένωι, καὶ ἀφανὴς ἐγένετο. κατόπιν δ' ἀκολουθήσας ὁ θεὸς καὶ μηδαμοῦ τὴν ἀγαπωμένην εὑρὼν διὰ λύπης ὑπερβολὴν ἐκεῖθεν ἀνέτειλεν. οἱ δ' ἐγχώριοι τὴν ἀκρώρειαν 'Ανατολὴν μετωνόμασαν ἀπὸ τοῦ συγκυρήματος, καθὼς ἱστορεῖ Καιμάρων ἐν δεκάτωι 'Ινδικῶν.

721. ANHANG

1 STRABON 1, 2, 35 p. 43: Θεόπομπος (115 F 381) δὲ ἐξομολογεῖται, φήσας ὅτι καὶ μύθους ἐν ταῖς ἱστορίαις ἐρεῖ κρεῖττον ἢ ὡς 'Ηρόδοτος καὶ Κτησίας (688) καὶ 'Ελλάνικος (4) καὶ οἱ τὰ 'Ινδικὰ συγγράψαντες. LITERATUR

2 STRABON 2, 1, 9 p. 70 (= Eratosthenes): ἅπαντες μὲν τοίνυν οἱ περὶ τῆς 'Ινδικῆς γράψαντες ὡς ἐπὶ τὸ πολὺ ψευδολόγοι γεγόνασι, καθ' ὑπερβολὴν δὲ Δηίμαχος (716 T 1)· τὰ δὲ δεύτερα λέγει Μεγασθένης (715 T 6). 'Ονησίκριτος (134) δὲ καὶ Νέαρχος (133) καὶ ἄλλοι τοιοῦτοι παραψελλίζοντες ἤδη .... Πατροκλῆς (712) δὲ ἥκιστα τοιοῦτος· καὶ οἱ ἄλλοι δὲ μάρτυρες οὐκ ἀπίθανοι, οἷς κέχρηται ὁ 'Ερατοσθένης.

3 a) STRABON 15, 1, 7 p. 687/8: καὶ τὰ περὶ 'Ηρακλέους δὲ καὶ Διονύσου Μεγασθένης (715 F 11) μὲν μετ' ὀλίγων πιστὰ ἡγεῖται, τῶν δ' ἄλλων οἱ πλείους, ὧν ἐστι καὶ 'Ερατοσθένης (p. 77 Be), ἄπιστα καὶ μυθώδη, καθάπερ καὶ τὰ παρὰ τοῖς "Ελλησιν ..... (8) ἐκ δὲ τῶν τοιούτων Νυσαίους δή τινας ἔθνος προσωνόμασαν καὶ πόλιν παρ' αὐτοῖς Νῦσαν, Διονύσου κτίσμα, καὶ ὄρος τὸ ὑπὲρ τῆς πόλεως Μηρόν, αἰτιασάμενοι καὶ τὸν αὐτόθι κισσὸν καὶ ἄμπελον (οὐδὲ ταύτην τελεσίκαρπον· ἀπορρεῖ γὰρ ὁ βότρυς πρὶν περκάσαι διὰ τοὺς ὄμβρους τοὺς ἄδην), Διονύσου δ' ἀπογόνους τοὺς 'Οξυδράκας ἀπὸ τῆς ἀμπέλου τῆς παρ' αὐτοῖς καὶ τῶν πολυτελῶν ἐξόδων, βακχικῶς τάς τε ἐκστρατείας ποιουμένων τῶν βασιλέων καὶ τὰς ἄλλας ἐξόδους μετὰ τυμπανισμοῦ καὶ εὐανθοῦς στολῆς (ὅπερ ἐπιπολάζει καὶ παρὰ τοῖς ἄλλοις 'Ινδοῖς). "Αορνον δέ τινα πέτραν, ἧς τὰς ῥίζας ὁ 'Ινδὸς ὑπορρεῖ πλησίον τῶν πηγῶν, 'Αλεξάνδρου κατὰ μίαν προσβολὴν ἑλόντος, σεμνύνοντες ἔφασαν τὸν 'Ηρακλέα τρὶς μὲν προσβαλεῖν τῆι πέτραι ταύτηι, τρὶς δ' ἀποκρουσθῆναι· τῶν δὲ κοινωνησάντων αὐτῶι τῆς στρατείας ἀπογόνους εἶναι τοὺς Σίβας, σύμβολα τοῦ γένους σώζοντας τό τε δορὰς ἀμπέχεσθαι καθάπερ τὸν 'Ηρακλέα καὶ τὸ σκυταληφορεῖν καὶ ἐπικεκαῦσθαι βουσὶ καὶ ἡμιόνοις ῥόπαλον. βεβαιοῦνται δὲ τὸν μῦθον τοῦτον καὶ ἐκ

---

1 χορείαις Wyttenbach χωριοις (so!) P 2 <τὴν ἐπίτασιν> Maussac ἐπεδίωξε Wyttenbach ἀπ- P ἐπεδίωκε He 4 Κορύφη He κορυφή P 6 ἱστορεῖ <* * μέμνηται δὲ τούτων> καὶ Μάρων? 22 νύσσαν D Νῦσαν Kramer 25 ἄδην Tyrwhitt ἄρδην o 'Οξυδράκας: σύδρακας C(?)F; s. zu 715 F 9 c. 4, 9 33-34 καὶ ἐπ. – ῥόπαλον om. x

τῶν περὶ τὸν Καύκασον καὶ τὸν Προμηθέα· καὶ γὰρ ταῦτα μετενηνόχασιν ἐκ τοῦ Πόντου δεῦρο ἀπὸ μικρᾶς προφάσεως, ἰδόντες σπήλαιον ἐν τοῖς Παροπαμισάδαις ἱερόν· τοῦτο γὰρ ἐνεδείξαντο Προμηθέως δεσμωτήριον, καὶ δεῦρο ἀφιγμένον τὸν Ἡρακλέα ἐπὶ τὴν ἐλευθέρωσιν τοῦ Προμηθέως, καὶ τοῦτον εἶναι τὸν Καύκασον, ὃν Ἕλληνες Προμηθέως δεσμωτήριον ἀπέφηναν. (9) ὅτι δ' ἐστὶ πλάσματα ταῦτα τῶν κολακευόντων Ἀλέξανδρον, πρῶτον μὲν ἐκ τοῦ μὴ ὁμολογεῖν ἀλλήλοις τοὺς συγγραφέας δῆλον, ἀλλὰ τοὺς μὲν λέγειν, τοὺς δὲ μηδ' ἁπλῶς μεμνῆσθαι· οὐ γὰρ εἰκὸς τὰ οὕτως ἔνδοξα καὶ τύφου πλήρη μὴ πεπύσθαι, ἢ πεπύσθαι μέν, μὴ ἄξια δὲ μνήμης ὑπολαβεῖν, καὶ ταῦτα τοὺς πιστοτάτους αὐτῶν· ἔπειτα ἐκ τοῦ μηδὲ τοὺς μεταξύ, δι' ὧν ἐχρῆν τὴν ἐς Ἰνδοὺς ἄφιξιν γενέσθαι τοῖς περὶ τὸν Διόνυσον καὶ τὸν Ἡρακλέα, μηδὲν ἔχειν τεκμήριον δεικνύναι τῆς ἐκείνων ὁδοῦ διὰ τῆς σφετέρας γῆς. καὶ ἡ τοῦ Ἡρακλέους δὲ στολὴ ἡ τοιαύτη πολὺ νεωτέρα τῆς Τρωικῆς μνήμης ἐστί, πλάσμα τῶν τὴν Ἡράκλειαν ποιησάντων, εἴτε Πείσανδρος ἦν εἴτ' ἄλλος τις· τὰ δ' ἀρχαῖα ξόανα οὐχ οὕτω διεσκεύασται. (10) ὡς ἐν τοῖς τοιούτοις οὖν ἀποδέχεσθαι δεῖ πᾶν τὸ ἐγγυτάτω πίστεως. **b**) Arrian. *Anab.* 5, 3: οὐ γὰρ ἔγωγε Ἐρατοσθένει τῶι Κυρηναίωι πάντηι ξυμφέρομαι, ὃς λέγει πάντα ὅσα ἐς τὸ θεῖον ἀναφέρεται ἐκ Μακεδόνων πρὸς χάριν τὴν Ἀλεξάνδρου ἐς τὸ ὑπέρογκον ἐπιφημισθῆναι. (2) καὶ γὰρ καὶ σπήλαιον λέγει ἰδόντας ἐν Παραπαμισάδαις τοὺς Μακεδόνας καί τινα μῦθον ἐπιχώριον ἀκούσαντας ἢ καὶ αὐτοὺς ξυνθέντας φημίσαι . . . . . . (4) . . . ὅμοια δὲ καὶ ὑπὲρ Διονύσου τῆς πλάνης ἀπιστεῖ Ἐρατοσθένης, ἐμοὶ δ' ἐν μέσωι κείσθων οἱ ὑπὲρ τούτων λόγοι. Strabon 11, 5, 5; Arrian. *Ind.* 5, 8-13.

4 a) Strabon 1, 2, 32 p. 39: τὴν μὲν οὖν Ἰνδικὴν οὐκ οἶδεν Ὅμηρος· εἰδὼς δὲ ἐμέμνητο ἄν. **b**) Herodot. 4, 44: entdeckungsfahrt des Skylax (709 T 3). ENTDEC- UNGSGE- SCHICHT-

5 a) Strabon 15, 1, 2 p. 685/6: δεῖ δ' εὐγνωμόνως ἀκούειν περὶ αὐτῆς (*scil.* τῆς Ἰνδικῆς). καὶ γὰρ ἀπωτάτω ἐστί, καὶ οὐ πολλοὶ τῶν ἡμετέρων κατώπτευσαν αὐτήν· οἱ δὲ καὶ ἰδόντες μέρη τινὰ εἶδον, τὰ δὲ πλείω λέγουσιν ἐξ ἀκοῆς· καὶ ἃ εἶδον δέ, ἐν παρόδωι στρατιωτικῆι καὶ δρόμωι κατέμαθον. διόπερ οὐδὲ τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἐξαγγέλλουσι, καὶ ταῦτα συγγράψαντες ὡς ἂν πεφροντισμένως ἐξητασμένα, τινὲς δ' αὐτῶν καὶ συστρατεύσαντες ἀλλήλοις καὶ συνεπιδημήσαντες, καθάπερ οἱ Ἀλεξάνδρωι συγκαταστρεψάμενοι τὴν Ἀσίαν, ἀλλ' ἕκαστος ἑκάστωι τἀναντία λέγει πολλάκις. ὅπου δὲ περὶ τῶν ὁραθέντων οὕτω διαφέρονται, τί δεῖ νομίζειν περὶ τῶν ἐξ ἀκοῆς; (3) καὶ μὴν οὐδ' οἱ [πολλοὶ] πολλοῖς χρόνοις ὕστερον συγγράψαντές τι περὶ

2-3 παραπαμισάδαις CD παραμισάδαις x 19 ἐπιφημισθῆναι Lobeck ἐπευφημηθῆναι o 22 κείσθωσαν *Exc. De Sent.* p. 62, 29 Boiss. 36 [πολλοὶ] Cor οἱ ἄλλοι Ald

τούτων οὐδ' οἱ νῦν πλέοντες ἐκεῖσε ἀποφαίνονταί τι ἀκριβές. 'Απολλόδωρος γοῦν ὁ τὰ Παρθικὰ ποιήσας (779 F 7b) .... οὐδὲν δὲ προσανακαλύπτει τῶν πρότερον ἐγνωσμένων, ἀλλὰ καὶ ἐναντιολογεῖ .... (4) καὶ οἱ νῦν δὲ ἐξ Αἰγύπτου πλέοντες ἐμποροι τῶι Νείλωι καὶ τῶι 'Αραβίωι κόλπωι μέχρι τῆς 'Ινδικῆς σπάνιοι μὲν καὶ περιπεπλεύκασι μέχρι τοῦ Γάγγου· καὶ οὗτοι δ' ἰδιῶται καὶ οὐδὲν πρὸς ἱστορίαν τῶν τόπων χρήσιμοι. κἀκεῖθεν δὲ ἀφ' ἑνὸς τόπου καὶ παρ' ἑνὸς βασιλέως Πανδίονος † καὶ ἄλλου Πώρου ἧκεν ὡς Καίσαρα τὸν Σεβαστὸν δῶρα καὶ πρεσβεῖα καὶ ὁ κατακαύσας ἑαυτὸν 'Αθήνησι σοφιστὴς 'Ινδός, καθάπερ καὶ ὁ Κάλανος 'Αλεξάνδρωι τὴν τοιαύτην θέαν ἐπιδειξάμενος. (5) εἰ τοίνυν ταῦτ' ἀφείς τις τὴν πρὸ τῆς 'Αλεξάνδρου στρατείας ἐπιβλέποι μνήμην, πολὺ ἂν εὕροι τούτων τυφλότερα. (Es folgen Nearchos 133 F 3b; Megasthenes 715 F 11a; [Eratosthenes] 721 F 3a). b) – 15, 1, 72 p. 719: 'Αρτεμίδωρος (V) δὲ τὸν Γάγγην φησὶν ἐκ τῶν 'Ημωδῶν ὀρῶν καταφερόμενον πρὸς νότον ἐπειδὰν κατὰ τὴν Γάγγην γένηται πόλιν, ἐπιστρέφειν πρὸς ἕω μέχρι Παλιβόθρων καὶ τῆς εἰς τὴν θάλατταν ἐκβολῆς· τῶν δὲ συρρεόντων εἰς αὐτὸν Οἰδάνην (?) τινὰ καλεῖ· τρέφειν δὲ καὶ κροκοδείλους καὶ δελφῖνας. λέγει δὲ καὶ ἄλλα τινά, συγκεχυμένως δὲ καὶ ἀργῶς, ὧν οὐ φροντιστέον. c) PLIN. *N.H.* 6, 52: *adicit idem* (*scil.* Varro) *Pompei ductu exploratum, in Bactros septem diebus ex India perveniri ad Bactrum flumen, quod in Oxum influat, et ex eo per Caspium in Cyrum subvectos, et V non amplius dierum terreno itinere ad Phasim in Pontum Indicas posse devehi merces.* d) α) MELA 3, 45: *sed praeter physicos Homerumque universum orbem mari circumfusum esse disserit Cornelius Nepos* (F 47 Halm) *ut recentior, auctoritate sic certior*; *testem autem rei Quintum Metellum Celerem adicit eumque ita rettulisse commemorat*: *cum Galliae pro consule praeesset* (62^a), *Indos quosdam a rege Botorum dono sibi datos*; *unde in eas terras devenissent requirendo cognosse, vi tempestatium ex Indicis aequoribus abreptos emensosque quae intererant, tandem in Germaniae litora exisse.* β) PLIN. *N.H.* 2, 170: *idem Nepos de septentrionali circuitu tradit Quinto Metello Celeri, Afrani in*

---

1 ἀκριβῶς D^2 2 οὐδὲν δὲ πλεῖον (11, 6, 4) Behr 3 ‹πλέον› τῶν? 5 καὶ om. Cx 8 ἢ καὶ ἄ. Πώρου o. ἢ κατ' ἄλλους Πώρου Groskurd; cf. ἐπιστολὴν δηλοῦσαν ὅτι Πῶρος εἴη ὁ γράψας 15, 1, 73 = Nikol. v. Damaskos 90 F 100 16 τὴν om. E Οἰμάνην Cor 'Ιομάνην (!) Kramer *Diardines* Curtius 8, 9, 9; cf. O. Stein *RE* XVII 2 col. 2102 f. καλεῖ Cas καλεῖν o 18 δὲ CF om. r 18-22: cf. Solin. *Coll.* 19, 4-5 19 *ductu*: *dicta* Ea 20 *Bactrum* Ritter *iachrum* (*iacrum* R *ycarū* a *alierum, dalierum* u. ä. Sol) o 21 subvectos R v (*-tas* Tarn) *subiectos* r *V non amplius dierum* (*diebus non amplius quinque* Sol) v *unum pluris* Plin 22-p. 660, 3: s. zu Patrokles 712 F 4? 23 *disserit* C. Wachsmuth *dixerunt* A 28 *Indicis* A^3 *indiciis* A^1

consulatu collegae (60^{a}), *sed tum Galliae proconsuli Indos a rege Sueorum dono datos, qui ex India commercii causa navigantes tempestatibus essent in Germaniam abrepti.*

6 a) STRABON 15, 1, 27 p. 697/8: περαιτέρω (*scil.* τοῦ ʽΥπάνιος) γὰρ προελθεῖν ἐκωλύθη (Alexandros) ... ταῦτ' οὖν ἐγένετο γνώριμα ἡμῖν τῶν ἑωθινῶν τῆς ʼΙνδικῆς μερῶν ὅσα ἐντὸς τοῦ ʽΥπάνιος καὶ εἴ τινα προσιστόρησαν οἱ μετ' ἐκεῖνον περαιτέρω τοῦ ʽΥπάνιος προελθόντες μέχρι τοῦ Γάγγου καὶ Παλιβόθρων (cf. F 16). **b)** – 15, 1, 37 p. 702: ἀρίστη δ' ὁμολογεῖται· πᾶσα ἡ τοῦ ʽΥπάνιος πέραν, οὐκ ἀκριβοῦται δέ, ἀλλὰ διὰ τὴν ἄγνοιαν καὶ τὸν ἐκτοπισμὸν λέγεται πάντ' ἐπὶ τὸ μεῖζον ἢ τερατωδέστερον, οἷα τὰ τῶν χρυσωρύχων μυρμήκων (cf. 715 F 23) καὶ ἄλλων θηρίων τε καὶ ἀνθρώπων ἰδιομόρφων (715 F 27) καὶ δυνάμεσί τισιν ἐξηλλαγμένων (cf. 715 F 21; 27). **c)** ARRIAN. *Ind.* 2, 8: τὰ μὲν πρὸς μεσημβρίης κατὰ Πάταλά τε καὶ τοῦ ʼΙνδοῦ τὰς ἐκβολὰς ὤφθη πρός τε ʼΑλεξάνδρου καὶ Μακεδόνων καὶ πολλῶν ʽΕλλήνων, τὰ δὲ πρὸς ἕω ʼΑλέξανδρος μὲν οὐκ ἐπῆλθε τὰ [δὲ] πρόσω ποταμοῦ ʽΥφάσιος, (9) ὀλίγοι δὲ ἀνέγραψαν τὰ μέχρι ποταμοῦ Γάγγεω καὶ ἵνα τοῦ Γάγγεω αἱ ἐκβολαὶ καὶ πόλις Παλίμβοθρα μεγίστη ʼΙνδῶν πρὸς τῶι Γάγγηι. (3) ἐμοὶ δὲ ʼΕρατοσθένης ὁ Κυρηναῖος πιστότερος ἄλλου ἔστω, ὅτι γῆς περιόδου πέρι ἔμελεν ʼΕρατοσθένει. **d)** – – 6, 1: ταῦτα (715 F 9; cf. 721 F 3) μέν μοι ἐκβολὴ ἔστω τοῦ λόγου ἐς τὸ μὴ πιστὰ φαίνεσθαι ὅσα ὑπὲρ τῶν ἐπέκεινα τοῦ ʽΥφάσιος ποταμοῦ ʼΙνδῶν μετεξέτεροι ἀνέγραψαν (ἔστε γὰρ ἐπὶ τὸν Ὕφασιν οἱ τῆς ʼΑλεξάνδρου στρατηλασίης μετασχόντες οὐ πάντη ἄπιστοί εἰσιν)· ἐπεὶ καὶ τόδε λέγει Μεγασθένης κτλ. (715 F 10). 715 T 2b; F 12 c. 7, 1; 721 F 7b.

7 a) PLIN. *N.H.* 6, 58 (SOLIN. 52, 3): (scil. *Indiae*) *caeli facies, alii siderum ortus* (cf. 715 F 7); *binae aestates in anno, binae messes* (cf. 715 F 8); *media inter illas hieme etesiarum flatus, nostra vero bruma lenes ibi aurae, mare navigabile. gentes ei urbesque innumerae, si quis omnes persequi velit* (cf. 715 F 12). *etenim patefacta est non modo Alexandri Magni armis regumque qui successere ei, cirumvectis etiam in Hyrcanium mare et Caspium Seleuco et Antiocho praefectoque classis eorum Patrocle* (712), *verum et aliis auctoribus Graecis, qui cum regibus Indicis morati, sicut Megasthenes* (715) *et Dionysius a Philadelpho missus* (717), *ex ea causa vires quoque gentium* (Poseidonios 87 F 100) *alia illi*

---

1 *sueborum* FRa *sueuorum* r (?) 7-8 οἱ – Παλιβόθρων: d. h. Megasthenes 9 ʽΥπάνιος: Kiessling *RE* IX col. 230, 55 ff.; irrig Tarn *Alex. The Great* II p. 32 n. 3 ἀκριβοῦται E -οῦνται r 13 κατὰ Schmieder καὶ τὰ A 14 τὰ δὲ: τῶν δὲ? Roos 15 [δὲ] Roos 18 γῆς Schmieder τῆς A 24 *illius* R(?) *illis*? 26 *etesiarum* R(?) Sol Beda *ethensinarum* r *flatus* Mayhoff *flatu* o 27 *aurae* ς *auras* R^2 Beda *aures* r 27 *ei* F^2R^2 *et* r *innumerae* F^2 *numerare* (*inn-* R) r *innumerabiles* ς 29 *ei* Detlefsen om. R *et* r 30 *Seleuco – Patrocle* missverständnis? *eorum* R^2 *ereum* R^1 *eroum* r *phatrocle* DF *phatrod(a)e* Ea

prodidere. non tamen est diligentiae locus: adeo diversa et incredibilia traduntur. b) – – 6, 61: *verum ut terrena demonstratio intellegatur, Alexandri Magni vestigiis insistimus. Diognetus et Baeton* (119 F 2), *itinerum eius mensores, scripsere a Portis Caspiis .... ad Hypasim ... qui fuit Alexandri itinerum terminus, exuperato tamen amne arisque in adversa ripa dicatis. epistulae quoque regis ipsius consentiunt his.* (63) *reliqua inde Seleuco Nicatori peragrata sunt: ad Sydrum CLXVIIII, Iomanem amnem tantundem* (*aliqua exemplaria adiciunt V passus*), *inde ad Gangen CXII*·D, *ad Rodafan DLXVIIII* (*alii CCCXXV in hoc spatio produnt*), *ad Callinipaza oppidum CLXVII·D* (*alii CCLXV*), *inde ad confluentem Iomanis et Gangis DCXXV* (*plerique adiciunt XIII·D*), *ad oppidum Palibothra CCCCXXV, ad ostium Gangis DCXXXVII·D.*

8 Strabon 2, 5, 12 p. 118: τῶν τε 'Ρωμαίων καὶ εἰς τὴν Εὐδαίμονα 'Αραβίαν ἐμβαλόντων μετὰ στρατιᾶς νεωστὶ (677 F 6) .... καὶ τῶν ἐκ τῆς 'Αλεξανδρείας ἐμπόρων (F 5a) στόλοις ἤδη πλεόντων διὰ τοῦ Νείλου καὶ τοῦ 'Αραβίου κόλπου μέχρι τῆς 'Ινδικῆς, [ἃ] πολὺ μᾶλλον καὶ ταῦτα ἔγνωσται τοῖς νῦν ἢ τοῖς πρὸ ἡμῶν. ὅτε γοῦν Γάλλος ἐπῆρχε τῆς Αἰγύπτου (30-27ᵃ), συνόντες αὐτῶι ... ἱστοροῦμεν, ὅτι καὶ ἑκατὸν καὶ εἴκοσι νῆες πλέοιεν ἐκ Μυὸς ὅρμου πρὸς τὴν 'Ινδικήν, πρότερον ἐπὶ τῶν Πτολεμαικῶν βασιλέων ὀλίγων παντάπασι θαρρούντων πλεῖν ... Strabon 17, 1, 13; Plin. *N.H.* 6, 101 ff.; F 21.

9 Ptolem. *Geogr.* 1, 17, 3: καὶ πάλιν τὰ Σήμυλλα τὸ τῆς 'Ινδικῆς ἐμπόριον μὴ μόνον τοῦ Μαρέως (?) ἀκρωτηρίου δυτικώτερον ὑπ' αὐτοῦ (*scil.* Μαρίνου) τεθειμένον, ἀλλὰ καὶ τοῦ 'Ινδοῦ ποταμοῦ· μόνον γὰρ μεσημβρινώτερον ὁμολογεῖται τῶν στομάτων εἶναι τοῦ ποταμοῦ παρά τε τῶν ἐντεῦθεν εἰσπλευσάντων καὶ χρόνον πλεῖστον ἐπελθόντων τοὺς τόπους καὶ παρὰ τῶν ἐκεῖθεν ἀφικομένων πρὸς ἡμᾶς, καλούμενον ὑπὸ τῶν ἐγχωρίων Τίμουλα. (4) παρ' ὧν καὶ τά τε ἄλλα τὰ περὶ τὴν 'Ινδικὴν μερικώτερον καὶ κατ' ἐπαρχίας ἐμάθομεν καὶ τὰ ταύτης τῆς χώρας ἐνδοτέρω μέχρι τῆς Χρυσῆς χερσονήσου καὶ ἐντεῦθεν ἕως τῶν Καττιγάρων, τὸ μὲν ὅτι πρὸς ἀνατολὰς ἐστιν ὁ πλοῦς εἰσπλεόντων καὶ πάλιν ἐξιόντων πρὸς δυσμὰς συνιστορούντων .... καὶ ὅτι ὑπέρκειται τῶν Σινῶν ἥ τε τῶν Σηρῶν χώρα καὶ ἡ μητρόπολις, καὶ τὰ ἀνατολικώτερα τούτων ἄγνωστός ἐστι γῆ .... καὶ ὅτι οὐ μόνον ἐπὶ τὴν Βακτριανὴν ἐντεῦθέν ἐστιν ὁδὸς διὰ τοῦ Λιθίνου πύργου ἀλλὰ καὶ ἐπὶ τὴν 'Ινδικὴν διὰ Παλιμβόθρων.

10 Plin. *N.H.* 6, 81: *Taprobanen alterum orbem terrarum esse diu*

---

2 *terrena* R *-no* r 4 *ypasym* a *Hypanis* Solin. 52, 7 7 *ad* Tp *ab* r 8 *CXII*·D DFT *CXII* REa 9 *Rhodaphan* (*-am*) v 10 *CCXLV* DF *iomanis* ς *iohannis* (*iomannis* R²) *amnis* R¹ *ioamnis* r 11 *ad* ς *et* o 14 ἐκβαλόντων BC 15 στόλοις Tyrwhitt στόλος o 'Αραβίου: ἀδρίου AC 16 [ἃ] Paetz 22 *v.l.* κουμάρρως 26 *v.l.* καλουμένων *v.l.* τιμοῦλα, τίμουλλα

existimatum est Antichthonum appellatione; ut insulam liqueret esse, Alexandri Magni aetas resque praestitere (Onesikritos 134 F 13; Megasthenes 715 F 26; Eratosthenes p. 235 Be)... (82) *incipit ab Eoo mari inter ortum occasumque solis Indiae praetenta et quondam credita XX dierum navigatione a Prasiana gente distare; mox quia papyraceis navibus armamentisque Nili peteretur, ad nostrarum navium cursus VII dierum intervallo taxata*..... (84) *hactenus a priscis memorata. nobis diligentior notitia Claudi principatu contigit, legatis etiam ex ea insula advectis* (beschreibung der insel bis § 88). *cetera eadem quae nostri negotiatores*...

11 STRABON 15, 1, 35 p. 702: (34 ex. ταῦτα μὲν οἱ μετ' Ἀλεξάνδρου στρατεύσαντες λέγουσιν) ἐκδέδοται δέ τις καὶ Κρατεροῦ πρὸς τὴν μητέρα Ἀριστοπάτραν ἐπιστολή (153 F 2), πολλά τε ἄλλα παράδοξα φράζουσα καὶ οὐχ ὁμολογοῦσα οὐδενί, καὶ δὴ καὶ τὸ μέχρι τοῦ Γάγγου προελθεῖν τὸν Ἀλέξανδρον· αὐτός τέ φησιν ἰδεῖν τὸν ποταμὸν καὶ κήτη τὰ ἐν αὐτῶι καὶ μεγέθους καὶ πλάτους καὶ βάθους πόρρω πίστεως μᾶλλον ἢ ἐγγύς. (Es folgt Megasthenes 715 F 9b). PHLEGON 257 F 36 c. 32? EINZE ACHR TEN

12 STRABON 15, 1, 18 p. 692: τὴν δ' ὀρυζάν φησιν ὁ Ἀριστόβουλος (139 F 35) ἑστάναι ἐν ὕδατι κλειστῶι... θερίζεσθαι δὲ περὶ δύσιν Πληιάδος... Μέγιλλος δὲ τὴν ὄρυζαν σπείρεσθαι μὲν πρὸ τῶν ὄμβρων φησίν, ἀρδείας δὲ καὶ φυτείας <μὴ> δεῖσθαι, ἀπὸ τῶν κλειστῶν ποτιζομένην ὑδάτων. περὶ δὲ τοῦ βοσμόρου [ὃν] φησὶν Ὀνησίκριτος (134 F 15).... (327[a]?

13 STRABON 15, 1, 30 p. 700: (Onesikritos 134 F 21) ἴδιον δὲ τῶν Καθαίων καὶ τοῦτο ἱστορεῖται, τὸ αἱρεῖσθαι νυμφίον καὶ νύμφην ἀλλήλους καὶ τὸ συγκατακαίεσθαι τεθνεῶσι τοῖς ἀνδράσι τὰς γυναῖκας.... φασὶ δ' ἐν τῆι Σωπείθους χώραι ὀρυκτῶν ἁλῶν ὄρος εἶναι, ἀρκεῖν δυνάμενον ὅληι τῆι Ἰνδικῆι. καὶ χρυσεῖα δὲ καὶ ἀργυρεῖα οὐ πολὺ ἄπωθεν ἐν ἄλλοις ὄρεσιν ἱστορεῖται καλά, ὡς ἐδήλωσε Γόργος ὁ μεταλλευτής. οἱ δ' Ἰνδοὶ μεταλλείας καὶ χωνείας ἀπείρως ἔχοντες οὐδ' ὧν εὐποροῦσιν ἴσασιν, ἀλλ' ἁπλούστερον μεταχειρίζονται τὸ πρᾶγμα. 327[a]?

14 STRABON 15, 1, 67 p. 717: (Nearchos 133 F 23) τῶν δὲ περὶ τῆς Ἰνδικῆς λεγομένων καὶ τοῦτ' ἐστίν, ὅτι ἀντὶ τοῦ προσκυνεῖν προσεύχεσθαι τοῖς βασιλεῦσι καὶ πᾶσι τοῖς ἐν ἐξουσίαι καὶ ὑπεροχῆι νόμος. φέρει δὲ καὶ λιθίαν ἡ χώρα πολυτελῆ κρυστάλλων καὶ ἀνθράκων παντοίων καθάπερ τῶν μαργαριτῶν.

---

1 *an(t)hicthonum* DEF 3 *eoo* v *eo* o 7 *nobis* F[2] *nos* r *diligentior* ς *-ter* o 14 <τὰ> κήτη (cf. F 5b) o. λέγει Kramer ἐν Cor ἐπ' o <λέγει περὶ> μεγέθους Groskurd 14-15 μέγεθος κτλ. Cor 20 <μή> Cor 21 [ὃν] Cor 23 Καθαίων v καθέων o 24 ἀλλήλους <κατὰ κάλλος>? 26 χρυσία DF 26-27 ἀργύρια CDF 34 λιθείαν x

15 Strabon 15, 1, 69 p. 718/9: λέγεται δὲ καὶ ταῦτα παρὰ τῶν συγγραφέων, ὅτι σέβονται μὲν τὸν Ὄμβριον Δία Ἰνδοὶ καὶ τὸν Γάγγην ποταμὸν καὶ τοὺς ἐγχωρίους δαίμονας. ὅταν δὲ βασιλεὺς λούηι τὴν τρίχα, μεγάλην ἑορτὴν ἄγουσι, καὶ μεγάλα δῶρα πέμπουσι, τὸν ἑαυτοῦ πλοῦτον ἕκαστος ἐπιδεικνύμενος κατὰ ἅμιλλαν. τῶν τε μυρμήκων τινὰς καὶ πτερωτοὺς λέγουσι τῶν χρυσωρύχων· ψήγματά τε χρυσοῦ καταφέρειν τοὺς ποταμοὺς καθάπερ τοὺς Ἰβηρικούς. ἐν δὲ ταῖς κατὰ τὰς ἑορτὰς πομπαῖς πολλοὶ μὲν ἐλέφαντες πέμπονται χρυσῶι κεκοσμημένοι καὶ ἀργύρωι, πολλὰ δὲ τέθριππα καὶ βοικὰ ζεύγη· εἶθ' ἡ στρατιὰ κεκοσμημένη· καὶ χρυσώματα δὲ τῶν μεγάλων λεβήτων καὶ κρατήρων ὀργυιαίων· καὶ τοῦ Ἰνδικοῦ χαλκοῦ † καὶ τράπεζαι δὲ καὶ θρόνοι καὶ ἐκπώματα καὶ λουτῆρες, λιθοκόλλητα τὰ πλεῖστα σμαράγδοις καὶ βηρύλλοις καὶ ἄνθραξιν Ἰνδικοῖς· καὶ ἐσθὴς δὲ ποικίλη χρυσόπαστος· καὶ <βόν>ασοι καὶ παρδάλεις καὶ λέοντες τιθασσοὶ καὶ τῶν ποικίλων ὀρνέων καὶ εὐφθόγγων πλῆθος. (Kleitarchos 137 F 20).

(70) φιλοσόφους τε τοῖς Βραχμᾶσιν ἀντιδιαιροῦνται Πράμνας, ἐριστικούς τινας καὶ ἐλεγκτικούς. τοὺς δὲ Βραχμᾶνας φυσιολογίαν καὶ ἀστρονομίαν ἀσκεῖν, γελωμένους ὑπ' ἐκείνων ὡς ἀλαζόνας καὶ ἀνοήτους. τούτων δὲ τοὺς μὲν ὀρεινοὺς καλεῖσθαι, τοὺς δὲ γυμνήτας, τοὺς δὲ πολιτικοὺς καὶ προσχωρίους. καὶ τοὺς μὲν ὀρεινοὺς δοραῖς ἐλάφων χρῆσθαι, πήρας δ' ἔχειν ῥιζῶν καὶ φαρμάκων μεστάς, προσποιουμένους ἰατρικὴν μετὰ γοητείας καὶ ἐπωιδῶν καὶ περιάπτων. τοὺς δὲ γυμνήτας κατὰ τοὔνομα γυμνοὺς διαζῆν, ὑπαιθρίους τὸ πλέον, καρτερίαν ἀσκοῦντας ἣν ἔφαμεν πρότερον (§§ 60-61 = Megasthen. 715 F 33; Aristobulos 139 F 41) μέχρι ἑπτὰ ἐτῶν καὶ τριάκοντα· καὶ γυναῖκας δὲ συνεῖναι, μὴ μιγνυμένας αὐτοῖς· τούτους δὲ θαυμάζεσθαι διαφερόντως. (71) τοὺς δὲ πολιτικοὺς σινδονίτας κατὰ πόλιν ζῆν ἢ καὶ κατ' ἀγρούς, καθημμένους νεβρίδας ἢ δορκάδων δοράς.

ὡς δ' εἰπεῖν, Ἰνδοὺς ἐσθῆτι λευκῆι χρῆσθαι καὶ σινδόσι λευκαῖς καὶ καρπάσοις, ὑπεναντίως τοῖς εἰποῦσιν (Megasthen. 715 F 32 § 54) εὐανθέστατα αὐτοὺς ἀμπέχεσθαι φορήματα. κομᾶν δὲ καὶ πωγωνοτροφεῖν πάντας, ἀναπλεκομένους δὲ μιτροῦσθαι τὰς κόμας.

16 a) Arrian. *Ind.* 4,2: αὐτοῖν δὲ τοῖν μεγίστοιν ποταμοῖν τοῦ τε Γάγγεω καὶ τοῦ Ἰνδοῦ τὸν Γάγγεα μεγέθει πολύ τι ὑπερφέρειν Μεγασθένης (715 F 9a) ἀνέγραψε, καὶ ὅσοι ἄλλοι μνήμην τοῦ Γάγγεω ἔχουσιν·

2 ὄμβρον F Δία: ἰδία DF 4 πλοῦτον: βίον D 10 [καὶ] τράπεζαί τε Cor * * καὶ τρ. δὲ? Groskurd 12-13 καὶ <βόν>ασοι Tzschucke καὶ ...... (α)σοι CDF 13 καὶ θηρία παρδάλεις x 15 τε: δέ? Πράμνας: = prāmāṇa 'sich auf beweise stützend' Lassen Σράμναι O. Stein 17 τούτων: s. Komm. 19 καὶ (vor τοὺς) om. DFv ἐλάφων: ἐλεφάντων E 23 ἐτῶν E om. r ἑ. καὶ τρ. ἐτῶν Cor ἐτῶν ἑ. καὶ τρ.? καὶ om. DFv 25 ἢ καί: καὶ om. DE 25-26 καθειμένους CDEF x 26 δορὰς ἔχοντας x 27 Ἰνδοὺς om. E

(3) αὐτόν τε γὰρ μέγαν ἀνίσχειν ἐκ τῶν πηγέων, δέχεσθαί τε ἐς ἑωυτὸν (es folgen 17 flussnamen). **b**) PLIN. *N.H.* 6,65: *hunc* (den Ganges) *alii incertis fontibus ut Nilum rigantemque vicina eodem modo, alii in Scythicis montibus nasci dixerunt. influere in eum XVIIII amnes; ex iis navigabiles praeter iam dictos Crenaccam, Rhamnumbovam, Casuagum, Sonum. alii cum magno fragore ipsius statim fontes erumpere, deiectumque per scopulosa et abrupta, ubi primum molles planities contingat, in quodam lacu hospitari; inde lenem fluere, ubi minimum VIII p. latitudine, ubi modicum stadiorum C, altitudine nusquam minore passuum XX, novissima gente Gangaridum Calingarum e.q.s.*

17 PAUSAN. 3, 12, 4: οἱ δὲ ἐς τὴν Ἰνδικὴν ἐσπλέοντες φορτίων φασὶν Ἑλληνικῶν τοὺς Ἰνδοὺς ἀγώγιμα ἄλλα ἀνταλλάσσεσθαι, νόμισμα δὲ οὐκ ἐπίστασθαι, καὶ ταῦτα χρυσοῦ τε ἀφθόνου καὶ χαλκοῦ παρόντος σφίσι.

18 AELIAN. *N.A.* 16, 5: ἀκούω δὲ ἔγωγε καὶ Ἰνδὸν ἔποπα διπλασίονα τοῦ παρ' ἡμῖν καὶ ὡραιότερον ἰδεῖν ... ὁ δὲ ἔποψ οὗτος Ἰνδῶν βασιλεῖ ἄθυρμά ἐστι, καὶ διὰ χειρῶν αὐτὸν φέρει, καὶ ἥδεται αὐτῶι ... ἐπάιδουσι δὲ ἄρα τῶιδε τῶι ὀρνέωι καὶ μῦθον Βραχμᾶνες, καὶ ὅ γε μῦθος ὁ αἰδόμενος οὗτός ἐστιν. παῖς ἐγένετο Ἰνδῶν βασιλεῖ, καὶ ἀδελφοὺς εἶχεν, οἵπερ οὖν ἀνδρωθέντες ἐκδικώτατοί τε γίνονται καὶ λεωργότατοι. καὶ τούτου μὲν ὡς νεωτάτου καταφρονοῦσι, τὸν δὲ πατέρα ἐκερτόμουν καὶ τὴν μητέρα, τὸ γῆρας αὐτῶν ἐκφαυλίσαντες. ἀναίνονται οὖν ἐκεῖνοι τὴν σὺν τούτοις διατριβήν, καὶ ᾤχοντο φεύγοντες ὅ τε παῖς καὶ οἱ γέροντες. συντόνου δὲ ἄρα αὐτοὺς πορείας διαδεξαμένης, οἱ μὲν ἀπεῖπον καὶ ἀποθνήσκουσιν, ὁ δὲ παῖς οὐκ ὠλιγώρησεν αὐτῶν, ἀλλ' ἔθαψεν αὐτοὺς ἐν ἑαυτῶι, ξίφει τὴν κεφαλὴν διατεμών. ἀγασθέντα δὲ τὸν πάντ' ἐφορῶντα Ἥλιον οἱ αὐτοί φασι τῆς εὐσεβείας τὴν ὑπερβολήν, ὄρνιν αὐτὸν ἀποφῆναι, κάλλιστον μὲν ὄψει, μακραίωνα δὲ τὸν βίον· ὑπανέστηκε δέ οἱ καὶ λόφος ἐκ τῆς κορυφῆς, οἱονεὶ μνημεῖον τοῦτο τῶν πεπραγμένων ὅτε ἔφευγεν. τοιαῦτα ἄττα καὶ Ἀθηναῖοι ὑπὲρ τοῦ κορύδου τερατευόμενοι προσεῖχον μύθωι τινί, ὧιπερ οὖν ἀκολουθῆσαί μοι δοκεῖ καὶ Ἀριστοφάνης ... ἐν Ὄρνισι λέγων (471 ff.) .... ἔοικεν οὖν ἐξ Ἰνδῶν τὸ μυθολόγημα ἐπ' ἄλλου μὲν ὄρνιθος, ἐπιρρεῦσαι δ' οὖν καὶ τοῖς Ἕλλησιν· ὠγύγιον γάρ τι μῆκος χρόνου λέγουσι Βραχμᾶνες, ἐξ οὗ ταῦτα τῶι ἔποπι τῶι Ἰνδῶι ἔτι ἀνθρώπωι ὄντι καὶ παιδὶ τήν γε ἡλικίαν ἐς τοὺς γειναμένους πέπρακται.

19 PHILOSTRAT. *V.A.* 2, 9: (die reisenden kommen nach Nysa und

---

3-4 *in Scyticis montibus*: cf. 6, 64 *a montibus Hemodis e.q.s.* 4 *influere* R[2] *fluere* r 6 *fontes* R *fontem* a *frontes* r 7 *scopulos* E 8 *VIII* (Solin. 52, 7): *VII* F[2] *V* a 9 *altitudinem – minorem* DFE *XXV* a *ubi vadosissimus est, mensuram centum pedum* Sol 10 *Calingarum* om. Sol; cf. § 64 *gentes Caling[n]ae mari proximi* 11 πλέοντες? 17 μῦθον: cf. Megasth. 715 F 33 § 59

sehen das kultbild des dortigen Dionysos) διαφέρονται δὲ περὶ τοῦ Διονύσου τούτου καὶ Ἕλληνες Ἰνδοῖς καὶ Ἰνδοὶ ἀλλήλοις. ἡμεῖς μὲν γὰρ τὸν Θηβαῖον ἐπ' Ἰνδοὺς ἐλάσαι φαμὲν στρατεύοντά τε καὶ βακχεύοντα, τεκμηρίοις χρώμενοι τοῖς τε ἄλλοις καὶ τῶι Πυθοῖ ἀναθήματι, ὃ δὴ ἀπόθετον οἱ ἐκεῖ θησαυροὶ ἴσχουσιν· ἔστι δὲ ἀργύρου Ἰνδικοῦ δίσκος, ὧι ἐπιγέγραπται «Διόνυσος ὁ Σεμέλης καὶ Διὸς ἀπὸ Ἰνδῶν Ἀπόλλωνι Δελφῶι». Ἰνδῶν δὲ οἱ περὶ Καύκασον καὶ Κωφῆνα ποταμὸν ἐπηλύτην Ἀσσύριον αὐτόν φασιν ἐλθεῖν, τὰ τοῦ Θηβαίου εἰδότα· οἱ δὲ τὴν Ἰνδοῦ τε καὶ Ὑδραώτου μέσην νεμόμενοι καὶ τὴν μετὰ ταῦτα ἤπειρον, ἣ δὴ ἐς ποταμὸν Γάγγην τελευτᾶι, Διόνυσον γενέσθαι ποταμοῦ παῖδα Ἰνδοῦ λέγουσιν, ὧι φοιτήσαντα τὸν ἐκ Θηβῶν ἐκεῖνον θύρσου τε ἅψασθαι καὶ δοῦναι ὀργίοις, εἰπόντα δὲ ὡς εἴη Διὸς καὶ τῶι τοῦ πατρὸς ἐμβιώιηι μηρῶι τόκου ἕνεκα, Μηρόν τε εὑρέσθαι παρ' αὐτοῦ ὄρος, ὧι προσβέβηκεν ἡ Νῦσα, καὶ τὴν Νῦσαν τῶι Διονύσωι ἐκφυτεῦσαι ἀπάγοντα ἐκ Θηβῶν τὸ γόνυ τῆς ἀμπέλου, οὗ καὶ Ἀλέξανδρος ὀργιάσαι. οἱ δὲ τὴν Νῦσαν οἰκοῦντες οὔ φασι τὸν Ἀλέξανδρον ἀνελθεῖν ἐς τὸ ὄρος, ἀλλ' ὁρμῆσαι μέν, ἐπειδὴ φιλότιμός τε ἦν καὶ ἀρχαιολογίας ἥττων, δείσαντα δὲ μὴ ἐς ἀμπέλους παρελθόντες οἱ Μακεδόνες, ἃς χρόνου ἤδη οὐχ ἑωράκεσαν, ἐς πόθον τῶν οἴκοι ἀπενεχθῶσιν . . . ., παρελάσαι τὴν Νῦσαν, εὐξάμενον τῶι Διονύσωι καὶ θύσαντα ἐν τῆι ὑπωρείαι. καὶ γιγνώσκω μὲν οὐκ ἐς χάριν ταῦτα ἐνίοις γράφων, ἐπειδὴ οἱ ξὺν Ἀλεξάνδρωι στρατεύσαντες οὐδὲ ταῦτα ἐς τὸ ἀληθὲς ἀνέγραψαν κτλ.

20 Clem. Al. *Strom.* I, 71, 3: φιλοσοφία . . . πάλαι μὲν ἤκμασε παρὰ βαρβάροις . . . (4) προέστησαν δ' αὐτῆς Αἰγυπτίων τε οἱ προφῆται καὶ Ἀσσυρίων οἱ Χαλδαῖοι καὶ Γαλατῶν οἱ Δρυίδαι καὶ Σαμαναῖοι Βάκτρων καὶ Κελτῶν οἱ φιλοσοφήσαντες καὶ Περσῶν οἱ Μάγοι . . . Ἰνδῶν τε οἱ γυμνοσοφισταί, ἄλλοι τε φιλόσοφοι βάρβαροι. (5) διττὸν δὲ τούτων τὸ γένος, οἳ μὲν Σαρμάναι αὐτῶν, οἳ δὲ Βραχμάναι καλούμενοι. καὶ τῶν Σαρμανῶν οἱ ὑλόβιοι προσαγορευόμενοι οὔτε πόλεις οἰκοῦσιν οὔτε στέγας ἔχουσιν, δένδρων δὲ ἀμφιέννυνται φλοιοῖς, καὶ ἀκρόδρυα σιτοῦνται, καὶ ὕδωρ ταῖς χερσὶ πίνουσιν, οὐ γάμον, οὐ παιδοποιίαν ἴσασιν (ὥσπερ οἱ νῦν Ἐγκρατηταὶ καλούμενοι). (6) εἰσὶ δὲ τῶν Ἰνδῶν οἱ τοῖς Βοῦττα πειθόμενοι παραγγέλμασιν, ὃν δι' ὑπερβολὴν σεμνότητος ὡς θεὸν τετιμήκασι κτλ. (Skythen; Hyperboreer; Germanen; Megasthenes 715 F 3).

21 Dio Chrys. *Or.* 35, 22: τούτων δὲ τοιούτων ὄντων (*scil.* ἐν Ἰνδοῖς) καὶ τοσούτων ὑπαρχόντων ἀγαθῶν, ὅμως εἰσὶν ἄνθρωποι καλούμενοι Βραχμᾶνες, οἳ χαίρειν ἐάσαντες τούς τε ποταμοὺς ἐκείνους καὶ τοὺς παρ' αὐτοῖς

---

26 ἄλλοι γε Stählin 27 Σαρμᾶναι v Σαρμᾶνες O. Γαρμᾶνες (715 F 33 § 59-60) Cobet Βραχμᾶναι v Βραχμᾶνες Ddf ὑλόβιοι (715 F 33 § 60) v ἀλλόβιοι L 29 φλοιοῖς Syl φλυοῖς L 31 Βούττα v 32 ὡς Potter εἰς L 34 [ὄντων] Arnim

ἐρριμμένους ἐκτραπέντες ἰδίαι τε ξυλλογίζονται καὶ φροντίζουσι, πόνους τε θαυμαστοὺς ἀναλαβόμενοι τοῖς σώμασιν, οὐδενὸς ἀναγκάζοντος, καὶ καρτερήσεις δεινὰς ὑπομένοντες. φασὶ δὲ ἐξαίρετον αὐτοῖς εἶναι μίαν πηγὴν τὴν τῆς ἀληθείας, πολὺ πασῶν ἀρίστην καὶ θειοτάτην, ἧς οὐδέποτε τοὺς γευσαμένους ἐμπίμπλασθαι. τὰ μὲν οὖν ἐκεῖθεν λόγος ἐστὶν ἀψευδής. ἤδη γάρ τινες τῶν ἀφικνουμένων ἔφασαν· ἀφικνοῦνται δὲ οὐ πολλοί τινες ἐμπορίας ἕνεκεν· οὗτοι δὲ ἐπιμίγνυνται τοῖς πρὸς θαλάττηι. τοῦτο δὲ ἄτιμόν ἐστιν Ἰνδῶν τὸ γένος, οἵ τε ἄλλοι φεύγουσιν αὐτούς.

—. ISAURIEN

S. u. Kilikien.

XII. JUDEN

722. DEMETRIOS 221/204

T

1 Joseph. c. Ap. 1, 218: s. 723 T 3; 737 F 1.

F

ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΗΙ ΙΟΥΔΑΙΑΙ ΒΑΣΙΛΕΩΝ

1 (III 214, 8) Euseb. *P.E.* 9, 21: ἀπίωμεν δὲ πάλιν ἐπὶ τὸν Πολυίστορα (273 F 19). Δημήτριός φησι τὸν Ἰακὼβ γενόμενον ἐτῶν ἑβδομήκοντα πέντε φυγεῖν εἰς Χαρρὰν τῆς Μεσοποταμίας, ἀποσταλέντα ὑπὸ τῶν γονέων διὰ τὴν πρὸς τὸν ἀδελφὸν κρυφίαν ἔχθραν Ἠσαῦ, διὰ τὸ εὐλογῆσαι αὐτὸν τὸν πατέρα δοκοῦντα εἶναι τὸν Ἠσαῦ, καὶ ὅπως λάβηι ἐκεῖθεν γυναῖκα. (2) ἀφορμῆσαι οὖν τὸν Ἰακὼβ εἰς Χαρρὰν τῆς Μεσοποταμίας, τὸν μὲν πατέρα καταλιπόντα Ἰσαὰκ ἐτῶν ἑκατὸν τριάκοντα ἑπτά, αὐτὸν δὲ ὄντα ἐτῶν ἑβδομήκοντα ἑπτά. (3) διατρίψαντα οὖν αὐτὸν ἐκεῖ ἑπτὰ ἔτη Λάβαν τοῦ μητρώιου δύο θυγατέρας γῆμαι Λείαν καὶ Ῥαχήλ, ὄντα ἐτῶν ὀγδοήκοντα τεσσάρων. καὶ γενέσθαι ἐν ἑπτὰ ἔτεσιν ἄλλοις αὐτῶι παιδία δώδεκα· ὀγδόωι μὲν ἔτει μηνὶ δεκάτωι Ῥουβίν, καὶ τῶι ἔτει δὲ τῶι ἐνάτωι μηνὶ ὀγδόωι Συμεών, καὶ τῶι ἔτει δὲ

---

1 ἰδίαι τι? Arnim 4-5 οὐδέποτε – ἐμπίμπλασθαι Rei οὐ. γεύσασθαι τοὺς ἐμπιμπλαμένους o οὐ. ψεύσασθαι τοὺς ἐ. Cobet 5 τινι M 8 οἵ τε UBT οὔτε M οἱ δὲ Geel, v φεύγουσιν Lobeck ψέγουσιν o 17 ff.: lesungen der Eusebius-Hss nach *Eusebius Werke* (Gr. Christl. Schriftst.) VIII 1 her. von K. Mras (Berlin 1954); (?) bedeutet zweifel an seinen angaben 18 φασι I 19 πέντε: ἑπτὰ (v. 24) Vigier 21 δοκοῦντα εἶναι τὸν IO ὡς B 21-22 ἀφορμῆσαι – Μεσοποταμίας om. B 22 οὖν ἰακὼβ I καὶ τὸν μὲν B 22-23 καταλιπεῖν B 23 ἐτῶν ὄντα B ὄντα (nach δὲ) om. B 24 ἑπτὰ ἔτη I ἔτη ζ BO 27 Ῥουβην Sept (*Gen.* 29, 32)

τῶι δεκάτωι μηνὶ ἕκτωι Λευίν, τῶι δὲ ἑνδεκάτωι ἔτει μηνὶ τετάρτωι Ἰούδαν. Ῥαχήλ τε μὴ τίκτουσαν ζηλῶσαι τὴν ἀδελφὴν καὶ παρακοιμίσαι τῶι Ἰακὼβ τὴν ἑαυτῆς παιδίσκην * * Ζελφὰν τῶι αὐτῶι χρόνωι ὧι καὶ Βάλλαν συλλαβεῖν τὸν Νεφθαλείμ, τῶι ἑνδεκάτωι ἔτει μηνὶ πέμπτωι, καὶ τεκεῖν τῶι δωδεκάτωι ἔτει μηνὶ δευτέρωι υἱόν, ὃν ὑπὸ Λείας Γὰδ ὀνομασθῆναι· καὶ ἐκ τῆς αὐτῆς τοῦ αὐτοῦ ἔτους καὶ μηνὸς δωδεκάτου ἕτερον τεκεῖν, ὃν καὶ αὐτὸν προσαγορευθῆναι ὑπὸ Λείας Ἀσήρ. (4) καὶ Λείαν πάλιν ἀντὶ τῶν μήλων τῶν μανδραγόρου, ἃ Ῥουβὶν (?) εἰσενεγκεῖν παρὰ Ῥαχήλ, συλλαβεῖν ἐν γαστρί – τῶι αὐτῶι χρόνωι καὶ τὴν παιδίσκην αὐτῆς Ζελφάν – τῶι δωδεκάτωι ἔτει μηνὶ τρίτωι, καὶ τεκεῖν τοῦ αὐτοῦ ἔτους μηνὸς δωδεκάτου υἱόν, καὶ ὄνομα αὐτῶι θέσθαι Ἰσσάχαρ. (5) καὶ πάλιν Λείαν τῶι τρισκαιδεκάτωι ἔτει μηνὶ δεκάτωι υἱὸν ἄλλον τεκεῖν, ὧι ὄνομα Ζαβουλών, καὶ τὴν αὐτὴν τῶι τεσσαρεσκαιδεκάτωι ἔτει μηνὶ ὀγδόωι τεκεῖν † υἱὸν ὄνομα Δάν· ἐν ὧι καὶ Ῥαχὴλ λαβεῖν ἐν γαστρὶ τῶι αὐτῶι χρόνωι, ὧι καὶ Λείαν τεκεῖν θυγατέρα Δείναν, καὶ τεκεῖν τῶι τεσσαρεσκαιδεκάτωι ἔτει μηνὶ ὀγδόωι υἱόν, ὃν ὀνομασθῆναι Ἰωσήφ, ὥστε γεγονέναι ἐν τοῖς ἑπτὰ ἔτεσι τοῖς παρὰ Λάβαν δώδεκα παιδία. (6) θέλοντα δὲ τὸν Ἰακὼβ πρὸς τὸν πατέρα εἰς Χαναὰν ἀπιέναι, ἀξιωθέντα ὑπὸ Λάβαν ἄλλα ἔτη ἓξ μεῖναι, ὥστε τὰ πάντα αὐτὸν μεῖναι ἐν Χαρρὰν παρὰ Λάβαν ἔτη εἴκοσι.

(7) πορευομένωι δὲ αὐτῶι εἰς Χαναὰν ἄγγελον τοῦ θεοῦ παλαῖσαι, καὶ ἅψασθαι τοῦ πλάτους τοῦ μηροῦ τοῦ Ἰακώβ, τὸν δὲ ναρκήσαντα ἐπισκάζειν, ὅθεν οὐκ ἐσθίεσθαι τῶν κτηνῶν τὸ ἐν τοῖς μηροῖς νεῦρον· καὶ φάναι αὐτῶι τὸν ἄγγελον ἀπὸ τοῦδε μηκέτι Ἰακὼβ ἀλλ' Ἰσραὴλ ὀνομασθήσεσθαι. (8) καὶ ἐλθεῖν αὐτὸν τῆς Χαναὰν γῆς εἰς ἑτέραν πόλιν Σικίμων, ἔχοντα παιδία Ῥουβὶν ἐτῶν δώδεκα μηνῶν δυοῖν, Συμεῶνα ἐτῶν ι̅α̅ μηνῶν τεσσάρων, Λευὶν ἐτῶν ι̅ μη-

---

3 παιδίσκην <Βαλλάν, ἣν τεκεῖν τῶι ἑνδεκάτωι ἔτει μηνὶ τετάρτωι Δὰν καὶ τῶι δωδεκάτωι ἔτει μηνὶ δευτέρωι Νεφθαλείμ. Λείαν δὲ καὶ αὐτὴν παρακοιμίσαι τῶι Ἰακὼβ τὴν ἑαυτῆς παιδίσκην> Ζελφὰν (*Gen.* 30, 1-13) Freu(denthal *Hellenistische Studien* I: *Alexander Polyhistor und die von ihm erhaltenen Reste jüdischer und samaritanischer Geschichtswerke*, Breslau 1874/5)   5 δευτέρωι: υ̅ι̅ B   Γὰθ I   7-8 ἃ Ῥουβὶν Steph ἀρουβὴλ BIO ἃ Ῥουβὴλ Gifford, Mras ἃ Ῥουβην *Gen.* 30, 14   8 ἐν γαστρὶ om. I   8-9 τ. αὐ. χρ. καὶ τὴν παιδ. αὐ. Ζ. BO καὶ τὴν παιδ. Ζ. τ. αὐ. χρ. I χρόνωι <ὧι>? Freu 'parenthesis' Gifford [τῶι – Ζελφάν]?   9 ἔτει om. O   10 Ἰσ(σ)άχαρ B (I) Ἰσσαχάρ O cf. p. 668, 2   13 υἱὸν ὄ. Δάν: θυγατέρα ὄ. Δείναν (*Gen.* 30, 21; p. 668, 3; 5)? Freu   14 Λείαν: λίναν B   15 ὧι ὄνομα θέσθαι B ὥστε IO ὡς B   16 ι̅β̅ παῖδας B   17 Χαναὰν IB χαρρὰν O   τὰ om. B   18 αὐτὸν om. B   19 παλλεῦσαι I   21 οὐ καθίεσθαι I   αὐτῶι om. B   22 μηκέτι IO μὴ B   ὀνομασθῆναι B   23 τῆς Χ. γῆς om. B   ἑτέραν (om. B) πόλιν (π. om. I) Σικίμων (*Gen.* 33, 17/8 καὶ Ἰακωβ ἀπαίρει εἰς Σκηνάς . . . . . καὶ ἦλθεν Ιακωβ εἰς Σαλημ πόλιν Σικίμων, ἥ ἐστιν ἐν γῆι Χαναaν): 'strange variant' Bickermann; folge von verkürzung?   23 ῥουβὶν O ῥουβὶμ BI   24-668, 9 Συμεῶνα – ἑπτὰ om. B   24 ια' O δώδεκα I   ι' O δώδεκα I

νῶν ἕξ, Ἰούδαν ἐτῶν ἐννέα μηνῶν ὀκτώ, Νεφθαλεὶμ ἐτῶν ὀκτὼ μηνῶν δέκα, Γὰδ ἐτῶν ὀκτὼ μηνῶν δέκα, Ἀσὴρ ἐτῶν ὀκτώ, Ἰσσάχαρ ἐτῶν ὀκτώ, Ζαβουλὼν ἐτῶν ἑπτὰ μηνῶν δυοῖν, Δείναν ἐτῶν ἓξ μηνῶν τεσσάρων, Ἰωσὴφ ἐτῶν ἓξ μηνῶν τεσσάρων. (9) παροικῆσαι δὲ Ἰσραὴλ παρὰ Ἐμμὼρ ἔτη δέκα, καὶ φθαρῆναι τὴν Ἰσραὴλ θυγατέρα Δείναν (?) ὑπὸ Συχὲμ τοῦ Ἐμμὼρ υἱοῦ, ἐτῶν οὖσαν δεκαὲξ μηνῶν τεσσάρων. ἐξαλλομένους δὲ τοὺς Ἰσραὴλ υἱούς, Συμεῶνα μὲν ὄντα ἐτῶν εἴκοσι ἑνὸς μηνῶν τεσσάρων, Λευὶν δὲ ἐτῶν εἴκοσι μηνῶν ἕξ, ἀποκτεῖναι τόν τε Ἐμμὼρ καὶ Συχὲμ τὸν υἱὸν αὐτοῦ καὶ πάντας τοὺς ἄρσενας διὰ τὴν Δείνας φθοράν· Ἰακὼβ δὲ τότε εἶναι ἐτῶν ἑκατὸν ἑπτά. (10) ἐλθόντα τε οὖν αὐτὸν εἰς Λουζὰ τῆς Βαιθήλ, φάναι τὸν θεὸν μηκέτι Ἰακὼβ ἀλλ' Ἰσραὴλ ὀνομάζεσθαι. ἐκεῖθεν δὲ ἐλθεῖν εἰς Χαφραθά, ἔνθεν παραγενέσθαι εἰς Ἐφραθά, ἣν εἶναι Βηθλεέμ, καὶ γεννῆσαι αὐτὸν ἐκεῖ Βενιαμίν, καὶ τελευτῆσαι Ῥαχὴλ τεκοῦσαν τὸν Βενιαμίν, συμβιῶσαι δ' αὐτῆι τὸν Ἰακὼβ ἔτη εἴκοσι τρία. (11) αὐτόθεν δὲ ἐλθεῖν τὸν Ἰακὼβ εἰς Μαμβρὶ τῆς Χεβρὼν πρὸς Ἰσαὰκ τὸν πατέρα. εἶναι δὲ τότε τὸν Ἰωσὴφ ἐτῶν δεκαεπτά, καὶ πραθῆναι αὐτὸν εἰς Αἴγυπτον, καὶ ἐν τῶι δεσμωτηρίωι μεῖναι ἔτη δεκατρία, ὥστ' εἶναι αὐτὸν ἐτῶν τριάκοντα, Ἰακὼβ δὲ ἐτῶν ρκ̅, ἐν ὧι καὶ τελευτῆσαι τὸν Ἰσαὰκ ἔτει ἑνὶ ἔμπροσθεν, ἐτῶν ὄντα ἑκατὸν ὀγδοήκοντα.

(12) κρίναντα δὲ τῶι βασιλεῖ τὸν Ἰωσὴφ τὰ ἐνύπνια ἄρξαι Αἰγύπτου ἔτη ἑπτά, ἐν οἷς καὶ συνοικῆσαι Ἀσενέθ, Πεντεφρῆ τοῦ Ἡλιουπόλεως ἱερέως θυγατρί, καὶ γεννῆσαι Μανασσῆν καὶ Ἐφραίμ. καὶ τοῦ λιμοῦ ἐπιγενέσθαι ἔτη δύο. (13) τὸν δὲ Ἰωσὴφ ἔτη ἐννέα εὐτυχήσαντα πρὸς τὸν πατέρα μὴ πέμψαι διὰ τὸ ποιμένα αὐτόν τε καὶ τοὺς ἀδελφοὺς εἶναι· ἐπονείδιστον δὲ Αἰγυπτίοις εἶναι τὸ ποιμαίνειν. ὅτι δὲ διὰ τοῦτο οὐκ ἔπεμψεν, αὐτὸν δεδηλωκέναι· ἐλθόντων γὰρ αὐτοῦ τῶν συγγενῶν, φάναι αὐτοῖς, ἐὰν κληθῶσιν ὑπὸ τοῦ βασιλέως καὶ ἐρωτῶνται τί διαπράσσονται, λέγειν κτηνοτρόφους αὐτοὺς εἶναι. (14) διαπορεῖσθαι δὲ διὰ τί ποτε ὁ Ἰωσὴφ Βενιαμὶν ἐπὶ τοῦ ἀρίστου πενταπλασίονα μερίδα ἔδωκε, μὴ δυναμένου αὐτοῦ τοσαῦτα καταναλῶσαι κρέα. τοῦτο οὖν αὐτὸν πεποιηκέναι διὰ τὸ ἐκ τῆς Λείας τῶι πατρὶ αὐτοῦ γεγονέναι υἱοὺς ἕξ, ἐκ δὲ Ῥαχὴλ τῆς μητρὸς αὐτοῦ δύο· διὰ τοῦτο τῶι Βενιαμὶν πέντε μερίδας

1 ὀκτώ, <Δὰν ἐτῶν ἐννέα μηνῶν ὀκτώ> Freu δέκα I γ' O 2 ἰσσάχαρ O ἰσάχαρ I cf. p. 667, 10 3 δείναν (cf. p. 669, 12): Δάν Mras 4 'post Ἰσραὴλ plura exciderunt' Freu 6 ἐφαλλομένους Freu 10 καὶ ἐλθόντα B τε οὖν αὐτὸν om. B βαιθήλ (-ῆλ) BO βαθήλ I 11 εἰς ἰσραὴλ I 11-12 χαφραθᾶ – ἐφραθᾶ B 13 τελευτῆσαι: θνῆξαι B αὐτῆι om. B 14 μαβρῆ B 15 τὸν om. I 17 ρκ̅' BO ἑκατὸν δέκα I ρκ̅ * * Freu 18 ὄντα om. B 19 τὸν Ἰ. τῶι βασ. O 20 Ασεννεθ θυγατέρα Πετεφρη *Gen.* 41, 45 πεντεφρὴ I 23-24 δι' ὀνείδους εἶναι αἰγυπτίοις B 25 γὰρ (BO) om. I αὐτοῖς: πρὸς αὐτούς B 26 εἶναι * * Freu (p. 45) 27 δήποτε B ὁ om. B πενταπλασίονα I -άσιον BO 29 (p. 669, 1) ἓξ Freu (cf. § 3-5; 10) ἑπτὰ ον

παραθεῖναι, καὶ αὐτὸν λαβεῖν μίαν (?)· γενέσθαι οὖν ἕξ, ὅσας καὶ τοὺς ἐκ τῆς Λείας υἱοὺς λαβεῖν. (15) ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ τὰς στολὰς δοῦναι ἑκάστωι διπλᾶς, τῶι δὲ Βενιαμὶν πέντε καὶ τριακοσίους χρυσοῦς, καὶ τῶι πατρὶ δὲ ἀποστεῖλαι κατὰ ταὐτά, ὥστε τὸν οἶκον αὐτοῦ τῆς μητρὸς εἶναι ἴσον. (16) οἰκῆσαι δὲ αὐτοὺς ἐν γῆι Χαναάν, ἀφ' οὗ ἐκλεγῆναι 'Αβραὰμ ἐκ τῶν ἐθνῶν καὶ μετελθεῖν εἰς Χαναάν, 'Αβραὰμ ἐτῶν εἴκοσι πέντε, 'Ισαὰκ ἐτῶν ἑξήκοντα, 'Ιακὼβ ἐτῶν ἑκατὸν τριάκοντα· <καὶ> γίνεσθαι τὰ πάντα ἔτη ἐν γῆι Χαναὰν σιε. (17) καὶ τῶι τρίτωι ἔτει λιμοῦ οὔσης ἐν Αἰγύπτωι, ἐλθεῖν εἰς Αἴγυπτον τὸν 'Ιακὼβ ὄντα ἐτῶν ἑκατὸν τριάκοντα, 'Ρουβὶν ἐτῶν με, Συμεῶνα ἐτῶν μδ, Λευὶν ἐτῶν μγ, 'Ιούδαν ἐτῶν μβ μηνῶν δύο, <Δὰν ἐτῶν μβ μηνῶν δ>, Νεφθαλεὶμ ἐτῶν μα μηνῶν ζ, Γὰδ ἐτῶν μα μηνῶν τριῶν, 'Ασὴρ ἐτῶν μ μηνῶν ὀκτώ, <'Ισσαχὰρ ἐτῶν μ μηνῶν ὀκτώ>, Ζαβουλὼν ἐτῶν μ, Δείναν (?) ἐτῶν λθ, Βενιαμὶν ἐτῶν κη.

(18) τὸν δὲ 'Ιωσὴφ φησι γενέσθαι ἐν Αἰγύπτωι ἔτη λθ. εἶναι δὲ ἀπὸ 'Αδὰμ ἕως τοῦ εἰσελθεῖν εἰς Αἴγυπτον τοὺς τοῦ 'Ιωσὴφ συγγενεῖς ἔτη γϡκδ, ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τῆς 'Ιακὼβ παρουσίας εἰς Αἴγυπτον ἔτη ατξ· ἀφ' οὗ δὲ ἐκλεγῆναι 'Αβραὰμ ἐκ τῶν ἐθνῶν καὶ ἐλθεῖν ἐκ Χαρρὰν εἰς Χαναὰν ἕως εἰς Αἴγυπτον τοὺς περὶ 'Ιακὼβ ἐλθεῖν ἔτη σιε. (19) 'Ιακὼβ δὲ εἰς Χαρρὰν πρὸς Λάβαν ἐλθεῖν ἐτῶν ὄντα π, καὶ γεννῆσαι Λευίν· Λευὶν δὲ ἐν Αἰγύπτωι ἐπιγενέσθαι ἔτη ιζ, ἀφ' οὗ ἐκ Χαναὰν αὐτὸν ἐλθεῖν εἰς Αἴγυπτον, ὥστε εἶναι αὐτὸν ἐτῶν ξ, καὶ γεννῆσαι Καάθ· τῶι αὐτῶι δὲ ἔτει ὧι γενέσθαι Καάθ, τελευτῆσαι 'Ιακὼβ ἐν Αἰγύπτωι, εὐλογήσαντα τοὺς 'Ιωσὴφ υἱούς, ὄντα ἐτῶν ρμζ, καταλιπόντα 'Ιωσὴφ ὄντα ἐτῶν νς. Λευὶν δὲ γενόμενον ἐτῶν ρλζ τελευτῆσαι, Καὰθ δὲ ὄντα ἐτῶν μ γεννῆσαι 'Αμράμ, ὃν ἐτῶν εἶναι ιδ, ἐν ὧι τελευτῆσαι 'Ιωσὴφ ἐν Αἰγύπτωι ὄντα ρι ἐτῶν· Καὰθ δὲ γενόμενον ἐτῶν ἑκατὸν λγ τελευτῆσαι. 'Αμρὰμ δὲ λαβεῖν γυναῖκα τὴν τοῦ θείου θυγατέρα 'Ιωχαβέτ, καὶ ὄντα ἐνιαυτῶν οε γεννῆσαι 'Ααρὼν [καὶ Μωσῆν]· γεννῆσαι δὲ Μωσῆν τὸν 'Αμρὰμ ὄντα ἐτῶν οη, καὶ γενόμενον 'Αμρὰμ ἐτῶν ἑκατὸν λς τελευτῆσαι.

---

1 μίαν ο (Freu) δύο Vigier, Mras 4 ταῦτα O εἶναι: λαβεῖν? Freu 7 ἐτῶν om. BO <καὶ> Freu 8 οὔσης Iv ὄντος BO 9 ἐτῶν (vor ἐκ.) om. B 9-13 'Ρουβὶν – κη om. B 10 δύο Mras δ. (so!) O τριῶν I <Δὰν – δ> Freu; s. zu v. 12 11 τριῶν: ἕξ Freu 'Ασὴρ – ὀκτώ: vor Νεφθαλεὶμ I 12 <'Ισσ. – ὀκτώ> Freu Δείναν (cf. p. 668, 3): Δὰν Mras 14 ἀπὸ τοῦ ἀδὰμ I 17 ἐκ (vor Χαρρ.) IO ν̇ (ἐν? Mras) B 18 εἰς Freu (cf. § 1-2) ἐκ IO ἐν B 21 (23; 25) Καάθ (*Gen.* 46, 11) Freu κλάθ ον γενέσθαι IO γεννῆσαι B 22 εὐλογήσαντας I 24-28 'Αμράμ Gaisford "Αμβραν Freu 'Αμβράμ Mras 24 ἄμβραν B ἀβραάμ IO[ac] ἀβράμ O[c] (m. 1?) ὧι <ἔτει>? 25 ἐτῶν ρι' O 26 ἄμβραν (ἀμβράν O) δὲ BO ἀβραάμ I 26-28 ἐνιαυτῶν – 'Αμρὰμ om. B 27 [καὶ M.] Mras ἀμβρᾶν O ἀβραὰμ I 28 ἄμβραν O ἀβραὰμ I τελευτῆσαι * * Freu (p. 49)

(20) ταῦτά μοι κείσθω ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ Πολυίστορος γραφῆς· ἑξῆς δ' ἐπισυνήφθω καὶ τάδε (Theodotos 732 F 1).

2 (III 224, 16) Euseb. *P.E.* 9, 29: Δημήτριος δὲ περὶ τῆς ἀναιρέσεως τοῦ Αἰγυπτίου καὶ τῆς διαφορᾶς τῆς πρὸς τὸν μηνύσαντα τὸν τελευτήσαντα ὁμοίως τῶι τὴν Ἱερὰν βίβλον γράψαντι (*Exod.* 2, 11 ff.) ἱστόρησε. φυγεῖν μέντοι γε τὸν Μωσῆν εἰς Μαδιάμ, καὶ συνοικῆσαι ἐκεῖ τῆι Ἰοθὼρ θυγατρὶ Σεπφώραι, ἣν εἶναι (ὅσα στοχάζεσθαι ἀπὸ τῶν ὀνομάτων) τῶν γενομένων ἐκ Χεττούρας, τοῦ Ἀβραὰμ γένους, ἐκ τοῦ Ἰεζὰν τοῦ γενομένου Ἀβραὰμ ἐκ Χεττούρας· ἐκ δὲ τοῦ Ἰεζὰν γενέσθαι Δαδάν, ἐκ δὲ Δαδὰν Ῥαγουήλ, ἐκ δὲ Ῥαγουὴλ Ἰοθὼρ καὶ Ὀβάβ, ἐκ δὲ τοῦ Ἰοθὼρ Σεπφώραν, ἣν γῆμαι Μωσῆν. (2) καὶ τὰς γενεὰς δὲ συμφωνεῖν· τὸν γὰρ Μωσῆν εἶναι ἀπὸ Ἀβραὰμ ἕβδομον, τὴν δὲ Σεπφώραν ἕκτην. συνοικοῦντος γὰρ ἤδη τοῦ Ἰσαάκ, ἀφ' οὗ Μωσῆν εἶναι, γῆμαι Ἀβραὰμ τὴν Χεττούραν ὄντα ἐτῶν ρ̅μ̅, καὶ γεννῆσαι Ἰσαὰρ ἐξ αὐτῆς δεύτερον, τὸν δὲ Ἰσαὰκ ὄντα ἐτῶν ἑκατὸν γεννῆσαι, ὥστε μ̅β̅ ἐτῶν ὕστερον γεγονέναι τὸν Ἰσαάρ, ἀφ' οὗ τὴν Σεπφώραν γεγενεαλογῆσθαι. (3) οὐδὲν οὖν ἀντιπίπτει τὸν Μωσῆν καὶ τὴν Σεπφώραν κατὰ τοὺς αὐτοὺς γεγονέναι χρόνους. κατοικεῖν δ' αὐτοὺς Μαδιὰμ πόλιν, ἣν ἀπὸ ἑνὸς τῶν Ἀβραὰμ παίδων ὀνομασθῆναι. φησὶ γὰρ τὸν Ἀβραὰμ τοὺς παῖδας πρὸς ἀνατολὰς ἐπὶ κατοικίαν πέμψαι· διὰ τοῦτο δὲ καὶ Ἀαρὼν καὶ Μαριὰμ εἰπεῖν ἐν Ἀσηρὼθ Μωσῆν Αἰθιοπίδα γῆμαι γυναῖκα.

3 (III 207) Euseb. *H.E.* 6, 13, 7: μνημονεύει τε (Clem. Al.) .... Φίλωνος (729 T 2; F 4) καὶ Ἀριστοβούλου Ἰωσήπου τε καὶ Δημητρίου καὶ Εὐπολέμου (723 T 2), Ἰουδαίων συγγραφέων, ὡς ἂν τούτων ἁπάντων ἐγγράφως πρεσβύτερον τῆς παρ' Ἕλλησιν ἀρχαιογονίας Μωυσέα τε καὶ τὸ Ἰουδαίων γένος ἀποδειξάντων.

4 (–) Euseb. *P.E.* 9, 29, 15: (§ 4-14 auszüge aus Ἐζεκιῆλος ἐν τῆι Ἐξαγωγῆι) καὶ πάλιν μετ' ὀλίγα· ἐκεῖθεν ἦλθον ἡμέρας τρεῖς, ὡς αὐτός τε ὁ Δημήτριος λέγει καὶ συμφώνως τούτωι ἡ Ἱερὰ βίβλος (*Exod.* 15, 22/7). μὴ ἔχοντα δὲ ὕδωρ ἐκεῖ γλυκὺ ἀλλὰ πικρόν, τοῦ θεοῦ εἰπόντος ξύλον τι ἐμβαλεῖν εἰς τὴν πηγήν, καὶ γενέσθαι γλυκὺ τὸ ὕδωρ. ἐκεῖθεν δὲ εἰς Ἐλεὶμ ἐλθεῖν, καὶ εὑρεῖν ἐκεῖ δώδεκα μὲν πηγὰς ὑδάτων, ἑβδομήκοντα δὲ στελέχη φοινίκων. (Es folgt wieder Ezechiel περὶ τούτων καὶ τοῦ φανέντος ὀρνέου).

5 (–) Euseb. *P.E.* 9, 29, 16: καὶ μετὰ βραχέα· ἐπιζητεῖν δέ τινα, πῶς

---

2 τόδε O 6 μωσέα B Μαδιὰν Steph ἰωθὼ (so!) B 8 (9) ἰεξὰν I (*Gen.* 25, 2-3) ἰοθὼρ O ἰοθὸρ I[c] (m. 1?) 10 ὀβάβ BO ὀβάβ I Ἰωβάβ Freu ἰοθὼρ BO -θὸρ I 9 ἰοθὼρ O ἰοθὸρ I ἰωθὼρ B 12 (14) ἰσάκ O 13 (15) Ἰασὰρ: Ἰεζὰν (lin. 8; 9) Freu 12-15 συνοικ. – γεγεν. om. B οὖν I ἂν O om. B ἀντιπίπτειν? Freu 15 τοίνυν οὐδὲν B 23 τῶν ἰουδαίων ATER 26 ἦλθεν (so!) ἐκεῖθεν B αὐτός τε om. B 29 καὶ om. B ἐλεὶμ I ἐλὶμ B ἐλεὶν O Αιλιμ Sept ἤλιν (R ἤλιν O ἦλιν, ἰλὺν, ὕλην r *elim* Lat) Joseph. *A.J.* 3, 9 30 ἑβδ. δὲ IO καὶ ἑβδ. B

οἱ Ἰσραηλῖται ὅπλα ἔσχον, ἄνοπλοι ἐξελθόντες· ἔφασαν γὰρ τριῶν ἡμερῶν ὁδὸν ἐξελθόντας καὶ θυσιάσαντας πάλιν ἀνακάμψειν. φαίνεται οὖν τοὺς μὴ κατακλυσθέντας τοῖς ἐκείνων ὅπλοις χρήσασθαι.

6 (III 208) Clem. Al. *Strom.* 1, 141, 1: Δημήτριος δέ φησιν ἐν τῶι Περὶ τῶν ἐν τῆι Ἰουδαίαι βασιλέων τὴν Ἰούδα φυλὴν καὶ Βενιαμεὶν καὶ Λευὶ μὴ αἰχμαλωτισθῆναι ὑπὸ τοῦ Σεναχηρείμ, ἀλλ' εἶναι ἀπὸ τῆς αἰχμαλωσίας ταύτης εἰς τὴν ἐσχάτην, ἣν ἐποιήσατο Ναβουχοδονόσορ ἐξ Ἱεροσολύμων, ἔτη ἑκατὸν εἴκοσι ὀκτὼ μῆνας ἕξ. (2) ἀφ' οὗ δὲ αἱ φυλαὶ αἱ δέκα ἐκ Σαμαρείας αἰχμάλωτοι γεγόνασιν ἕως Πτολεμαίου τετάρτου (221-204) ἔτη πεντακόσια ἑβδομήκοντα τρία μῆνας ἐννέα· ἀφ' οὗ δὲ ἐξ Ἱεροσολύμων ἔτη τριακόσια τριάκοντα ὀκτὼ μῆνας τρεῖς.

OHNE AUTORNAMEN

*7 (–) Euseb. *P.E.* 9, 19, 4: τοσαῦτα (Molon 728 F 1) ὁ Πολυίστωρ, οἷς μεθ' ἕτερα ἐπιφέρει λέγων· μετ' οὐ πολὺν δὲ χρόνον τὸν θεὸν τῶι Ἀβραὰμ προστάξαι Ἰσαὰκ τὸν υἱὸν ὁλοκαρπῶσαι αὐτῶι. τὸν δὲ ἀναγαγόντα τὸν παῖδα ἐπὶ τὸ ὄρος πυρὰν νῆσαι, καὶ ἐπιθεῖναι τὸν Ἰσαάκ, σφάζειν δὲ μέλλοντα κωλυθῆναι ὑπὸ ἀγγέλου, κριὸν αὐτῶι πρὸς τὴν κάρπωσιν παραστήσαντος. τὸν δὲ Ἀβραὰμ τὸν μὲν παῖδα καθελεῖν ἀπὸ τῆς πυρᾶς, τὸν δὲ κριὸν καρπῶσαι.

—. PSEUDO-HEKATAIOS c. 167ª

ΠΕΡΙ ΙΟΥΔΑΙΩΝ — ΚΑΤ ΑΒΡΑΜΟΝ ΚΑΙ ΤΟΥΣ ΑΙΓΥΠΤΙΟΥΣ

264 F 21-24.

723. EUPOLEMOS 158/7ª

T

1 I. Makk. 8, 17: καὶ ἐπελέξατο Ἰούδας τὸν Εὐπόλεμον υἱὸν Ἰωάννου (a. 161 τοῦ Ἄκκως καὶ Ἰάσονα υἱὸν Ἐλεαζάρου, καὶ ἀπέστειλεν αὐτοὺς εἰς Ῥώμην στῆσαι φιλίαν καὶ συμμαχίαν . . . (19) καὶ ἐπορεύθησαν εἰς Ῥώμην, . . . καὶ εἰσήλθοσαν εἰς τὸ βουλευτήριον, καὶ ἀπεκρίθησαν, καὶ εἶπον· (20) <<Ἰούδας ὁ καὶ Μακκαβαῖος καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ τὸ πλῆθος τῶν Ἰουδαίων ἀπέστειλαν ἡμᾶς πρὸς ὑμᾶς στῆσαι μεθ' ὑμῶν συμμαχίαν καὶ εἰρήνην καὶ γραφῆναι ἡμᾶς

2 ἐξελθόντες καὶ θυσιάσαντες Steph, Mras φαίνεται Steph φαίνονται O 4-11: zahlen korrupt und nicht sicher herzustellen; s. Komm. 9 τετάρτου: τοῦ τρίτου Freu ἑβδόμου Mendelssohn 10 δὲ <αἱ>? Mendelssohn 13-18: D. vermutlich mit recht zugewiesen von Freu 13 ὁ Πολυίστωρ IO οὗτος B 14-18 οἷς – καρπῶσαι om. B 24 ἐπελέξατο SV^{+} -ξεν r 25 αχχως A 26 στῆσαι S^{1}La^{+} στῆσαι αὐτοῖς r 27 καὶ εἶπον om. A^{+} 28 ἀπέστειλεν S^{+}

συμμάχους καὶ φίλους ὑμῶν››. (21) καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον αὐτῶν. (22) καὶ τοῦτο τὸ ἀντίγραφον τῆς ἐπιστολῆς, ἧς ἀντέγραψαν ἐπὶ δέλτοις χαλκαῖς, καὶ ἀπέστειλαν εἰς Ἱερουσαλὴμ εἶναι παρ' αὐτοῖς ἐκεῖ μνημόσυνον εἰρήνης καὶ συμμαχίας. (23-32 das aktenstück). II. Makk. 4, 11; Joseph. *A.J.* 12, 415 ff.

2 Euseb. *H.E.* 6, 13, 7: μνημονεύει τε (Clemens) . . . καὶ Εὐπολέμου, Ἰουδαίων συγγραφέων, ... S. 722 F 3.

3 Joseph. *c. Ap.* 1, 218 (Euseb. *P.E.* 9, 42, 3): ὁ μέντοι [Φαληρεὺς] Δημήτριος (722 T 1) καὶ Φίλων ὁ πρεσβύτερος (729) καὶ Εὐπόλεμος οὐ πολὺ τῆς ἀληθείας διήμαρτον· οἷς συγγιγνώσκειν ἄξιον· οὐ γὰρ ἐνῆν αὐτοῖς μετὰ πάσης ἀκριβείας τοῖς ἡμετέροις γράμμασι παρακολουθεῖν. S. 737 F 1.

F

ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΗΙ ΙΟΥΔΑΙΑΙ ΒΑΣΙΛΕΩΝ

1 (III 220, 13) **a**) Euseb. *P.E.* 9, 25, 4: καὶ περὶ Μωσέως δὲ ὁ αὐτὸς (Alex. Pol. 273 F 19a) πάλιν πλεῖστα παρατίθεται, ὧν καὶ αὐτῶν ἐπακοῦσαι ἄξιον· (26, 1) Εὐπόλεμος δέ φησι τὸν Μωσῆν πρῶτον σοφὸν γενέσθαι, καὶ γράμματα παραδοῦναι τοῖς Ἰουδαίοις πρῶτον, παρὰ δὲ Ἰουδαίων Φοίνικας παραλαβεῖν, Ἕλληνας δὲ παρὰ Φοινίκων. νόμους τε πρῶτον Μωσῆν γράψαι τοῖς Ἰουδαίοις. **b**) Clem. Al. *Strom.* 1, 153, 4: Εὐπόλεμος δὲ ἐν τῶι Περὶ τῶν ἐν τῆι Ἰουδαίαι βασιλέων τὸν Μωυσῆ φησι πρῶτον σοφὸν γενέσθαι, καὶ γραμματικὴν πρῶτον τοῖς Ἰουδαίοις παραδοῦναι, καὶ παρὰ Ἰουδαίων — Φοινίκων.

2 (III 225, 18) **a**) Clem. Al. *Strom.* 1, 130, 3: Ἀλέξανδρος δὲ ὁ Πολυίστωρ ἐπικληθεὶς ἐν τῶι Περὶ Ἰουδαίων συγγράμματι (273 F 19b) ἀνέγραψέν τινας ἐπιστολὰς Σολομῶνος μὲν πρός τε Οὐάφρην τὸν Αἰγύπτου βασιλέα πρός τε τὸν Φοινίκης Τυρίων τάς τε αὐτῶν πρὸς Σολομῶντα, καθ' ἃς δείκνυται ὁ μὲν Οὐάφρης ὀκτὼ μυριάδας ἀνδρῶν Αἰγυπτίων ἀπεσταλκέναι αὐτῶι εἰς οἰκοδομὴν τοῦ νεώ, ἅτερος δὲ τὰς ἴσας σὺν ἀρχιτέκτονι Τυρίωι ἐκ μητρὸς Ἰουδαίας ἐκ τῆς φυλῆς Δαβίδ, ὡς ἐκεῖ γέγραπται, Ὑπέρων τοὔνομα. **b**) Euseb. *P.E.* 9, 30: Εὐπόλεμος δέ φησιν ἐν † τινι περὶ τῆς Ἠλίου προφη-

---

1 ἐνώπιον: ἐνάντιον SV   2 ἐπιστολῆς: γραφῆς A   8-11: 'interpolation' Th. Reinach   10 οἷς — ἄξιον om. Eus (BO)   13 ἐν τῶι Περὶ Ἰουδαίων 724 F 1 § 2   14-19: Cram. *A.O.* IV p. 245, 20 (Georgios Hamartolos)   15 πάλιν om. IO   16 μωσῆν I μωυσῆν B μωσέα G ('O undeutlich' Mras)   18 Μωσῆν γράψαι BO γρ. M. I   19 τοὺς ἰουδαίους B   20 τῶν ἐν L[1]mg   τῆι ἰουδαίαι L[1] τῆς ἰουδαίας L*   25-27 Οὐάφρην — Οὐάφρης Syl οὐαφρην — οὐαφρης L   29 Δαβίδ (L Eus) '$\overline{\Delta \text{Α} \Delta}$ (cf. p. 673, 5) alter fehler für ΔΑΝ' Stählin   Ὑπέρων: 'missverständnis der worte ὑπὲρ ὧν ἂν αὐτὸν ἐρωτήσῃς' (b c. 34, 2) Stählin   30 ἐν † τινι (buchzahl) πρὸ τῆς Ἠλεί?   ἠλεὶ BI ἠλιοῦ O

τείας Μωσῆν προφητεῦσαι ἔτη μ̄· εἶτα Ἰησοῦν τὸν τοῦ Ναυῆ υἱὸν ἔτη λ̄· βιῶσαι δὲ αὐτὸν ἔτη ρῑ, πῆξαί τε τὴν ἱερὰν σκηνὴν ἐν Σιλοῖ. μετὰ δὲ ταῦτα προφήτην γενέσθαι Σαμουήλ. (2) εἶτα τῆι τοῦ θεοῦ βουλήσει ὑπὸ Σαμουὴλ Σαοῦλον βασιλέα αἱρεθῆναι, ἄρξαντα δὲ ἔτη κᾱ τελευτῆσαι. (3) εἶτα Δαβὶδ τὸν τούτου υἱὸν δυναστεῦσαι, ὃν καταστρέψασθαι Σύρους τοὺς παρὰ τὸν Εὐφράτην οἰκοῦντας ποταμὸν καὶ τὴν Κομμαγηνὴν καὶ τοὺς ἐν Γαλαδηνῆι Ἀσσυρίους καὶ Φοίνικας· στρατεῦσαι δ' αὐτὸν καὶ ἐπὶ Ἰδουμαίους καὶ Ἀμμανίτας καὶ Μωαβίτας καὶ Ἰτουραίους καὶ Ναβαταίους καὶ Ναβδαίους. (4) αὖθις δὲ ἐπιστρατεῦσαι ἐπὶ Σούρωνα βασιλέα Τύρου καὶ Φοινίκης, οὓς καὶ ἀναγκάσαι φόρους Ἰουδαίοις ὑποτελεῖν· πρός τε Οὐαφρῆν τὸν Αἰγυπτίων βασιλέα φιλίαν συνθέσθαι. (5) βουλόμενόν τε τὸν Δαβὶδ οἰκοδομῆσαι ἱερὸν τῶι θεῶι, ἀξιοῦν τὸν θεὸν τόπον αὐτῶι δεῖξαι τοῦ θυσιαστηρίου. ἔνθα δὴ ἄγγελον αὐτῶι ὀφθῆναι ἑστῶτα ἐπάνω τοῦ τόπου, οὗ τὸν βωμὸν ἱδρῦσθαι ἐν Ἱεροσολύμοις, καὶ κελεύειν αὐτὸν μὴ ἱδρῦσαι τὸ ἱερὸν διὰ τὸ αἵματι ἀνθρωπίνωι πεφύρθαι καὶ πολλὰ ἔτη πεπολεμηκέναι· εἶναι δ' αὐτῶι ὄνομα Διαναθάν. (6) προστάξαι τε αὐτῶι τοῦτον ὅπως τῶι υἱῶι ἐπιτρέψηι τὴν οἰκοδομίαν, αὐτὸν δὲ εὐτρεπίζειν τὰ πρὸς τὴν κατασκευὴν ἀνήκοντα – χρυσίον, ἀργύριον, χαλκόν, λίθους, ξύλα κυπαρίσσινα καὶ κέδρινα. (7) ἀκούσαντα δὲ τὸν Δαβὶδ πλοῖα ναυπηγήσασθαι ἐν Ἐλάνοις πόλει τῆς Ἀραβίας, καὶ πέμψαι μεταλλευτὰς εἰς τὴν Οὐρφῆ νῆσον κειμένην ἐν τῆι Ἐρυθρᾶι θαλάσσηι, μέταλλα χρυσικὰ ἔχουσαν· καὶ τὸ χρυσίον ἐκεῖθεν μετακομίσαι τοὺς μεταλλευτὰς εἰς τὴν Ἰουδαίαν. (8) βασιλεύσαντα δὲ τὸν Δαβὶδ ἔτη μ̄ Σολομῶνι τῶι υἱῶι τὴν ἀρχὴν παραδοῦναι ὄντι ἐτῶν ιβ̄ ἐνώπιον Ἠλεὶ τοῦ ἀρχιερέως καὶ τῶν ιβ φυλάρχων, καὶ παραδοῦναι αὐτῶι τόν τε χρυσὸν καὶ ἄργυρον καὶ χαλκὸν καὶ λίθον καὶ ξύλα κυπαρίσσινα καὶ κέδρινα. καὶ αὐτὸν μὲν τελευτῆσαι, Σολομῶνα δὲ βασιλεύειν, καὶ γράψαι πρὸς Οὐαφρῆν τὸν Αἰγύπτου βασιλέα τὴν ὑπογεγραμμένην ἐπιστολήν.

(31) Βασιλεὺς Σολομῶν Οὐαφρῆι βασιλεῖ Αἰγύπτου φίλωι πατρικῶι χαίρειν. γίνωσκέ με παρειληφότα τὴν βασιλείαν παρὰ Δαβὶδ τοῦ πατρὸς διὰ τοῦ θεοῦ

2 σηλοῖ I Σηλοῖ * * Freu (verkürzung Alexanders) 4 σαοῦλον OI σαοὺλ B 5 Δαβίδ: Δαδ Hss (stets) υἱὸν OI ('irrtum des Eupol.-Alex.' Mras) γαμβρὸν B 6 ἐφράτην BO οἰκ. ποτ. om. B ἐν τῆι Γαλαδηνῆι BO cf. F 5 p. 678, 4 7 ἰδουμαίους OI ἰουδαίους B 8 μωαμίτας I 10 ὑποτελεῖν I ἐπιτελεῖν O τελεῖν B οὐααφρὴν O (öfter) Αἰγυπτίων v -ιον o 14 ἱδρῦσαι Freu ἱδρύσθαι o ἱδρῦσθαι Ddf ἱδρύεσθαι Mras ἱδρύσασθαι? 15-22 εἶναι – Ἰουδαίαν om. B 15 Διαναθάν: (ἄγγελον αὐτῶι ἔπεμψε) διὰ Νάθαν (cf. p. 675, 13) Freu ('missverständnis Alexanders' Herzfeld) 16 ἐπιτρέψη I -ψει O 19 Ἐλάνοις: Αἰλάνοις Holste 20 οὐρφῆ I οὐρφεῖ O Οὐφρῆ? Freu 24 τάν τε I τὸν ἄργυρον καὶ τὸν χαλκὸν B 25 κυπαρίττινα B 25-26 Σολομῶνα – γράψαι OI ἐπὶ Σολομῶνι βασιλεῖ γράψαντι B 26 τήνδε τὴν (om. ὑπογ.) B 28 οὐαφρῆ BI οὐααφρῆ O 29 διὰ θεοῦ B

τοῦ μεγίστου, καὶ ἐπιτεταχότος μοι οἰκοδομῆσαι ἱερὸν τῶι θεῶι, ὃς τὸν οὐρανὸν καὶ τὴν γῆν ἔκτισεν· ἅμα δέ σοι γράψαι ἀποστεῖλαί μοι τῶν παρὰ σοῦ λαῶν, οἳ παραστήσονταί μοι μέχρι τοῦ ἐπιτελέσαι πάντα κατὰ τὴν χρείαν, καθότι ἐπιτέτακται.

(32) Βασιλεὺς Οὐαφρῆς Σολομῶνι βασιλεῖ μεγάλωι χαίρειν. ἅμα τῶι ἀναγνῶναι τὴν παρὰ σοῦ ἐπιστολὴν σφόδρα ἐχάρην, καὶ λαμπρὰν ἡμέραν ἤγαγον ἐγώ τε καὶ ἡ δύναμίς μου πᾶσα ἐπὶ τῶι παρειληφέναι σε τὴν βασιλείαν παρὰ χρηστοῦ ἀνδρὸς καὶ δεδοκιμασμένου ὑπὸ τηλικούτου θεοῦ. περὶ δὲ ὧν γράφεις μοι περὶ τῶν κατὰ τοὺς λαοὺς τοὺς παρ' ἡμῖν, ἀπέσταλκά σοι μυριάδας ὀκτώ, ὧν καὶ τὰ πλήθη ἐξ ὧν εἰσι διασεσάφηκά σοι· ἐκ μὲν τοῦ Σεθρωίτου νομοῦ μυρίους, ἐκ δὲ τοῦ Μενδησίου καὶ Σεβεννύτου δισμυρίους, <ἐκ δὲ τοῦ> Βουσιρίτου, Λεοντοπολίτου καὶ 'Αθριβίτου ἀνὰ μυρίους. φρόντισον δὲ καὶ τὰ δέοντα αὐτοῖς καὶ τὰ ἄλλα ὅπως εὐτακτῆι, καὶ ἵνα ἀποκατασταθῶσιν εἰς τὴν ἰδίαν ὡς ἂν ἀπὸ τῆς χρείας γενόμενοι.

(33) Βασιλεὺς Σολομῶν Σούρωνι τῶι βασιλεῖ Τύρου καὶ Σιδῶνος καὶ Φοινίκης φίλωι πατρικῶι χαίρειν. γίνωσκέ με παρειληφότα τὴν βασιλείαν παρὰ Δαβὶδ τοῦ πατρὸς διὰ τοῦ θεοῦ τοῦ μεγίστου, ἐπιτεταχότος μοι οἰκοδομῆσαι ἱερὸν τῶι θεῶι, ὃς τὸν οὐρανὸν καὶ τὴν γῆν ἔκτισεν, ἅμα δὲ καί σοι γράψαι ἀποστεῖλαί μοι τῶν παρὰ σοῦ λαῶν, οἳ συμπαραστήσονται ἡμῖν μέχρι τοῦ ἐπιτελέσαι τὴν τοῦ θεοῦ χρείαν, καθότι μοι ἐπιτέτακται. γέγραφα δὲ καὶ εἰς τὴν Γαλιλαίαν καὶ Σαμαρεῖτιν καὶ Μωαβῖτιν καὶ 'Αμμανῖτιν καὶ Γαλαδῖτιν χορηγεῖσθαι αὐτοῖς τὰ δέοντα ἐκ τῆς χώρας, κατὰ μῆνα κόρους σίτου μυρίους (ὁ δὲ κόρος ἐστὶν ἀρταβῶν ἕξ) καὶ οἴνου κόρους μυρίους (ὁ δὲ κόρος τοῦ οἴνου ἐστὶ μέτρα δέκα). τὸ δὲ ἔλαιον καὶ τὰ ἄλλα χορηγηθήσεται αὐτοῖς ἐκ τῆς 'Ιουδαίας, ἱερεῖα δὲ εἰς κρεοφαγίαν ἐκ τῆς 'Αραβίας.

(34) Σούρων Σολομῶνι βασιλεῖ μεγάλωι χαίρειν. εὐλογητὸς ὁ θεός, ὃς τὸν οὐρανὸν καὶ τὴν γῆν ἔκτισεν, ὃς εἵλετο ἄνθρωπον χρηστὸν ἐκ χρηστοῦ ἀνδρός. ἅμα τῶι ἀναγνῶναι τὴν παρὰ σοῦ ἐπιστολὴν σφόδρα ἐχάρην, καὶ εὐλόγησα τὸν θεὸν ἐπὶ τῶι παρειληφέναι σε τὴν βασιλείαν. περὶ δὲ ὧν γράφεις μοι περὶ τῶν κατὰ τοὺς λαοὺς τοὺς παρ' ἡμῖν, ἀπέσταλκά σοι Τυρίων καὶ Φοινίκων ὀκτακισμυρίους. καὶ ἀρχιτέκτονά σοι ἀπέσταλκα ἄνθρωπον Τύριον ἐκ μητρὸς 'Ιουδαίας

---

1 [καὶ] (cf. lin. 17) Mras ἐπιτεταχότος BI -τι O 5 οὐαφρῆς I -ρῆν B οὐααφρῆς O ἅμα τὸ I 8-9 γράφεις – ἡμῖν OI ἔγραψάς μοι λαῶν B 10 <καὶ> ἐξ ὧν? Mras Σεθρωίτου Kuhlmey σεβριθίτου (συ- B) o νόμου o 11 <ἀνὰ> δισμυρίους? <ἐκ δὲ τοῦ> Mue 12 'Αθριβίτου Holste βαθριθίτου I βαθριοίτου O βαθροιίτου B 13 καὶ ἵνα OI ἵνα τε B 14 γενόμενοι Vigier -ένης o 17 διὰ θεοῦ τοῦ μεγάλου B διὰ θεοῦ μεγίστου O <καὶ> ἐπιτεταχότος (N; cf. lin. 1) Ddf 21 ἀμανῖτιν I 21-22 καὶ Γαλαδῖτιν om. B 22 κατὰ κόρους O 25 κρεοφαγίαν B κρεω- I[c]O 26 σολομῶνι I -ντι BO 26-27 τὴν γ. καὶ τ. οὐ. I 28 περὶ σοῦ B

ἐκ τῆς φυλῆς τῆς Δάν· ὑπὲρ ὧν ἂν αὐτὸν ἐρωτήσῃς τῶν ὑπὸ τὸν οὐρανὸν πάντων [καὶ ἀρχιτεκτονίαν], ὑφηγήσεταί σοι καὶ ποιήσει. περὶ δὲ τῶν δεόντων καὶ ἀποστελλομένων σοι παίδων, καλῶς ποιήσεις ἐπιστείλας τοῖς κατὰ τόπον ἐπάρχοις, ὅπως χορηγῆται τὰ δέοντα.

(2) διελθὼν δὲ Σολομῶν, ἔχων τοὺς πατρικοὺς φίλους, ἐπὶ τὸ ὄρος τὸ τοῦ Λιβάνου μετὰ τῶν Σιδωνίων καὶ Τυρίων, μετήνεγκε τὰ ξύλα τὰ προκεκομμένα ὑπὸ τοῦ πατρὸς αὐτοῦ διὰ τῆς θαλάσσης εἰς Ἰόππην, ἐκεῖθεν δὲ πεζῆι εἰς Ἱεροσόλυμα· καὶ ἄρξασθαι οἰκοδομεῖν τὸ ἱερὸν τοῦ θεοῦ ὄντα ἐτῶν τρισκαίδεκα. ἐργάζεσθαι δὲ τὰ ἔθνη τὰ προειρημένα, καὶ φυλὰς δώδεκα τῶν Ἰουδαίων [καὶ] παρέχειν ταῖς ἑκκαίδεκα μυριάσι τὰ δέοντα πάντα, κατὰ μῆνα φυλὴν μίαν. θεμελιῶσαί τε τὸν ναὸν τοῦ θεοῦ μῆκος πηχῶν ξ, πλάτος πηχῶν ξ, τὸ δὲ πλάτος τῆς οἰκοδομῆς καὶ τῶν θεμελίων πηχῶν δέκα· οὕτω γὰρ αὐτῶι προστάξαι Νάθαν τὸν προφήτην τοῦ θεοῦ. (3) οἰκοδομεῖν δὲ ἐναλλὰξ δόμον λίθινον καὶ ἔνδεσμον κυπαρίσσινον, πελεκίνοις χαλκοῖς ταλαντιαίοις καταλαμβάνοντα τοὺς δύο δόμους· οὕτω δ' αὐτὸν οἰκοδομήσαντα ξυλῶσαι ἔσωθεν κεδρίνοις ξύλοις καὶ κυπαρισσίνοις, ὥστε τὴν λιθίνην οἰκοδομὴν μὴ φαίνεσθαι. χρυσῶσαί τε τὸν ναὸν ἔσωθεν χωνεύοντα πλινθία χρυσᾶ πενταπήχη, καὶ προστιθέναι προσηλοῦντα ἥλοις ἀργυροῖς, ταλαντιαίοις τὴν ὁλκήν, μαστοειδέσι τὸν ῥυθμόν, τέσσαρσι δὲ τὸν ἀριθμόν. (4) οὕτω δ' αὐτὸν χρυσῶσαι ἀπὸ ἐδάφους ἕως τῆς ὀροφῆς· τό τε ὀρόφωμα ποιῆσαι ἐκ φατνωμάτων χρυσῶν, τὸ δὲ δῶμα ποιῆσαι χαλκοῦν ἀπὸ κεραμίδων χαλκῶν, χαλκὸν χωνεύσαντα καὶ τοῦτον καταχέαντα. ποιῆσαι δὲ δύο στύλους χαλκοῦς, καὶ καταχρυσῶσαι αὐτοὺς χρυσίωι ἀδόλωι, δακτύλου τὸ πάχος. (5) εἶναι δὲ τοὺς στύλους τῶι ναῶι ἰσομεγέθεις, τὸ δὲ πλάτος κύκλωι ἕκαστον κίονα πηχῶν δέκα· στῆσαι δὲ αὐτοὺς τοῦ οἴκου ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ εὐωνύμων. ποιῆσαι δὲ καὶ λυχνίας χρυσᾶς δέκα, τάλαντον ἑκάστην ὁλκὴν ἀγούσας, ὑπόδειγμα λαβόντα τὴν ὑπὸ Μωσέως ἐν τῆι σκηνῆι τοῦ μαρτυρίου τεθεῖσαν. στῆσαι δ' ἐξ ἑκατέρου μέρους τοῦ σηκοῦ τὰς μὲν ἐκ δεξιῶν, τὰς δὲ ἐξ εὐωνύμων. (6) ποιῆσαι δ' αὐτὸν καὶ λύχνους χρυσοῦς ō, ὥστε καίεσθαι ἐφ' ἑκάστης λυχνίας ἑπτά. οἰκο-

---

1 Δάν Freu δαβίδ ον 2 [καὶ ἀρχ.] Freu <τῶν> κατ' ἀρχ. Vigier κατ' ἀρχ. Mras δεόντων τῶν Freu [δ. καὶ]? 3 ἐπιστείλας I ἀπέστειλας B ἀποστείλας O 5 σολομὼν εἰς λίβανον ἀπελθὼν κεκόμικεν εἰς Ἱλημ̄ τὰ ξύλα ἃ ὁ πατὴρ αὐτοῦ προέτεμεν. διελθὼν B τὸ ὄρος τοῦ I 7 ἰόπην O 9 φυλῆς I 10 [καὶ] Vigier 11 ff.: s. Mras p. 542 zu den abweichungen von der Bibel 11 τε om. B πλάτος πηχῶν ξ (I) om. BO ὕψος π. ξ o. πλάτος π. κ̄ Freu 13 Νάθαν: cf. p. 673, 15; 676, 30 14-15 καταλαμβάνοντα Freu -τας o 15 ἔσωθεν BO (cf. *I. Kön.* 6, 15) εὔωθεν I ἔξωθεν Steph 17 χωνεύοντα Freu χωννύντα o 18 ταλαντιαίοις ἀργυροῖς O 19 τεσσ. – ἀριθμόν (IO) om. B 23 δακτύλου Freu -λωι o 24 ἰσομεγέθει I στῆναι I 26 χρυσᾶς δέκα, τάλαντον Freu χρ. δ. τάλαντα o δέκα, <δέκα> τάλαντα Seguier

δομῆσαι δὲ καὶ τὰς πύλας τοῦ ἱεροῦ, καὶ κατακοσμῆσαι χρυσίωι καὶ ἀργυρίωι, καὶ καταστεγάσαι φατνώμασι κεδρίνοις καὶ κυπαρισσίνοις. (7) ποιῆσαι δὲ καὶ κατὰ τὸ πρὸς βορρᾶν μέρος τοῦ ἱεροῦ στοάν, καὶ στύλους αὐτῆι ὑποστῆσαι χαλκοῦς μ̅η̅. κατασκευάσαι δὲ καὶ λουτῆρα χαλκοῦν μῆκος πηχῶν κ̅ καὶ πλάτος πηχῶν κ̅, τὸ δὲ ὕψος πηχῶν ε̅· ποιῆσαι δὲ ἐπ' αὐτῶι στεφάνην πρὸς τὴν βάσιν ἔξω ὑπερέχουσαν πῆχυν ἕνα πρὸς τὸ τοὺς ἱερεῖς τούς τε πόδας προσκλύζεσθαι καὶ τὰς χεῖρας νίπτεσθαι ἐπιβαίνοντας· ποιῆσαι δὲ καὶ τὰς βάσεις τοῦ λουτῆρος τορευτὰς (?) χωνευτὰς δώδεκα [καὶ] τῶι ὕψει ἀνδρομήκεις, καὶ στῆσαι ἐξ ὑστέρου μέρους ὑπὸ τὸν λουτῆρα ἐκ δεξιῶν τοῦ θυσιαστηρίου. (8) ποιῆσαι δὲ καὶ βάσιν χαλκῆν τῶι ὕψει πηχῶν δυοῖν κατὰ τὸν λουτῆρα, ἵν' ἐφεστήκηι ἐπ' αὐτῆς ὁ βασιλεύς, ὅταν προσεύχηται, ὅπως ὀπτάνηται τῶι λαῶι τῶν Ἰουδαίων. οἰκοδομῆσαι δὲ καὶ τὸ θυσιαστήριον πηχῶν κ̅ ἐπὶ πήχεις κ̅, τὸ δὲ ὕψος πηχῶν δώδεκα. (9) ποιῆσαι δὲ καὶ δακτυλίους δύο χαλκοῦς ἁλυσιδωτούς, καὶ στῆσαι αὐτοὺς ἐπὶ μηχανημάτων ὑπερεχόντων τῶι ὕψει τὸν ναὸν πήχεις κ̅, καὶ σκιάζειν ἐπάνω παντὸς τοῦ ἱεροῦ· καὶ προσκρεμάσαι ἑκάστηι δικτύι κώδωνας χαλκοῦς ταλαντιαίους τετρακοσίους· καὶ ποιῆσαι ὅλας τὰς δικτύας πρὸς τὸ ψοφεῖν τοὺς κώδωνας καὶ ἀποσοβεῖν τὰ ὄρνεα, ὅπως μὴ καθίζηι ἐπὶ τοῦ ἱεροῦ, μηδὲ νοσσεύηι ἐπὶ τοῖς φατνώμασι τῶν πυλῶν καὶ στοῶν, καὶ μολύνηι τοῖς ἀποπατήμασι τὸ ἱερόν.

(10) περιβαλεῖν δὲ καὶ τὰ Ἱεροσόλυμα τὴν πόλιν τείχεσι καὶ πύργοις καὶ τάφροις. οἰκοδομῆσαι δὲ καὶ βασίλεια ἑαυτῶι. (11) προσαγορευθῆναι δὲ τὸ ἀνάκτορον πρῶτον μὲν ἱερὸν Σολομῶνος, ὕστερον δὲ παρεφθαρμένως τὴν πόλιν ἀπὸ τοῦ ἱεροῦ Ἱερουσαλὴμ ὀνομασθῆναι, ὑπὸ δὲ τῶν Ἑλλήνων φερωνύμως Ἱεροσόλυμα λέγεσθαι.

(12) συντελέσαντα δὲ τὸ ἱερὸν καὶ τὴν πόλιν τειχίσαντα ἐλθεῖν εἰς Σηλώμ, καὶ θυσίαν τῶι θεῶι εἰς ὁλοκάρπωσιν προσαγαγεῖν βοῦς χιλίους. λαβόντα δὲ τὴν σκηνὴν καὶ τὸ θυσιαστήριον καὶ τὰ σκεύη, ἃ ἐποίησε Μωσῆς, εἰς Ἱεροσόλυμα ἐνεγκεῖν, καὶ ἐν τῶι οἴκωι θεῖναι. (13) καὶ τὴν κιβωτὸν δὲ καὶ τὸν βωμὸν τὸν χρυσοῦν καὶ τὴν λυχνίαν καὶ τὴν τράπεζαν καὶ τὰ ἄλλα σκεύη ἐκεῖ καταθέσθαι, καθὼς προστάξαι αὐτῶι τὸν προφήτην. προσαγαγεῖν δὲ τῶι θεῶι θυσίαν μυρίαν, πρόβατα δισχίλια, μόσχους τρισχιλίους πεντακοσίους. (14)

---

2 κυπαριττίνοις B 8 ταύρους χωνευτούς Freu [καὶ] Jac 8-21 καὶ στῆσαι – ἑαυτῶι om. B 10 δυεῖν I 12 πηχῶν κ̅ Kuhlmey (cf. *II. Chron.* 4, 1; Joseph. *c. Ap.* 1, 198 = Ps. Hekat. 264 F 21; *A.J.* 8, 88) πηχῶν κ̅ε̅ O 13 δώδεκα: δέκα *II. Chron.* 4, 1; Joseph. *l.l.* δακτυλίους: δίκτυα Seguier 14-15 * * καὶ σκιάζειν Freu ὡς σκ.? 15-16 κώδωνας χρυσοῦς τετραχ. εἰς τὰ δύο δίκτυα *II. Chron.* 4, 13 16 ὅλους τοὺς δικτύους O κοιλὰς τ. δ.? Freu 17 ἐπικαθίζη O 21-22 πρῶτον μὲν τὸ ἀνάκτορον (i.e. der tempel) I τὰ ἀνάκτορα B 24 λέγεσθαι om. B 30 καταθέσθαι BO κατατίθεσθαι I προσέταξεν αὐ. ὁ προφήτης (§ 2) B

τὸ δὲ σύμπαν χρυσίον τὸ εἰς τοὺς δύο στύλους καὶ τὸν ναὸν καταχρησθὲν εἶναι τάλαντα μυριάδων υ̅ξ̅· εἰς δὲ τοὺς ἥλους καὶ τὴν ἄλλην κατασκευὴν ἀργυρίου τάλαντα χίλια διακόσια τριάκοντα δύο· χαλκοῦ δὲ εἰς τοὺς κίονας καὶ τὸν λουτῆρα καὶ τὴν στοὰν τάλαντα μυρία ὀκτακισχίλια πεντήκοντα. (15) ἀποπέμψαι δὲ τὸν Σολομῶνα καὶ τοὺς Αἰγυπτίους καὶ τοὺς Φοίνικας, ἑκάστους εἰς τὴν ἑαυτῶν, ἑκάστωι χρυσοῦ σίκλους δόντα δέκα· τὸ δὲ τάλαντον εἶναι σίκλον. (16) καὶ τῶι μὲν Αἰγύπτου βασιλεῖ Οὐαφρῆι ἐλαίου μετρητὰς μυρίους, φοινικοβαλάνων ἀρτάβας χιλίας, μέλιτος δὲ ἀγγεῖα ἑκατὸν καὶ ἀρώματα πέμψαι· τῶι δὲ Σούρωνι εἰς Τύρον πέμψαι τὸν χρυσοῦν κίονα τὸν ἐν Τύρωι ἀνακείμενον ἐν τῶι ἱερῶι τοῦ Διός. (Es folgen Theophilos 733 F 1 und Eupolemos F 3).

3 (III 228, 20) EUSEB. *P.E.* 9, 34, 20: ποιῆσαι δέ φησιν ὁ Εὐπόλεμος τὸν Σολομῶνα καὶ ἀσπίδας χρυσᾶς χιλίας, ὧν ἑκάστην πεντακοσίων εἶναι χρυσῶν. βιῶσαι δὲ αὐτὸν ἔτη πεντήκοντα δύο, ὧν ἐν εἰρήνηι βασιλεῦσαι ἔτη μ̅.

4 (III 208) CLEM. AL. *Strom.* 1, 141, 4: (Philon 729 T 2) ἔτι δὲ καὶ Εὐπόλεμος ἐν τῆι ὁμοίαι πραγματείαι τὰ πάντα ἔτη φησὶν ἀπὸ Ἀδὰμ ἄχρι τοῦ πέμπτου ἔτους Δημητρίου βασιλείας (158/7), Πτολεμαίου τὸ δωδέκατον βασιλεύοντος Αἰγύπτου (159/8), συνάγεσθαι ἔτη ερμθ· ἀφ' οὗ δὲ χρόνου ἐξήγαγε Μωυσῆς τοὺς Ἰουδαίους ἐξ Αἰγύπτου ἐπὶ τὴν προειρημένην προθεσμίαν, συνάγεσθαι ἔτη [δισ]χίλια πεντακόσια ὀγδοήκοντα. ἀπὸ δὲ τοῦ χρόνου τούτου ἄχρι τῶν ἐν Ῥώμηι ὑπάτων † γαίου δομετιανοῦ κασιανοῦ συναθροίζεται ἔτη ἑκατὸν εἴκοσι.

OHNE AUTORNAMEN

***5** (III 229, 24) EUSEB. *P.E.* 9, 39: (Aristeas *Ep. ad Phil.* 88-90) ἐπὶ τούτοις καὶ τῆς Ἱερεμίου προφητείας τοῦ Πολυίστορος (273 F 19a) μνήμην πεποιημένου .... κείσθω τοίνυν καὶ αὕτη·

(2) εἶτα Ἰωναχείμ· ἐπὶ τούτου προφητεῦσαι Ἱερεμίαν τὸν προφήτην. τοῦτον ὑπὸ τοῦ θεοῦ ἀποσταλέντα καταλαβεῖν τοὺς Ἰουδαίους θυσιάζοντας εἰδώλωι χρυσῶι, ὧι εἶναι ὄνομα Βάαλ. (3) τοῦτον δὲ αὐτοῖς τὴν μέλλουσαν ἀτυχίαν δηλῶσαι· τὸν δὲ Ἰωναχεὶμ ζῶντα αὐτὸν ἐπιβαλέσθαι κατακαῦσαι· τὸν δὲ φάναι τοῖς ξύλοις τούτοις Βαβυλωνίοις ὀψοποιήσειν, καὶ σκάψειν τὰς τοῦ Τίγριδος καὶ Εὐφράτου διώρυχας αἰχμαλωτισθέντας. (4) τὸν δὲ τῶν Βαβυλωνίων βασιλέα ἀκούσαντα Ναβουχοδονόσορ τὰ ὑπὸ τοῦ Ἱερεμίου προ-

---

1 δύο om. O καταχρισθὲν BO 2 μυριάδων υ̅ξ̅: μυριάδων τετρακισμυρίων ἑξήκοντα B μυρία καί? Mue [μυριάδων] oder υξ' missdeutet in ‚υξ Freu 4 μυρία B μύρια OI 6 χρυσίου σίκλας B 7 οὐα(α)φρῆ I(O) οὐασφρῆ B 13 ὧν I ὃν BO 17-18 [Πτολ. – Αἰγ.] (zusatz des Clemens aus Julius Cassianus) Gutschmid 20 [δισ]χίλια Clinton 21 Καίσαρος Δομετιανοῦ καὶ Σαβίνου Syl Γναίου Δομετίου καὶ Ἀσινίου (40ᵃ) Freu Γναίου Δομετίου καὶ Ἀσινίου ὑπὸ Κασσιανοῦ Gutschmid 26 αὔτη I αὐτή O 27-p. 678, 8: Eup. zugewiesen in den überschriften von BIO, Freu u.a. 29 βάαλ BI βαάλ O 30-31 ὀψοποιῆσαι B 31 ἐφράτου BO

μαντευθέντα παρακαλέσαι 'Αστιβάρην τὸν Μήδων βασιλέα συστρατεύειν αὐτῶι. (5) παραλαβόντα δὲ Βαβυλωνίους καὶ Μήδους, καὶ συναγαγόντα πεζῶν μὲν ὀκτωκαίδεκα, ἱππέων δὲ μυριάδας δώδεκα καὶ [πεζῶν] ἅρματα μυρία, πρῶτον μὲν τὴν Σαμαρεῖτιν καταστρέψασθαι καὶ Γαλιλαίαν καὶ Σκυθόπολιν καὶ τοὺς ἐν τῆι Γαλαδίτιδι οἰκοῦντας 'Ιουδαίους, αὖθις δὲ τὰ 'Ιεροσόλυμα παραλαβεῖν, καὶ τὸν 'Ιουδαίων βασιλέα 'Ιωναχειμ ζωγρῆσαι. τὸν δὲ χρυσὸν τὸν ἐν τῶι ἱερῶι καὶ ἄργυρον καὶ χαλκὸν ἐκλέξαντα εἰς Βαβυλῶνα ἀποστεῖλαι χωρὶς τῆς κιβωτοῦ καὶ τῶν ἐν αὐτῆι πλακῶν· ταύτην δὲ τὸν 'Ιερεμίαν κατασχεῖν (es folgen citate aus Josephos [= Berossos 680 F 8] und Abydenos).

724. ANONYMOS (PSEUDO-EUPOLEMOS) s. II^?

1 (III 211, 3) Euseb. *P.E.* 9, 17: ταῦτα ὁ 'Ιώσηπος (*A.J.* 1, 158 ff. = 737 F 2). συνάιδει δὲ τούτοις καὶ ὁ Πολυίστωρ 'Αλέξανδρος (273 F 19a)..., ὅς ἐν τῆι Περὶ 'Ιουδαίων συντάξει τὰ κατὰ τὸν 'Αβραὰμ τοῦτον ἱστορεῖ κατὰ λέξιν τὸν τρόπον· (2) Εὐπόλεμος δὲ ἐν τῶι Περὶ 'Ιουδαίων τῆς 'Ασσυρίας φησὶ πόλιν Βαβυλῶνα πρῶτον μὲν κτισθῆναι ὑπὸ τῶν διασωθέντων ἐκ τοῦ κατακλυσμοῦ. εἶναι δὲ αὐτοὺς γίγαντας, οἰκοδομεῖν δὲ τὸν ἱστορούμενον πύργον· πεσόντος δὲ τούτου ὑπὸ τῆς τοῦ θεοῦ ἐνεργείας, τοὺς γίγαντας διασπαρῆναι καθ' ὅλην τὴν γῆν. (3) δεκάτηι δὲ γενεᾶι φησὶν ἐν πόλει τῆς Βαβυλωνίας Καμαρίνηι, ἥν τινας λέγειν πόλιν Οὐρίην (εἶναι δὲ μεθερμηνευομένην Χαλδαίων πόλιν), [ἐν τρισκαιδεκάτηι] γενέσθαι 'Αβραὰμ [γενεᾶι], εὐγενείαι καὶ σοφίαι πάντας ὑπερβεβηκότα, ὃν δὴ καὶ τὴν ἀστρολογίαν † καὶ Χαλδαικὴν εὑρεῖν, ἐπί τε τὴν εὐσέβειαν ὁρμήσαντα εὐαρεστῆσαι τῶι θεῶι. (4) τοῦτον δὲ διὰ τὰ προστάγματα τοῦ θεοῦ εἰς Φοινίκην ἐλθόντα κατοικῆσαι, καὶ τροπὰς ἡλίου καὶ σελήνης καὶ τὰ ἄλλα πάντα διδάξαντα τοὺς Φοίνικας εὐαρεστῆσαι τῶι βασιλεῖ αὐτῶν. ὕστερον δὲ 'Αρμενίους ἐπιστρατεῦσαι τοῖς Φοίνιξι· νικησάντων δὲ καὶ αἰχμαλωτισαμένων τὸν ἀδελφιδοῦν αὐτοῦ, τὸν 'Αβραὰμ μετὰ οἰκετῶν βοηθήσαντα ἐγκρατῆ γενέσθαι τῶν αἰχμαλωτισθέντων, καὶ τῶν πολεμίων αἰχμαλωτίσαι τέκνα καὶ γυναῖκας. (5) πρέσβεων δὲ παραγενομένων πρὸς αὐτόν, ὅπως χρήματα λαβὼν ἀπολυτρώσηι ταῦτα, μὴ προελέσθαι τοῖς δυστυχοῦσιν ἐπεμβαίνειν, ἀλλὰ τὰς τροφὰς λαβόντα τῶν νεανίσκων ἀποδοῦναι τὰ

---

3 [πεζῶν] Vigier 4 γαλαδίτιδι I γαλααδίτιδι B γαλατίδι O; cf. Γαλαδηνή F 2 p. 673, 6 5 ἰωναχειμ B ἰωνακειμ IO 6 ἐκλέξαντα Freu -τας ο 13 'Ευπ. – 'Ιουδ.: s. Komm. 14 φησὶ I φησὶν (hinter δὲ lin. 13) BO 17 δεκάτηι: cf. Berossos 680 F 6 18 καμαρίνη ἣν B 19 [ἐν τρισκ.] γ. 'A. [γενεᾶι] Jac ἐν τοίνυν δεκάτηι Freu <ἢ> ἐν τρισκαιδεκάτηι Mras 20 τὴν Χαλδαικὴν Daehne καὶ X. (*scil.* ἐπιστήμην o.ä. Freu) Gifford [καὶ X.] glossem zu ἀστρολογίαν (cf. § 4; 8; F 2)? 21 τῶι om. B 22 <ἐκεῖ> κατοικῆσαι? 24 'Αρμενίους: 'Ασσυρίους Joseph. *A.J.* 1, 171 ff. 25 ἀδελφιδοῦν B ἀδελφιδὸν IO ἀδελφὸν (cf. *Gen.* 14, 16) ς συγγενής Jos 26 αἰχμαλωτισθέντων Jac -τισαμένων ο 26-p. 679, 1 καὶ τῶν – αἰχμάλωτα om. B

αἰχμάλωτα. ξενισθῆναί τε αὐτὸν ὑπὸ πόλεως ἱερὸν Ἀργαριζίν, ὃ εἶναι μεθερμηνευόμενον ὄρος ὑψίστου, παρὰ δὲ τοῦ Μελχισεδὲκ ἱερέως ὄντος τοῦ θεοῦ καὶ βασιλεύοντος λαβεῖν δῶρα. (6) λιμοῦ δὲ γενομένου, τὸν Ἀβραὰμ ἀπαλλαγῆναι εἰς Αἴγυπτον πανοικίαι, κἀκεῖ κατοικεῖν, τήν τε γυναῖκα αὐτοῦ τὸν βασιλέα τῶν Αἰγυπτίων γῆμαι, φάντος αὐτοῦ ἀδελφὴν εἶναι. (7) περισσότερον δ' ἱστόρησεν, ὅτι οὐκ ἠδύνατο αὐτῆι συγγενέσθαι, καὶ ὅτι συνέβη φθείρεσθαι αὐτοῦ τὸν λαὸν καὶ τὸν οἶκον. μάντεις δὲ αὐτοῦ καλέσαντος, τοῦτο φάναι, μὴ εἶναι χήραν τὴν γυναῖκα· τὸν δὲ βασιλέα τῶν Αἰγυπτίων οὕτως ἐπιγνῶναι, ὅτι γυνὴ ἦν τοῦ Ἀβραάμ, καὶ ἀποδοῦναι αὐτὴν τῶι ἀνδρί. (8) συζήσαντα δὲ τὸν Ἀβραὰμ ἐν Ἡλιουπόλει τοῖς Αἰγυπτίων ἱερεῦσι πολλὰ μεταδιδάξαι αὐτούς, καὶ τὴν ἀστρολογίαν καὶ τὰ λοιπὰ τοῦτον αὐτοῖς εἰσηγήσασθαι, φάμενον Βαβυλωνίους ταῦτα καὶ αὐτὸν εὑρηκέναι, τὴν δὲ εὕρεσιν αὐτῶν εἰς Ἐνὼχ ἀναπέμπειν, καὶ τοῦτον εὑρηκέναι πρῶτον τὴν ἀστρολογίαν, οὐκ Αἰγυπτίους. (9) Βαβυλωνίους γὰρ λέγειν πρῶτον γενέσθαι Βῆλον, ὃν εἶναι Κρόνον· ἐκ τούτου δὲ γενέσθαι Βῆλον (?) καὶ Χάμ· τοῦτον δὲ τὸν Χαναὰν γεννῆσαι τὸν πατέρα τῶν Φοινίκων· τούτου δὲ Χοὺμ υἱὸν γενέσθαι, ὃν ὑπὸ τῶν Ἑλλήνων λέγεσθαι Ἄσβολον, πατέρα δὲ Αἰθιόπων, ἀδελφὸν δὲ τοῦ Μεστραείμ, πατρὸς Αἰγυπτίων. Ἕλληνας δὲ λέγειν τὸν Ἄτλαντα εὑρηκέναι ἀστρολογίαν· εἶναι δὲ τὸν Ἄτλαντα τὸν αὐτὸν καὶ Ἐνώχ. τοῦ δὲ Ἐνὼχ γενέσθαι υἱὸν Μαθουσάλαν, ὃν πάντα δι' ἀγγέλων θεοῦ γνῶναι, καὶ ἡμᾶς οὕτως ἐπιγνῶναι.

2 (III 212, 4) EUSEB. *P.E.* 9, 18, 2: (Artapanos 726 F 1) ἐν δὲ ἀδεσπότοις εὕρομεν τὸν Ἀβραὰμ ἀναφέροντα εἰς τοὺς γίγαντας. τούτους δὲ οἰκοῦντας ἐν τῆι Βαβυλωνίαι διὰ τὴν ἀσέβειαν ὑπὸ τῶν θεῶν ἀναιρεθῆναι, ὧν ἕνα Βῆλον ἐκφεύγοντα τὸν θάνατον ἐν Βαβυλῶνι κατοικῆσαι, πύργον τε κατασκευάσαντα ἐν αὐτῶι διαιτᾶσθαι, ὃν δὴ ἀπὸ τοῦ κατασκευάσαντος Βήλου Βῆλον ὀνομασθῆναι. τὸν δὲ Ἄβραμον τὴν ἀστρολογικὴν ἐπιστήμην παιδευθέντα πρῶτον μὲν ἐλθεῖν εἰς Φοινίκην καὶ τοὺς Φοίνικας ἀστρολογίαν διδάξαι, ὕστερον δὲ εἰς Αἴγυπτον παραγενέσθαι. (Es folgt Molon 728 F 1).

---

1 <εἰς> ἱερὸν? Gifford Ἱερὸν? ἀργαρίζειν B 1-2 μεθερμηνευόμενον I -θὲν BO 2-3 παρὰ – δῶρα om. B 4-5 τῶν αἰγυπτίων OI αἰγύπτου B 5-6 περισσότερον – αὐτῆι OI οὐκ ἠδύνατο δ' αὐτῆι B 6-7 καὶ ὅτι – φάναι OI φθειρομένου τοῦ λαοῦ αὐτοῦ καὶ τοῦ οἴκου, μάντεις δ' αὐτοῦ κεκληκότος εἶπον B 7 τοῦτο I τούτους O χῆραν εἶναι B 8-9 τῶν – ἀνδρί OI γνόντα γαμετὴν αὐτὴν ἀβραὰμ ἀποδοῦναι τούτωι B 12 αὐτὸν Steph αὐτὸν OI 9-13 συζήσαντα – Αἰγυπτίους om. B 14-15 ὃν – Βῆλον om. B 15 βῆλον I βῆλον (om. B) εἰς αἴγυπτον (B)O Χάμ Bochart χαναάν o τὸν <Χάμ> Χαναὰν Gutschmid 16 τοῦτον B Χοὺμ I χοῦν BO καὶ Χοῦν Bochart Χοὺς Gutschmid 17 τούτου Μεστραείμ Gutschmid πατρὸς ς πατέρα o 19 μαθουσάλαν I -σάλα BO 21-24 ἐν – θάνατον om. B 24 ἕνα – τε OI τίς βῆλος ὀνόματι κατοικῆσαι ἐν βαβ. π. τε B 27 ἀστρολογίαν διδάξαι I ἀστρολογεῖν διδ. O οὓς καὶ διδ. ταύτην B

725. ARISTEAS

s. II

ΠΕΡΙ ΙΟΥΔΑΙΩΝ

1 (III 220) Euseb. *P.E.* 9, 25: ἄκουε δὲ οἷα καὶ περὶ τοῦ Ἰὼβ ὁ αὐτὸς (Alex. Pol. 273 F 19a) ἱστορεῖ. Ἀριστέας δέ φησιν ἐν τῶι Περὶ Ἰουδαίων τὸν Ἠσαῦ γήμαντα Βασσάραν ἐν Ἐδὼμ γεννῆσαι Ἰώβ· κατοικεῖν δὲ τοῦτον ἐν τῆι Αὐσίτιδι χώραι ἐπὶ τοῖς ὅροις τῆς Ἰδουμαίας καὶ Ἀραβίας. (2) γενέσθαι δ' αὐτὸν δίκαιον καὶ πολύκτηνον· κτήσασθαι γὰρ αὐτὸν πρόβατα μὲν ἑπτακισχίλια, καμήλους δὲ τρισχιλίας, ζεύγη βοῶν πεντακόσια, ὄνους θηλείας νομάδας πεντακοσίας· εἶχε δὲ καὶ γεωργίας ἱκανάς. (3) τοῦτον δὲ τὸν Ἰὼβ πρότερον Ἰωβὰβ ὀνομάζεσθαι. πειράζοντα δ' αὐτὸν τὸν θεὸν ἐμμεῖναι, μεγάλαις δὲ περιβαλεῖν αὐτὸν ἀτυχίαις. πρῶτον μὲν γὰρ αὐτοῦ τούς τε ὄνους καὶ τοὺς βοῦς ὑπὸ ληιστῶν ἀπελαθῆναι· εἶτα τὰ πρόβατα ὑπὸ πυρὸς ἐκ τοῦ οὐρανοῦ πεσόντος κατακαῆναι σὺν τοῖς ποιμέσι· μετ' οὐ πολὺ δὲ καὶ τὰς καμήλους ὑπὸ ληιστῶν ἀπελαθῆναι· εἶτα τὰ τέκνα αὐτοῦ ἀποθανεῖν, πεσούσης τῆς οἰκίας· αὐθημερὸν δὲ αὐτοῦ καὶ τὸ σῶμα ἑλκῶσαι. (4) φαύλως δὲ αὐτοῦ διακειμένου, ἐλθεῖν εἰς ἐπίσκεψιν Ἐλίφαν τὸν Θαιμανιτῶν βασιλέα καὶ Βαλδὰδ τὸν Σαυχαίων τύραννον καὶ Σωφὰρ τὸν Μινναίων βασιλέα· ἐλθεῖν δὲ καὶ Ἐλιοῦν τὸν Βαραχιὴλ τὸν Ζωβίτην. παρακαλούμενον δὲ φάναι καὶ χωρὶς παρακλήσεως ἐμμενεῖν αὐτὸν ἔν τε τῆι εὐσεβείαι καὶ τοῖς δεινοῖς. τὸν δὲ θεὸν ἀγασθέντα τὴν εὐψυχίαν αὐτοῦ τῆς τε νόσου αὐτὸν ἀπολῦσαι, καὶ πολλῶν κύριον ὑπάρξεων ποιῆσαι.

τοσαῦτα καὶ περὶ τούτων ὁ Πολυίστωρ.

726. ARTAPANOS

Vor Alex. P

ΠΕΡΙ ΙΟΥΔΑΙΩΝ (ΙΟΥΔΑΙΚΑ)

1 (III 212, 4) Euseb. *P.E.* 9, 18, 1: (Anonymos 724 F 1) Ἀρτάπανος δέ φησιν ἐν τοῖς Ἰουδαικοῖς τοὺς μὲν Ἰουδαίους ὀνομάζεσθαι Ἑρμιούθ, ὃ εἶναι μεθερμηνευθὲν κατὰ τὴν Ἑλληνίδα φωνὴν Ἰουδαῖοι· καλεῖσθαι δὲ

1-2: verfasser identisch mit dem Ἀριστέας (Mras Ἀρισταίας B Ἀρισταῖος IO), aus dessen βιβλίον Περὶ τῆς ἑρμηνείας τοῦ τῶν Ἰουδαίων νόμου Euseb. *P.E.* 9, 38 einen abschnitt Ἀρισταίου (so BIO) Περὶ τῶν ἐν Ἱερουσαλὴμ ὑδάτων ausschreibt? 3-4 οἷα – ἱστορεῖ OI καὶ τὰ περὶ Ἰὼβ μετὰ Ἰωσήφ B 5 ἠσαῦ I βασσάραν B -ρας O -ρας υἱὸν I; cf. *Gen.* 36; *Job* 42, 17c ἰὼβ υἱόν I 6 ἰδουμαίας I ἰουδαίας BO 10 ἰωβὰβ (*Job* 42, 17d) BO ἰωβὰμ I 11-12 τάς τε ὄνους? 12 ἀπελαθῆναι I ἀπολέσθαι BO 12-13 ὑπὸ – πεσόντος OI ὑπουρανίου πυρὸς B 15-18 φαύλως – Ζωβίτην om. B Ελιφας τῶν Ησαυ υἱῶν Θαιμανων βασιλεύς *Job* 42, 17e 16 θεμανιτῶν O 17 σαυχέων O σοφὰρ O 18 Ζωβίτην o Βωζίτην Freu (cf. Βουζιτης *Job* 32, 2; 6) 18-19 καὶ ὑπὸ τῶν φίλων παρακαλούμενον ἐμμένειν B 19 ἐμμενεῖν v ἐμμένειν o αὐτὸν Steph, v

αὐτοὺς Ἑβραίους ἀπὸ Ἀβραάμου. τοῦτον δέ φησι πανοικίαι ἐλθεῖν εἰς Αἴγυπτον πρὸς τὸν τῶν Αἰγυπτίων βασιλέα Φαρεθώθην, καὶ τὴν ἀστρολογίαν αὐτὸν διδάξαι. μείναντα δὲ ἔτη ἐκεῖ εἴκοσι πάλιν εἰς τοὺς κατὰ Συρίαν ἀπαλλαγῆναι τόπους· τῶν δὲ τούτωι συνελθόντων πολλοὺς ἐν Αἰγύπτωι καταμεῖναι διὰ τὴν εὐδαιμονίαν τῆς χώρας. (Anonymos 724 F 2).

2 (III 219, 10) Euseb. *P.E.* 9, 23: τούτοις καὶ τὰ ἑξῆς περὶ τοῦ Ἰωσὴφ ἐκ τῆς αὐτῆς τοῦ Πολυΐστορος γραφῆς (273 F 19a) ἐπισυνήφθω.

Ἀρτάπανος δέ φησιν ἐν τῶι Περὶ Ἰουδαίων τῶι Ἀβραὰμ Ἰωσὴφ ἀπόγονον γενέσθαι, υἱὸν δὲ Ἰακώβου. συνέσει δὲ καὶ φρονήσει παρὰ τοὺς ἄλλους διενεγκόντα ὑπὸ τῶν ἀδελφῶν ἐπιβουλευθῆναι· προειδόμενον δὲ τὴν ἐπισύστασιν δεηθῆναι τῶν ἀστυγειτόνων Ἀράβων εἰς τὴν Αἴγυπτον αὐτὸν διακομίσαι, τοὺς δὲ τὸ ἐντυγχανόμενον ποιῆσαι· εἶναι γὰρ τοὺς τῶν Ἀράβων βασιλεῖς ἀπογόνους Ἰσραήλ, υἱοὺς τοῦ Ἀβραάμ, Ἰσαὰκ δὲ ἀδελφούς. (2) ἐλθόντα δὲ αὐτὸν εἰς τὴν Αἴγυπτον καὶ συσταθέντα τῶι βασιλεῖ διοικητὴν τῆς ὅλης γενέσθαι χώρας. καὶ πρότερον ἀτάκτως τῶν Αἰγυπτίων γεωμορούντων διὰ τὸ τὴν χώραν ἀδιαίρετον εἶναι καὶ τῶν ἐλασσόνων ὑπὸ τῶν κρεισσόνων ἀδικουμένων, τοῦτον πρῶτον τήν τε γῆν διελεῖν, καὶ ὅροις διασημήνασθαι, καὶ πολλὴν χερσευομένην γεωργήσιμον ἀποτελέσαι, καί τινας τῶν ἀρουρῶν τοῖς ἱερεῦσιν ἀποκληρῶσαι. τοῦτον δὲ καὶ μέτρα εὑρεῖν, καὶ μεγάλως αὐτὸν ὑπὸ τῶν Αἰγυπτίων διὰ ταῦτα ἀγαπηθῆναι. (3) γῆμαι δ' αὐτὸν Ἡλιουπολίτου ἱερέως Ἀσενὲθ θυγατέρα, ἐξ ἧς γεννῆσαι παῖδας. μετὰ δὲ ταῦτα παραγενέσθαι πρὸς αὐτὸν τόν τε πατέρα καὶ τοὺς ἀδελφοὺς κομίζοντας πολλὴν ὕπαρξιν, καὶ κατοικισθῆναι ἐν τῆι Ἡλίου πόλει καὶ Σαίν (?), καὶ τοὺς Σύρους πλεονάσαι ἐν τῆι Αἰγύπτωι. τούτους δέ φησι καὶ τὸ ἐν Ἀθὼς καὶ τὸ ἐν Ἡλιουπόλει ἱερὸν κατασκευάσαι τοὺς Ἑρμιοὺθ ὀνομαζομένους. (4) μετὰ δὲ ταῦτα τελευτῆσαι † τόν τε Ἰωσὴφ καὶ τὸν βασιλέα τῶν Αἰγυπτίων. τὸν οὖν Ἰωσὴφ κρατοῦντα τῆς Αἰγύπτου τὸν τῶν ἐτῶν ἑπτὰ σῖτον γενόμενον κατὰ τὴν φορὰν ἄπλετον παραθέσθαι, καὶ τῆς Αἰγύπτου δεσπότην γενέσθαι.

---

2 Φαρεθώθην: -ώνην Steph 4 τούτων I 6 ἑξῆς om. BO 6-7 τοῦ, τῆς αὐτῆς, γραφῆς om. B 7 ἐπισυνῆφθαι I 8 ἀρταπάνος O 10 προειδόμενον: προιδ- Ddf 11 δεηθῆναι BO[c] (?) δεθῆναι I δειχθῆναι O[1] 12 δὲ τὸ ἐντ.: δ' οὕτω B 13 Ἰσραήλ – ἀδελφούς (cf. Molon 728 F 1 § 2?): Ἰσμαήλ, υἱοῦ – ἀδελφοῦ (cf. *Gen.* 16, 15) Gaisford 15-19 καὶ – εὑρεῖν om. B 20 ἡλιουπολίτου om. B 21 Ἀσενὲθ v ἀσσενὲθ OI ἀσενεθὲμ B[ac] ἀσεκεθὲμ B[1] ἐξ – ταῦτα om. B παραγενέσθαι δὲ B 23 τῆι om. B ἡλίου πόλει BO πόλει I καὶ σαίν I καὶ σαεὶ O om. B Καισὰν Steph καὶ Σάει Gifford, Mras καὶ Σάν (= Tanis) Freu ἐν πόλει καλουμένηι Σάν (o. Κεσσὰν)? cf. F 3 § 2 24 τούτους OI τοῦτον B ἐν Ἀθὼς καὶ τὸ om. B ἐν Πειθῶι (cf. v.l. *Exod.* 1, 11) Seguier 25-26 τοὺς Ἑ. – Αἰγυπτίων om. B 26 τὸν ἰωσὴφ I τόν τε Ἀβραὰμ o. Ἰακὼβ (F 3 § 1)? Αἰγυπτίων * * Freu 27-28 τὸν τῶν – παραθέσθαι om. B 27 ἐτῶν om. I ἄπλητα O

3 (III 220, 14) **a)** EUSEB. *P.E.* 9, 27 (ΕΚΛ. ΙΣΤ. Cram. *A.P.* II 180, 19 ff.): (Eupolemos 723 F 1a) Ἀρτάπανος δέ φησιν ἐν τῆι Περὶ Ἰουδαίων, Ἀβραὰμ τελευτήσαντος καὶ τοῦ υἱοῦ αὐτοῦ [Μεμψασθενώθ], ὁμοίως δὲ καὶ <Μεμψασθενὼθ> τοῦ βασιλέως τῶν Αἰγυπτίων, τὴν δυναστείαν παραλαβεῖν τὸν υἱὸν αὐτοῦ Παλμανώθην. (2) τοῦτον δὲ τοῖς Ἰουδαίοις φαύλως προσφέρεσθαι· καὶ πρῶτον μὲν τὴν † Τέσσαν οἰκοδομῆσαι, τό τε ἐπ' αὐτῆι ἱερὸν καθιδρύσασθαι, εἶτα τὸν ἐν Ἡλιουπόλει ναὸν κατασκευάσαι. (3) τοῦτον δὲ γεννῆσαι θυγατέρα Μέρριν, ἣν Χενεφρῆι τινι κατεγγυῆσαι, τῶν ὑπὲρ Μέμφιν τόπων βασιλεύοντι (πολλοὺς γὰρ τότε τῆς Αἰγύπτου βασιλεύειν)· ταύτην δὲ στεῖραν ὑπάρχουσαν ὑποβαλέσθαι τινὸς τῶν Ἰουδαίων παιδίον, τοῦτο δὲ Μώυσον ὀνομάσαι· ὑπὸ δὲ τῶν Ἑλλήνων αὐτὸν [ἀνδρωθέντα] Μουσαῖον προσαγορευθῆναι. (4) γενέσθαι δὲ τὸν Μώυσον τοῦτον Ὀρφέως διδάσκαλον. ἀνδρωθέντα δ' αὐτὸν πολλὰ τοῖς ἀνθρώποις εὔχρηστα παραδοῦναι· καὶ γὰρ πλοῖα καὶ μηχανὰς πρὸς τὰς λιθοθεσίας καὶ τὰ Αἰγύπτια ὅπλα καὶ τὰ ὄργανα τὰ ὑδρευτικὰ καὶ πολεμικὰ καὶ τὴν φιλοσοφίαν ἐξευρεῖν. ἔτι δὲ τὴν πόλιν εἰς λ̅ς̅ νομοὺς διελεῖν, καὶ ἑκάστωι τῶν νομῶν ἀποτάξαι τὸν θεὸν σεφθήσεσθαι, τά τε ἱερὰ γράμματα τοῖς ἱερεῦσιν· εἶναι δὲ καὶ αἰλούρους καὶ κύνας καὶ ἴβεις· ἀπονεῖμαι δὲ καὶ τοῖς ἱερεῦσιν ἐξαίρετον χώραν. (5) ταῦτα δὲ πάντα ποιῆσαι χάριν τοῦ τὴν μοναρχίαν βεβαίαν τῶι Χενεφρῆι διαφυλάξαι· πρότερον γὰρ ἀδιατάκτους ὄντας τοὺς ὄχλους ποτὲ μὲν ἐκβάλλειν, ποτὲ δὲ καθιστάνειν βασιλεῖς, καὶ πολλάκις μὲν τοὺς αὐτούς, ἐνιάκις δὲ ἄλλους. (6) διὰ ταῦτα οὖν τὸν Μώυσον ὑπὸ τῶν ὄχλων ἀγαπηθῆναι, καὶ ὑπὸ τῶν ἱερέων ἰσοθέου τιμῆς καταξιωθέντα προσαγορευθῆναι Ἑρμῆν διὰ τὴν τῶν ἱερῶν γραμμάτων ἑρμηνείαν. (7) τὸν δὲ Χενεφρῆν ὁρῶντα τὴν ἀρετὴν τοῦ Μωύσου φθονῆσαι αὐτῶι, καὶ ζητεῖν αὐτὸν ἐπ' εὐλόγωι αἰτίαι τινὶ ἀνελεῖν· καὶ δή ποτε τῶν Αἰθιόπων ἐπιστρατευσαμένων τῆι Αἰγύπτωι τὸν Χενεφρῆν ὑπολαβόντα εὑρηκέναι καιρὸν εὔθετον πέμψαι τὸν Μώυσον ἐπ' αὐτοὺς στρατηγὸν μετὰ δυνάμεως· τὸ δὲ τῶν γεωργῶν αὐτῶι συστῆσαι πλῆθος, ὑπολαβόντα ῥαιδίως αὐτὸν διὰ τὴν τῶν στρατιωτῶν ἀσθένειαν ὑπὸ τῶν πολεμίων ἀναιρεθήσεσθαι. (8) τὸν δὲ Μώυσον ἐλθόντα ἐπὶ τὸν Ἑρμοπολίτην ὀνομαζόμενον νομόν, ἔχοντα περὶ δέκα μυριάδας γεωργῶν, αὐτοῦ καταστρατοπεδεῦσαι· πέμψαι δὲ στρατηγοὺς τοὺς προκαθεδουμένους τῆς χώρας, οὓς δὴ πλεονεκτεῖν ἐπιφανῶς κατὰ τὰς μάχας. λέγειν δέ φησιν Ἡλιουπολίτας γενέσθαι τὸν πόλεμον τοῦτον ἔτη δέκα. (9)

2-p. 686, 21 om. B   3-4 Μεμψασθενώθ transp. Freu   6 τέσσαν IO Κεσσὰν Steph τε Σάιν (cf. F 2 § 3) Mras   8 Μερρὶ u. Μερρίνη Chron. Pasch. p. 116   Χενεφρῆι: cf. Manetho 609 F 2-3 (Dyn. II 9)? Χενεβρὼν u. Χενεφρὼν Chron. Pasch.   11 [ἀνδρ.] Freu   15 πόλιν: s. 342 F 18   16 νόμους und νόμων o   17 καὶ (vor αἰλούρους) om. O   ἴβεις I ἴβις O   19 γὰρ om. I   23 ἀξιωθέντα O   25 τινὶ αἰτίαι O   28 γεωργῶν O γονέων I   30 νόμον IO   31 καταστρατεῦσαι I

τοὺς οὖν περὶ τὸν Μώυσον διὰ τὸ μέγεθος τῆς στρατιᾶς πόλιν ἐν τούτωι κτίσαι τῶι τόπωι, καὶ τὴν ἶβιν ἐν αὐτῆι καθιερῶσαι διὰ τὸ ταύτην τὰ βλάπτοντα ζῶια τοὺς ἀνθρώπους ἀναιρεῖν· προσαγορεῦσαι δὲ αὐτὴν Ἑρμοῦ πόλιν. (10) οὕτω δὴ τοὺς Αἰθίοπας καίπερ ὄντας πολεμίους στέρξαι τὸν Μώυσον, ὥστε καὶ τὴν περιτομὴν τῶν αἰδοίων παρ' ἐκείνου μαθεῖν· οὐ μόνον δὲ τούτους ἀλλὰ καὶ τοὺς ἱερεῖς ἅπαντας.

(11) τὸν δὲ Χενεφρῆν λυθέντος τοῦ πολέμου, λόγωι μὲν αὐτὸν ἀποδέξασθαι, ἔργωι δὲ ἐπιβουλεύειν. παρελόμενον γοῦν αὐτοῦ τοὺς ὄχλους τοὺς μὲν ἐπὶ τὰ ὅρια τῆς Αἰθιοπίας πέμψαι προφυλακῆς χάριν, τοῖς δὲ προστάξαι τὸν ἐν Διὸς πόλει ναὸν ἐξ ὀπτῆς πλίνθου κατεσκευασμένον καθαιρεῖν, ἕτερον δὲ λίθινον κατασκευάσαι, τὸ πλησίον ὄρος λατομήσαντας· τάξαι δὲ ἐπὶ τῆς οἰκοδομίας ἐπιστάτην Ναχέρωτα. (12) τὸν δὲ ἐλθόντα μετὰ Μωύσου εἰς Μέμφιν πυθέσθαι παρ' αὐτοῦ, εἴ τι ἄλλο ἐστὶν εὔχρηστον τοῖς ἀνθρώποις, τὸν δὲ φάναι γένος τῶν βοῶν διὰ τὸ τὴν γῆν ὑπὸ τούτων ἀροῦσθαι· τὸν δὲ Χενεφρῆν προσαγορεύσαντα ταῦρον Ἆπιν, κελεῦσαι ἱερὸν αὐτοῦ τοὺς ὄχλους καθιδρύσασθαι, καὶ τὰ ζῶια τὰ καθιερωθέντα ὑπὸ τοῦ Μωύσου κελεύειν ἐκεῖ φέροντας θάπτειν, κατακρύπτειν θέλοντα τὰ τοῦ Μωύσου ἐπινοήματα. (13) ἀποξενωσάντων δὲ αὐτὸν τῶν Αἰγυπτίων, ὁρκωμοτῆσαι τοὺς φίλους, μὴ ἐξαγγεῖλαι τῶι Μωύσωι τὴν ἐπισυνισταμένην αὐτῶι ἐπιβουλήν, καὶ προβαλέσθαι τοὺς ἀναιρήσοντας αὐτόν. (14) μηδενὸς δ' ὑπακούσαντος, ὀνειδίσαι τὸν Χενεφρῆν Χανεθώθην τὸν μάλιστα προσαγορευόμενον ὑπ' αὐτοῦ, τὸν δὲ ὀνειδισθέντα ὑποσχέσθαι τὴν ἐπίθεσιν, λαβόντα καιρόν. (15) ὑπὸ δὲ τοῦτον τὸν καιρὸν τῆς Μέρριδος τελευτησάσης, ὑποσχέσθαι τὸν Χενεφρῆν τῶι τε Μωύσωι καὶ τῶι Χανεθώθηι τὸ σῶμα διακομίσαντας εἰς τοὺς ὑπὲρ Αἴγυπτον τόπους θάψαι, ὑπολαβόντα τὸν Μώυσον ὑπὸ τοῦ Χανεθώθου ἀναιρεθήσεσθαι. (16) πορευομένων δὲ αὐτῶν, τὴν ἐπιβουλὴν τῶι Μωύσωι τῶν συνειδότων ἐξαγγεῖλαί τινα, τὸν δὲ φυλάσσοντα αὐτὸν τὴν μὲν Μέρριν θάψαι, τὸν δὲ ποταμὸν καὶ τὴν ἐν ἐκείνωι πόλιν Μερόην προσαγορεῦσαι· τιμᾶσθαι δὲ τὴν Μέρριν ταύτην ὑπὸ τῶν ἐγχωρίων οὐκ ἔλαττον ἢ τὴν Ἶσιν. (17) Ἀάρωνα δὲ τὸν τοῦ Μωύσου ἀδελφὸν τὰ περὶ τὴν ἐπιβουλὴν ἐπιγνόντα συμβουλεῦσαι τῶι ἀδελφῶι φυγεῖν εἰς τὴν Ἀραβίαν, τὸν δὲ πεισθέντα, ἀπὸ Μέμφεως τὸν Νεῖλον διαπλεύσαντα, ἀπαλλάσσεσθαι εἰς τὴν Ἀραβίαν. (18) τὸν δὲ Χανεθώθην πυθόμενον τοῦ Μωύσου τὴν φυγήν,

1 στρατιᾶς Steph στρατίας I στρατείας O   2 ἐν αὐτῶ O   6 ἱερεῖς: πέριξ Diels, Wendland   9 προφυλακῆς Steph πρὸς φυλακῆς IO   10 λίθινον ὄρος O   16 ὑπὸ v ἀπὸ o (Mras)   17 θέλοντα Vigier -τας IO   ἀποξενωσάντων Steph -ώσαντας IO   18 Μωύσωι v μωυσῆ IO   19 προβάλλεσθαι I   21 προσαγόμενον O   22 μερίδος I   25 χανεθώθου I -θη O   26 Μωύσωι v μωσεῖ IO   28 Μερόην IO Dionys. Telm. p. 6 S-G Μερρὶν Chron. Pasch. p. 117   29 ἔλαττον v ἐλαχίστως IO Mras

ἐνεδρεύειν ὡς ἀναιρήσοντα· ἰδόντα δὲ ἐρχόμενον σπάσασθαι τὴν μάχαιραν ἐπ' αὐτόν, τὸν δὲ Μώυσον προκαταταχήσαντα τήν τε χεῖρα κατασχεῖν αὐτοῦ, καὶ σπασάμενον τὸ ξίφος φονεῦσαι τὸν Χανεθώθην. (19) διεκδρᾶναι δὲ εἰς τὴν Ἀραβίαν, καὶ Ῥαγουήλωι τῶι τῶν τόπων ἄρχοντι συμβιοῦν, λαβόντα τὴν ἐκείνου θυγατέρα. τὸν δὲ Ῥαγουῆλον βούλεσθαι στρατεύειν ἐπὶ τοὺς Αἰγυπτίους, κατάγειν βουλόμενον τὸν Μώυσον, καὶ τὴν δυναστείαν τῆι τε θυγατρὶ καὶ τῶι γαμβρῶι κατασκευάσαι, τὸν δὲ Μώυσον ἀποκωλῦσαι, στοχαζόμενον τῶν ὁμοφύλων· τὸν δὲ Ῥαγουῆλον διακωλυθέντα στρατεύειν, τοῖς Ἄραψι προστάξαι λῃστεύειν τὴν Αἴγυπτον.

(20) ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ τὸν Χενεφρῆν πρῶτον ἁπάντων ἀνθρώπων ἐλεφαντιάσαντα μεταλλάξαι· τούτωι δὲ τῶι πάθει περιπεσεῖν διὰ τὸ τοὺς Ἰουδαίους προστάξαι σινδόνας ἀμφιέννυσθαι, ἐρεᾶν δὲ ἐσθῆτα μὴ ἀμπέχεσθαι, ὅπως ὄντες ἐπίσημοι κολάζωνται ὑπ' αὐτοῦ. (21) τὸν δὲ Μώυσον εὔχεσθαι τῶι θεῶι, ἤδη ποτὲ τοὺς λαοὺς παῦσαι τῶν κακοπαθειῶν· ἱλασκομένου δ' αὐτοῦ, αἰφνιδίως φησὶν ἐκ τῆς γῆς πῦρ ἀναφθῆναι, καὶ τοῦτο κάεσθαι, μήτε ὕλης μήτε ἄλλης τινὸς ξυλείας οὔσης ἐν τῶι τόπωι· τὸν δὲ Μώυσον δείσαντα τὸ γεγονὸς φεύγειν, φωνὴν δ' αὐτῶι θείαν εἰπεῖν στρατεύειν ἐπ' Αἴγυπτον, καὶ τοὺς Ἰουδαίους διασώσαντα εἰς τὴν ἀρχαίαν ἀγαγεῖν πατρίδα. (22) τὸν δὲ θαρρήσαντα δύναμιν πολεμίαν ἐπάγειν διαγνῶναι τοῖς Αἰγυπτίοις, πρῶτον δὲ πρὸς Ἀάρωνα τὸν ἀδελφὸν ἐλθεῖν. τὸν δὲ βασιλέα τῶν Αἰγυπτίων πυθόμενον τὴν τοῦ Μωύσου παρουσίαν καλέσαι πρὸς αὐτόν, καὶ πυνθάνεσθαι ἐφ' ὅ τι ἥκοι· τὸν δὲ φάναι, διότι προστάσσειν αὐτῶι τὸν τῆς οἰκουμένης δεσπότην ἀπολῦσαι τοὺς Ἰουδαίους. (23) τὸν δὲ πυθόμενον εἰς φυλακὴν αὐτὸν καθεῖρξαι. νυκτὸς δ' ἐπιγενομένης τάς τε θύρας πάσας αὐτομάτως ἀνοιχθῆναι τοῦ δεσμωτηρίου, καὶ τῶν φυλάκων οὓς μὲν τελευτῆσαι, τινὰς δὲ ὑπὸ τοῦ ὕπνου παρεθῆναι, τά τε ὅπλα κατεαγῆναι. (24) ἐξελθόντα δὲ τὸν Μώυσον ἐπὶ τὰ βασίλεια ἐλθεῖν, εὑρόντα δὲ ἀνεωιγμένας τὰς θύρας εἰσελθεῖν, καὶ ἐνθάδε

3 χακεσθώθην Ekl *Chananatum* Dionys. Telm. 4 τῶι om. O 5 θυγατέρα πρὸς γάμον Ekl Σεπφώραν τὴν θυγ. Ῥαγουὴλ πρὸς γάμον Chron. Pasch. 8 ῥαγούηλον O διακωλυθέντα Jac -ύοντα o 12 ἐρεᾶν Steph ἐρέαν o 15 φασιν? κάεσθαι I καί- O 16 γεγονὸς O γένος I 21 ἐκ τοῦ I αὐτὸν Steph αὑτὸν o ἐφ' ὅτωι Steph

b) Clem. Al. *Strom.* I, 154, 2: Ἀρτάπανος γοῦν ἐν τῶι Περὶ Ἰουδαίων συγγράμματι ἱστορεῖ κατακλεισθέντα εἰς φυλακὴν Μωυσέα ὑπὸ Νεχεφρέους τοῦ Αἰγυπτίων βασιλέως ἐπὶ τῶι παραιτεῖσθαι τὸν λαὸν ἐξ Αἰγύπτου ἀπολυθῆναι, νύκτωρ ἀνοιχθέντος τοῦ δεσμωτηρίου κατὰ βούλησιν τοῦ θεοῦ ἐξελθόντα καὶ εἰς τὰ βασίλεια παρελθόντα ἐπιστῆναι κοιμωμένωι τῶι

27 νεχεφρέους (χε i. ras.) L[1] (cf. Νεχερωφής Manetho 609 F 2-3 [Dyn. III 1]?) Χενεφρέους Potter, v

τῶν φυλάκων παρειμένων, καὶ τὸν βασιλέα ἐξεγεῖραι. τὸν δὲ ἐκπλαγέντα ἐπὶ τῶι γεγονότι κελεῦσαι τῶι Μωύσωι τὸ τοῦ πέμψαντος αὐτὸν θεοῦ εἰπεῖν ὄνομα, διαχλευάσαντα αὐτόν. (25) τὸν δὲ προσκύψαντα πρὸς τὸ οὖς εἰπεῖν, ἀκούσαντα δὲ τὸν βασιλέα πεσεῖν ἄφωνον, διακρατηθέντα δὲ ὑπὸ τοῦ Μωύσου πάλιν ἀναβιῶσαι.

βασιλεῖ, καὶ ἐξεγεῖραι αὐτόν. (3) τὸν δὲ καταπλαγέντα τῶι γεγονότι κελεῦσαι τῶι Μωυσεῖ τὸ τοῦ πέμψαντος εἰπεῖν ὄνομα θεοῦ, καὶ τὸν μὲν προσκύψαντα πρὸς τὸ οὖς εἰπεῖν, ἀκούσαντα δὲ τὸν βασιλέα ἄφωνον πεσεῖν, διακρατηθέντα δὲ ὑπὸ τοῦ Μωυσέως πάλιν ἀναβιῶναι.

(26) γράψαντα δὲ τοὔνομα εἰς δέλτον κατασφραγίσασθαι, τῶν τε ἱερέων τὸν φαυλίσαντα ἐν τῆι πινακίδι τὰ γεγραμμένα μετὰ σπασμοῦ τὸν βίον ἐκλιμπάνειν. (27) εἰπεῖν τε τὸν βασιλέα σημεῖόν τι αὐτῶι ποιῆσαι, τὸν δὲ Μώυσον ἣν εἶχε ῥάβδον ἐκβαλόντα ὄφιν ποιῆσαι· πτοηθέντων δὲ πάντων, ἐπιλαβόμενον τῆς οὐρᾶς ἀνελέσθαι, καὶ πάλιν ῥάβδον ποιῆσαι. (28) προελθόντα δὲ μικρὸν τὸν Νεῖλον τῆι ῥάβδωι πατάξαι, τὸν δὲ ποταμὸν πολύχουν γενόμενον κατακλύζειν ὅλην τὴν Αἴγυπτον· (ἀπὸ τότε δὲ καὶ τὴν κατάβασιν αὐτοῦ γίνεσθαι·) συναγαγὸν δὲ τὸ ὕδωρ ἐποζέσαι, καὶ τὰ ποτάμια διαφθεῖραι ζῶια, τούς τε λαοὺς διὰ τὴν δίψαν φθείρεσθαι. (29) τὸν δὲ βασιλέα τούτων γενομένων τῶν τεράτων, φάναι μετὰ μῆνα τοὺς λαοὺς ἀπολύσειν, ἐὰν ἀποκαταστήσηι τὸν ποταμόν· τὸν δὲ Μώυσον πάλιν τῆι ῥάβδωι πατάξαντα τὸ ὕδωρ συστεῖλαι τὸ ῥεῦμα. (30) τούτου δὲ γενομένου, τὸν βασιλέα τοὺς ἱερεῖς τοὺς ὑπὲρ Μέμφιν καλέσαι, καὶ φάναι αὐτοὺς ἀναιρήσειν καὶ τὰ ἱερὰ κατασκάψειν, ἐὰν μὴ καὶ αὐτοὶ τερατουργήσωσί τι· τοὺς δὲ τότε διά τινων μαγγάνων καὶ ἐπαοιδῶν δράκοντα ποιῆσαι, καὶ τὸν ποταμὸν μεταχρῶσαι. (31) τὸν δὲ βασιλέα φρονηματισθέντα ἐπὶ τῶι γεγονότι πάσηι τιμωρίαι καὶ κολάσει καταικίζειν τοὺς Ἰουδαίους. τὸν δὲ Μώυσον ταῦτα ὁρῶντα ἄλλα τε σημεῖα ποιῆσαι, καὶ πατάξαντα τὴν γῆν τῆι ῥάβδωι ζωιόν τι πτηνὸν ἀνεῖναι λυμαίνεσθαι τοὺς Αἰγυπτίους, πάντας τε ἐξελκωθῆναι τὰ σώματα. τῶν δὲ ἰατρῶν μὴ δυναμένων ἰᾶσθαι τοὺς κάμνοντας, οὕτως πάλιν ἀνέσεως τυχεῖν τοὺς Ἰουδαίους. (32) πάλιν δὲ τὸν Μώυσον βάτραχον διὰ τῆς ῥάβδου ἀνεῖναι, πρὸς δὲ τούτοις ἀκρίδας καὶ σκνίφας· διὰ τοῦτο δὲ καὶ τοὺς Αἰγυπτίους τὴν ῥάβδον ἀνατιθέναι εἰς πᾶν ἱερόν, ὁμοίως δὲ καὶ τῆι Ἴσιδι, διὰ τὸ τὴν γῆν εἶναι Ἶσιν, παιομένην δὲ τῆι ῥάβδωι τὰ τέρατα ἀνεῖναι. (33) τοῦ δὲ βασιλέως ἔτι ἀφρονουμένου, τὸν Μώυσον χάλαζάν τε καὶ σεισμοὺς διὰ νυκτὸς ἀποτελέσαι, ὥστε τοὺς τὸν σεισμὸν φεύγοντας ἀπὸ τῆς χαλάζης ἀναιρεῖσθαι, τούς τε τὴν χάλαζαν ἐκ-

1-2 καὶ τὸν βασιλέα O καὶ om. I | 10 τὰ ἐν τ. π. γεγραμμένα Steph [τὰ γεγρ.]? 13-14 προσελθόντα O 16 συναγαγὸν Steph -γὼν IO ἐποζέσαι IO; cf. *Exod.* 7, 18 19 τῆι ῥάβδωι om. O 26 δ λυμήνασθαι Steph 27 πάντας O πάντα I 29 τὸν om. O 30 σκνίφας IO σκνίπας Steph σκνῖπας Gifford 34 ἀπὸ I ὑπὸ O

κλίνοντας ὑπὸ τῶν σεισμῶν διαφθείρεσθαι. συμπεσεῖν δὲ τότε τὰς μὲν οἰκίας πάσας τῶν τε ναῶν τοὺς πλείστους. (34) τελευταῖον τοιαύταις συμφοραῖς περιπεσόντα τὸν βασιλέα τοὺς Ἰουδαίους ἀπολῦσαι· τοὺς δὲ χρησαμένους παρὰ τῶν Αἰγυπτίων πολλὰ μὲν ἐκπώματα, οὐκ ὀλίγον δὲ ἱματισμὸν ἄλλην τε παμπληθῆ γάζαν, διαβάντας τοὺς κατὰ τὴν Ἀραβίαν ποταμοὺς καὶ διαβάντας ἱκανὸν τόπον ἐπὶ τὴν Ἐρυθρὰν τριταίους ἐλθεῖν θάλασσαν. (35) Μεμφίτας μὲν οὖν λέγειν ἔμπειρον ὄντα τὸν Μώυσον τῆς χώρας, τὴν ἄμπωτιν τηρήσαντα διὰ ξηρᾶς τῆς θαλάσσης τὸ πλῆθος περαιῶσαι· Ἡλιουπολίτας δὲ λέγειν ἐπικαταδραμεῖν τὸν βασιλέα μετὰ πολλῆς δυνάμεως, <ἅμα> καὶ τοῖς καθιερωμένοις ζώιοις, διὰ τὸ τὴν ὕπαρξιν τοὺς Ἰουδαίους τῶν Αἰγυπτίων χρησαμένους διακομίζειν. (36) τῶι δὲ Μωύσωι θείαν φωνὴν γενέσθαι πατάξαι τὴν θάλασσαν τῆι ῥάβδωι, † καὶ διαστῆναι· τὸν δὲ Μώυσον ἀκούσαντα ἐπιθιγεῖν τῆι ῥάβδωι τοῦ ὕδατος, καὶ οὕτως τὸ μὲν νᾶμα διαστῆναι, τὴν δὲ δύναμιν διὰ ξηρᾶς ὁδοῦ πορεύεσθαι. (37) συνεμβάντων δὲ τῶν Αἰγυπτίων καὶ διωκόντων φησὶ πῦρ αὐτοῖς ἐκ τῶν ἔμπροσθεν ἐκλάμψαι, τὴν δὲ θάλασσαν πάλιν τὴν ὁδὸν ἐπικλύσαι· τοὺς δὲ Αἰγυπτίους ὑπό τε τοῦ πυρὸς καὶ τῆς πλημμυρίδος πάντας διαφθαρῆναι. (38) τοὺς δὲ Ἰουδαίους διαφυγόντας τὸν κίνδυνον μ̄ ἔτη ἐν τῆι ἐρήμωι διατρῖψαι, βρέχοντος αὐτοῖς τοῦ θεοῦ κρίμνον ὅμοιον ἐλύμωι, χιόνι παραπλήσιον τὴν χρόαν. (39) γεγονέναι δέ φησι τὸν Μώυσον μακρόν, πυρρακῆ, πολιόν, κομήτην, ἀξιωματικόν. ταῦτα δὲ πρᾶξαι περὶ ἔτη ὄντα ὀγδοήκοντα ἐννέα.

727. KLEODEMOS-MALCHOS

Vor Alex. Pol.

ΠΕΡΙ ΙΟΥΔΑΙΩΝ (?)

1 (III 214, 7) JOSEPH. *A.J.* 1, 238 (EUSEB. *P.E.* 9, 20): γαμεῖ δ' αὐτὸς (Abraham) Κατούραν ὕστερον, ἐξ ἧς αὐτῶι παῖδες ἓξ γίνονται . . . φύονται δὲ καὶ τούτοις παῖδες . . . (239) τούτοις ἅπασι τοῖς παισὶ καὶ τοῖς υἱωνοῖς Ἅβραμος ἀποικιῶν στόλους μηχανᾶται, καὶ τήν τε Τρωγλοδῦτιν καταλαμβάνουσι καὶ τῆς Εὐδαίμονος Ἀραβίας ὅσον ἐπὶ τὴν Ἐρυθρὰν καθήκει θάλασσαν. λέγεται δὲ ὡς οὗτος ὁ Ἐώφρην (?) στρατεύσας ἐπὶ τὴν Λιβύην κατέσχεν αὐτήν, καὶ οἱ υἱωνοὶ αὐτοῦ κατοικήσαντες ἐν αὐτῆι τὴν

2 πλείστους * * Freu 4 ἐκπτώματα I 5 παμπληθεῖ I διαβῆναι τοὺς ο. καὶ [διαβάντας]? 7 οὖν om. I 9 <ἅμα> Steph 10 ζώιοις I ζωῆς O 11 μωσῆ O 12 [καὶ διαστῆναι] Steph καὶ διαστῆσαι Mras καὶ διαστήσειν? ἐπιθιγεῖν Ddf -θίγειν I -θήγειν O 14 φασὶ (*scil.* τοὺς Ἡλιουπολίτας § 35)? 17 μ' O (e coni.?) τριάκοντα I 19 φησι (Artapanos?) I φασὶ O 20 ὄντα om. O 25 χατούραν SPE (= Epitome) χαι- M χε κατοῦραν L *cethuram* Lat χεττοῦραν Eust (*Hexaem.*) 25 φῦνται ROML 27 τῆς E τὴν τῆς r εὐδαιμονίας RO ἀραβίαν R 28 ἐώφρην O ὠφρὴν SP ὤφρης (ὠφρῆς) ML *apher* Hier (*Quaest. Gen.*) 27-28 ἀφρὴν EEus (I) σωφρὴν Eus (BO) Eust

γῆν ἀπὸ τοῦ ἐκείνου ὀνόματος 'Αφρικὰ προσηγόρευσαν. (240) μαρτυρεῖ δέ μου τῶι λόγωι 'Αλέξανδρος ὁ Πολυΐστωρ (273 F 102) λέγων οὕτως· «Κλεόδημος δέ φησιν ὁ προφήτης ὁ καὶ Μάλχος (?) ἱστορῶν τὰ περὶ 'Ιουδαίων, καθὼς καὶ Μωυσῆς (cf. *Gen.* 25, 1-6) ἱστόρησεν ὁ νομοθέτης αὐτῶν, ὅτι ἐκ τῆς Κατούρας 'Αβράμωι ἐγένοντο παῖδες ἱκανοί. (241) λέγει δὲ αὐτῶν καὶ τὰ ὀνόματα, ὀνομάζων τρεῖς· 'Αφέραν, Σούρην, 'Ιαφράν. καὶ ἀπὸ Σούρου μὲν τὴν 'Ασσυρίαν κεκλῆσθαι, ἀπὸ δὲ τῶν δύο 'Ιαφρᾶ τε καὶ 'Αφέρου πόλιν τε 'Εφρᾶν καὶ τὴν χώραν 'Αφρικὰ ὀνομασθῆναι. τούτους γὰρ 'Ηρακλεῖ συστρατεῦσαι ἐπὶ Λιβύην καὶ 'Ανταῖον, γήμαντά τε τὴν 'Αφράνου θυγατέρα 'Ηρακλέα γεννῆσαι υἱὸν ἐξ αὐτῆς Δίδωρον· τούτου δὲ γενέσθαι Σόφωνα, ἀφ' οὗ τοὺς βαρβάρους Σόφακας λέγεσθαι.»

728. APOLLONIOS MOLON

s. I[a]

T

1 **a**) STRABON 14, 2, 13 p. 655: Ποσειδώνιος δ' ἐπολιτεύσατο μὲν ἐν 'Ρόδωι καὶ ἐσοφίστευσεν (87 T 2)... καθάπερ καὶ 'Απολλώνιος ὁ Μαλακὸς καὶ Μόλων· ἦσαν γὰρ 'Αλαβανδεῖς, Μενεκλέους μαθηταὶ τοῦ ῥήτορος. ἐπεδήμησε δὲ πρότερον 'Απολλώνιος, ὀψὲ δὲ ἧκεν ὁ Μόλων, καὶ ἔφη πρὸς αὐτὸν ἐκεῖνος 'ὀψὲ μολών', ἀντὶ τοῦ ἐλθών. **b**) — 14, 2, 26 p. 661: ἄνδρες δ' ἐγένοντο λόγου ἄξιοι (aus Alabanda) δύο ῥήτορες ἀδελφοὶ 'Αλαβανδεῖς, Μενεκλῆς τε... καὶ 'Ιεροκλῆς καὶ οἱ μετοικήσαντες εἰς τὴν 'Ρόδον ὅ τε 'Απολλώνιος καὶ ὁ Μόλων. CIC. *Brutus* 245; 307; 312; 316; QUINTILIAN. *Inst.* 3, 1, 16; 12, 67; PLUTARCH. *Caes.* 3, 1 u.a.

2 ALEX. POL. bei EUSEB. *P.E.* 9, 19, 1: ὁ δὲ τὴν συσκευὴν τὴν κατὰ 'Ιουδαίων γράψας Μόλων (F 1).

---

1 ἀφρικὰ REEus ἄφρικα M ἀφρίκαν SP ἀφρικὴν OLEust *affricam* Lat *aphricam* Hier 2 καὶ 'Αλέξανδρος E 3 μάλχας O μαλχὰς MSP μαλχᾶς Eus ὁ ἱστορῶν MS 4 μωσῆς Eus ἱστόρηκεν Eus 5 χατούρας MSPE καττούρας L *cethura* Lat χεττούρας Eus ἀβραάμωι Eus (IO ἀβραὰμ B) 6 ἀφέραν SP ἄφεραν ML ἀφερὰν E *apheran* Lat ἰαφέραν RO ἀφέρ (ἄ-) Eus σούριν (σουρίν) OSP σουρείμ MLE *surim* Lat ἀσούρ (I), ἀσουρί (O), ἀσσουρί (B) Eus 'Ασουρείμ Freu Σουρείμ? ἴαφραν M ἰαφράμ E ἀφράν (ἄ-) Eus καὶ ἀπὸ Eus καὶ om. Jos Σούρου: σουρείμ MLE *surim* Lat σουρεῖ S ἀσσουρὶ (-συρὶ I) Eus ἀσοὺρ Eust 7 κεκλῆσθαι om. Eus ἀφρά τε καὶ ἰαφράμου E *iaphram et apheran* Lat ἀφρά τε καὶ ἀφέρ Eus 8 'Εφρᾶν: ἀφρὰν MEEus (I ἄ- BO) ἄφραν SPL *abran* Lat ἀφρικὰ ROEus ἄφρικα M ἀφρίκαν SPE ἀφρικὴν L *africam* Lat τούτους δὲ Eus 9 ἄνταιον (-τεον) SLM *haeteam* Lat γήμαντα δὲ Eus τε om. Lat 'Αφράνου: ἄφρα SP ἀφρὰ (ἄ- BO) Eus ἄφραν L ὄφραν M *iaphram* Lat οὐαφρῆ Eust 10 Δίδωρον: δέδωρον M δὲ δώρων L *dodorim* Lat διόδωρον (διώ- I) Eus Βόδωρον Eust σοφῶνα M σώφωνα SP[1] *soron* Lat σοφωνᾶν Eus σωφονὰ Eust Σοφῶκα (cf. Σόφαξ, *v.l.* Σῶφαξ, Plutarch. *Sertor.* 9, 8) Freu 11 Σόφακας: σόφωνας O *osophaci* Lat σοφὰς Eus σοφιστὰς Eust 15 καὶ Μόλων om. D 23 μόλων BO μήλων I

3 a) Joseph. *c. Ap.* 2, 145: ἐπεὶ δὲ καὶ Ἀπολλώνιος ὁ Μόλων καὶ Λυσίμαχος (621 F 4) καί τινες ἄλλοι τὰ μὲν ὑπ' ἀγνοίας, τὸ πλεῖστον δὲ κατὰ δυσμένειαν περί τε τοῦ νομοθετήσαντος ἡμῖν Μωσέως καὶ περὶ τῶν νόμων πεποίηνται λόγους οὔτε δικαίους οὔτε ἀληθεῖς, τὸν μὲν ὡς γόητα καὶ ἀπατεῶνα διαβάλλοντες, τοὺς νόμους δὲ κακίας ἡμῖν καὶ οὐδεμιᾶς ἀρετῆς φάσκοντες εἶναι διδασκάλους, βούλομαι συντόμως καὶ περὶ τῆς ὅλης ἡμῶν καταστάσεως τοῦ πολιτεύματος ... εἰπεῖν ...... (148) ἄλλως τε καὶ τὴν κατηγορίαν ὁ Ἀπολλώνιος οὐκ ἀθρόαν ὥσπερ ὁ Ἀπίων (616) ἔταξεν, ἀλλὰ σποράδην (F 3a) ... b) -- 236: εἶτα Λυσίμαχοι καὶ Μόλωνες καὶ τοιοῦτοί τινες ἄλλοι συγγραφεῖς, ἀδόκιμοι σοφισταί, μειρακίων ἀπατεῶνες, ὡς πάνυ ἡμᾶς φαυλοτάτους ἀνθρώπων λοιδοροῦσιν. c) -- 255: Ἀπολλώνιος μὲν οὖν ὁ Μόλων τῶν ἀνοήτων εἷς ἦν καὶ τετυφωμένων, τοὺς μέντοι κατ' ἀλήθειαν ἐν τοῖς Ἑλληνικοῖς φιλοσοφήσαντας οὔτε τῶν προειρημένων οὐδὲν διέλαθεν οὔτε τὰς ψυχρὰς προφάσεις τῶν ἀλληγοριῶν ἠγνόησαν κτλ. (s. F 3b) d) -- 295: ταῦτ' εἰ μὲν παρ' ἑτέροις ἢ ἐγράφη πρότερον ἢ ἐφυλάχθη βεβαιότερον, ἡμεῖς ἂν ἐκείνοις χάριν ὠφείλομεν ...· εἰ δὲ καὶ χρώμενοι μάλιστα πάντων βλεπόμεθα, καὶ τὴν πρώτην εὕρεσιν αὐτῶν ἡμετέραν οὖσαν ἐπεδείξαμεν, Ἀπίωνες μὲν καὶ Μόλωνες καὶ πάντες ὅσοι τῶι ψεύδεσθαι καὶ λοιδορεῖν χαίρουσιν ἐξεληλέγχθωσαν.

4 Kosmas *Topogr. Christ.* 12 p. 327, 11 Wi: οἱ δὲ τὰ Αἰγύπτια συγγραψάμενοι, τουτέστιν Μανεθὼν (609 F 10b) καὶ Χαιρήμων (618) καὶ Ἀπολλώνιος ὁ Μόλων καὶ Λυσίμαχος (621) καὶ Ἀπίων ὁ γραμματικός (616), μέμνηνται Μωυσέως καὶ τῆς ἐξόδου κτλ.

5 Joseph. *c. Ap.* 2, 79: *ammiror autem etiam eos, qui ei* (dem Apion) *huiusmodi fomitem praebuerunt, id est Posidonium* (87 F 69) *et Apollonium Molonis.*

F

1. ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

1 (III 213, 5) Euseb. *P.E.* 9, 19: ὁ δὲ τὴν συσκευὴν τὴν κατὰ Ἰουδαίων γράψας Μόλων μετὰ τὸν κατακλυσμόν φησιν ἀπὸ τῆς Ἀρμενίας ἀπελθεῖν τὸν περιλειφθέντα ἄνθρωπον μετὰ τῶν υἱῶν, ἐκ τῶν ἰδίων ἐξελαυνόμενον ὑπὸ τῶν ἐγχωρίων· διανύσαντα δὲ τὴν μεταξὺ χώραν ἐλθεῖν εἰς τὴν ὀρεινὴν τῆς Συρίας οὖσαν ἔρημον. (2) μετὰ δὲ τρεῖς γενεὰς Ἀβραὰμ γενέσθαι, ὃν δὴ μεθερμηνεύεσθαι πατρὸς φίλον, ὃν δὴ σοφὸν γενόμενον τὴν ἐρημίαν μεταδιώκειν. λα-

---

1 ἐπεὶ δὲ Ddf *quoniam vero* Lat ἐπειδὴ L 3 δυσμένειαν: *insaniam* Lat 9 Μόλωνες (Lat) v σόλωνες L 12 τοῖς ἑλληνικοῖς L *graeco* Lat τοῖς Ἕλλησι Niese 13 ψυχρὰς (Lat) v ψυχὰς L 14 ταῦτ' εἰ (Lat) v ταυτὶ L 15 πρότερον Ddf πρῶτον LLat 16 ὠφείλομεν Ddf ὀφ- LLat εἰ – βλεπόμεθα: <*si*> *vero nequaquam primitus extiterunt his praecipue nos utentes agnoscimur* Lat 18 τῶι (Lat) v τῶν L 29 μήλων I

βόντα δὲ δύο γυναῖκας, τὴν μὲν ἐντοπίαν συγγενῆ, τὴν δὲ Αἰγυπτίαν θεράπαιναν, ἐκ μὲν τῆς Αἰγυπτίας γεννῆσαι δώδεκα υἱούς, οὓς δὴ εἰς Ἀραβίαν ἀπαλλαγέντας διελέσθαι τὴν χώραν, καὶ πρώτους βασιλεῦσαι τῶν ἐγχωρίων, ὅθεν ἕως καθ' ἡμᾶς δώδεκα εἶναι βασιλεῖς Ἀράβων ὁμωνύμους ἐκείνοις. (3) ἐκ δὲ τῆς γαμετῆς υἱὸν αὐτῶι γενέσθαι ἕνα, ὃν Ἑλληνιστὶ Γέλωτα ὀνομασθῆναι. καὶ τὸν μὲν Ἀβραὰμ γήραι τελευτῆσαι, Γέλωτος δὲ καὶ γυναικὸς ἐγχωρίου υἱοὺς ἕνδεκα γενέσθαι καὶ δωδέκατον Ἰωσήφ, καὶ ἀπὸ τοῦδε τρίτον Μωσῆν.

τοσαῦτα ὁ Πολυίστωρ· οἷς μεθ' ἕτερα ἐπιφέρει λέγων (‹Demetrios› 722 F 7).

2 (III 208) Joseph. *c. Ap.* 2, 16: Μανεθὼς (609 F 9b) μὲν γὰρ κατὰ τὴν Τεθμώσιος βασιλείαν ἀπαλλαγῆναί φησιν ἐξ Αἰγύπτου τοὺς Ἰουδαίους πρὸ ἐτῶν τριακοσίων ἐνενήκοντα τριῶν τῆς εἰς Ἄργος Δαναοῦ φυγῆς, Λυσίμαχος (621 F 2) δὲ κατὰ Βόκχοριν τὸν βασιλέα, τουτέστι πρὸ ἐτῶν χιλίων ἑπτακοσίων, Μόλων δὲ καὶ ἄλλοι τινὲς ὡς αὐτοῖς ἔδοξεν. (17) ... Ἀπίων (616 F 4a) ... κατὰ τὴν ἑβδόμην ὀλυμπιάδα (752/48).

3 (III 208) **a)** Joseph. *c. Ap.* 2, 148: (T 3a) καὶ δὴ εἴπας ποτὲ μὲν ὡς ἀθέους καὶ μισανθρώπους λοιδορεῖ, ποτὲ δ' αὖ δειλίαν ἡμῖν ὀνειδίζει, καὶ τοὔμπαλιν ἔστιν ὅπου τόλμαν κατηγορεῖ καὶ ἀπόνοιαν. λέγει δὲ καὶ ἀφυεστάτους εἶναι τῶν βαρβάρων, καὶ διὰ τοῦτο μηδὲν εἰς τὸν βίον εὕρημα συμβεβλῆσθαι μόνους. **b)** -- 258: (T 3c) ὧν οὐδὲν λογισάμενος ὁ Μόλων Ἀπολλώνιος ἡμῶν κατηγόρησεν, ὅτι μὴ παραδεχόμεθα τοὺς ἄλλαις προκατειλημμένους δόξαις περὶ θεοῦ μηδὲ κοινωνεῖν ἐθέλομεν τοῖς καθ' ἑτέραν συνήθειαν βίου ζῆν προαιρουμένοις. Cf. 87 F 69.

2. ΚΑΤΑ ΦΙΛΟΣΟΦΩΝ

4 (–) Schol. Aristoph. *Nubb.* 144: Χαιρεφῶντα].... τούτωι καὶ ἡ Πυθία δοκεῖ τὸν περὶ τοῦ Σωκράτους χρησμὸν εἰπεῖν ‹‹σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης, / ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος››. τοῦτον Ἀπολλώνιος ὁ Μόλων ἐν τῶι Κατὰ φιλοσόφων ἐψεῦσθαί φησι· τοὺς γὰρ Πυθικοὺς χρησμοὺς ἑξαμέτρους εἶναι.

729. PHILON DER AELTERE Vor 63*

T

1 Joseph. *c. Ap.* 1, 218 (Euseb. *P.E.* 9, 42, 3): ὁ μέντοι [Φαληρεὺς] Δημήτριος (722 T 1; 737 F 1) καὶ Φίλων ὁ πρεσβύτερος καὶ Εὐπόλεμος (723 T 3) οὐ πολὺ τῆς ἀληθείας διήμαρτον· οἷς συγγιγνώσκειν ἄξιον· οὐ γὰρ ἐνῆν αὐτοῖς μετὰ πάσης ἀκριβείας τοῖς ἡμετέροις γράμμασι παρακολουθεῖν.

16 δὴ εἴπας: διὰ πάσης τῆς συγγραφῆς v (vor Niese) καὶ δὴ εἴπας ποτὲ μὲν ‹δεισιδαιμονεστάτους πάντων, ἄλλοτε› ὡς ἀθέους Niese 21 *apollonius moloni* Lat 25 τοῦτο V 27 σοφὸς (σοφώτερος R) δ' ἁπάντων Σωκράτης ὁ Θηβαῖος V 27-28 τοῦτον – εἶναι om. R 31-34 'interpolation' Th. Reinach 31 [Φαληρεύς] (cf. T 2) Jac 33 οἷς – ἄξιον (Ios, Eus I) om. Eus (BO)

2 Clem. Al. *Strom.* 1, 141, 3: Φίλων δὲ καὶ αὐτὸς ἀνέγραψε τοὺς βασιλεῖς τοὺς Ἰουδαίων διαφώνως τῶι Δημητρίωι (722 F 6). ἔτι δὲ καὶ Εὐπόλεμος (723 F 4)....

F

ΠΕΡΙ ΙΕΡΟΣΟΛΥΜΑ Ā – ?

1 (III 213, 6) Euseb. *P.E.* 9, 20: (Demetrios 722 F 7) φησὶ δὲ περὶ τούτου (*scil.* τοῦ Ἀβραάμ) καὶ Φίλων ἐν τῶι πρώτωι τῶν Περὶ Ἱεροσόλυμα·

«ἔκλυον ἀρχεγόνοισι τὸ μυρίον ὥς ποτε θεσμοῖς
Ἀβραὰμ κλυτοηχὲς ὑπέρτερον ἅμματι δεσμῶν,
παμφαὲς πλήμμυρε μεγαυχητοῖσι λογισμοῖς,
θειοφιλῆ θέλγητρα· λιπόντι γὰρ ἀγλαὸν ἕρκος
αἰνοφύτων, ἔκκαυμα βριήπυος αἰνετὸς ἴσχων,
ἀθάνατον ποίησεν ἐὴν φάτιν, ἐξ ὅτ' ἐκείνου
ἔκγονος αἰνογόνοιο πολύμνιον ἔλλαχε κῦδος»

καὶ τὰ ἑξῆς. οἷς μετ' ὀλίγα ἐπιφέρει·

«ἀρτίχερος θηκτοῖο ξιφηφόρον ἐντύνοντος
λήμματι, καὶ σφαράγοιο παραχλιδὸν ἀθροισθέντος·
ἀλλ' ὁ μὲν ἐν χείρεσσι κερασφόρον ὤπασε κριόν»

καὶ τὰ τούτοις ἑπόμενα.

ταῦτα μὲν δὴ ἀπὸ τῆς προειρημένης τοῦ Πολυΐστορος γραφῆς (273 F 19a).

2 (III 229, 23) Euseb. *P.E.* 9, 37: φησὶ δὲ [ὁ] Φίλων ἐν τοῖς Περὶ Ἱεροσολύμων κρήνην εἶναι· ταύτην δὲ ἐν μὲν τῶι χειμῶν. ξηραίνεσθαι, ἐν δὲ τῶι θέρει πληροῦσθαι. λέγει δὲ ἐν τῆι πρώτηι οὕτως·

«νηχόμενος δ' ἐφύπερθε τὸ θαμβηέστατον ἄλλο
δέρκηθρον † σὺν ἀοιδᾶ μεγιστούχοιο λοετροῖς
ῥεύματος ἐμπίπλησι βαθὺν ῥόον ἐξανιείσης»

καὶ τὰ ἑξῆς. (2) οἷς πάλιν ὑποβὰς περὶ τῆς πληρώσεως ἐπιλέγει·

«ῥεῦμα γὰρ ὑψιφάεννον, ἐν ὑετίοις νιφετοῖσιν
ἱέμενον, πολυγηθές, † ὑπὲρ πύργοισιν ὅροισιν
στρωφᾶται, καὶ ξηρὰ πέδωι κεκονιμένα, κρήνης
τηλεφαῆ δείκνυσιν ὑπέρτατα θάμβεα λαῶν»

καὶ τὰ τούτοις ἀκόλουθα. (3) εἶτα πάλιν περὶ τῆς τοῦ ἀρχιερέως κρήνης καὶ τῆς ἀποχετεύσεως διέξεισιν οὕτως·

«αἰπὺ δ' ἄρ' ἐκπτύουσι διὰ χθονὸς ὑδροχόοισι
σωλῆνες»

καὶ ὅσα ἄλλα τούτοις ἕπεται.

---

6 περὶ τὰ I 7-18: zu den versen s. Mras app. p. 506 9 μεγαχητοῖσι IO -ήτοισι B 10 θέλγητρα Steph -θρα O 12 ἐξ ὅτ' ἐκείνου BI ἐξότε κείνου O 13 ἔκγονος B ἔγγονος I ἔγγοΝσ O 14-16 οἷς – ἀθροισθέντος om. B 15 ἀρτίχερος Gaisford ἄρτι χερὸς O ἄρτι χειρὸς I θηκτοῖο I θνητοῖο O 16 λήματι Mras 17 καὶ ὁ μὲν B 20 [ὁ] Jac 24-26 σὺν – ὑποβὰς om. B 24 σὺν ἀοιδᾶ: σοι ἀείδω? Mue συναοιδὰ Gifford 25 ἐξανιεῖσι Vossius 27 ὑψιφάεινον O 28 ὑπαὶ (Vigier) πύργοις συνόροισιν Gifford 31-34 καὶ – ἕπεται om. B

τοσαῦτα μὲν δὴ τὰ ἀπὸ τῶν Ἀλεξάνδρου τοῦ Πολυΐστορος. (Es folgt c. 38 Aristeas [?] περὶ τῶν ἐν Ἱερουσαλὴμ ὑδάτων aus dem βιβλίον Περὶ τῆς ἑρμηνείας τοῦ τῶν Ἰουδαίων νόμου; s. ob. p. 680 app. vv. 1-2).

3 (III 219, 11) Euseb. *P.E.* 9, 24: μαρτυρεῖ δὲ ταῖς ἱεραῖς βίβλοις καὶ Φίλων ἐν τῆι [ι]δ τῶν Περὶ Ἱεροσόλυμα λέγων οὕτως·

«τοῖσιν ἕδος μακαριστὸν ὅλης μέγας ἔκτισεν ἄκτωρ
ὕψιστος καὶ πρόσθεν ἀφ' Ἀβραάμοιο καὶ Ἰσάκ,
Ἰακὼβ εὐτέκνοιο τόκος Ἰωσήφ, ὃς ὀνείρων
θεσπιστής, σκηπτοῦχος ἐν Αἰγύπτοιο θρόνοισι,
δινεύσας λαθραῖα χρόνου πλημμυρίδι μοίρης»

καὶ τὰ ἑξῆς.

4 (–) Euseb. *H.E.* 6, 13, 7 (über Moses): s. 722 F 3.

—. ALEXANDROS POLYHISTOR c. 80/35ª

ΠΕΡΙ ΙΟΥΔΑΙΩΝ

273 F 19.

—. TEUKROS VON KYZIKOS c. 100/50ª

ΙΟΥΔΑΙΚΗ ΙΣΤΟΡΙΑ Ᾱ–Ϝ̄

274 T 1.

730. DAMOKRITOS s. Iª/Iᵖ?

F

ΠΕΡΙ ΙΟΥΔΑΙΩΝ

1 (IV 377) Suda s.v. Δαμόκριτος· ἱστορικός· Τακτικὰ ἐν βιβλίοις β̄· Περὶ Ἰουδαίων, ἐν ὧι φησιν ὅτι χρυσῆν ὄνου κεφαλὴν προσεκύνουν, καὶ κατὰ ἑπταετίαν ξένον ἀγρεύοντες προσέφερον, καὶ κατὰ λεπτὰ τὰς σάρκας διέξαινον, καὶ οὕτως ἀνῄρουν.

—. APION DER OASITE s. Iᵖ

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ (= ΑΙΓΥΠΤΙΑΚΩΝ Δ̄)

616 T 11.

731. NIKARCHOS O AMMΩNIOY s. Iᵖ?

F

ΠΕΡΙ ΙΟΥΔΑΙΩΝ

1 (III 335) Phot. Berol. *Lex.* p. 83, 10 Rei (ΣΥΝΑΓ. ΛΕΞ. ΧΡΗΣ.

---

4 μαρτυροῖ O ταῖς ἱ. β. om. B 5 [ι]δ Freu [ι]α? 6 ὅλως μέσας B 7 ἀβράμοιο O 8 τόκος Vigier τόθεν BIO 10 λαθραῖα Steph λατραῖα o 22-25 Suda s.v. Ἰούδας καὶ Ἰουδαῖος = Sudª (om. F i. mg.V) 22 Δημόκριτος Sudª (GI) 23 περὶ τῶν ἰουδ. V περὶ ἰουδαίους Sudª (GI; comp. MV) περὶ Ἰουδαίων· Αἰθιοπικὴν ἱστορίαν καὶ ἄλλα Eudok 24 ἑπταετίαν: τριετίαν Sudª καὶ om. Sudª (GVM)

p. 381, 27 Bkr): ἄλφα· τοῦτο ὑπὸ Φοινίκων βοὸς κεφαλὴ ἐκαλεῖτο, καὶ Μωυσῆς δὲ ὁ νομοθέτης ὑπὸ 'Ιουδαίων διὰ τὸ πολλοὺς ἔχειν ἀλφοὺς ἐν τῶι σώματι οὕτως ἐκαλεῖτο· ἀλλὰ καὶ τοῦτο Νίκαρχος ὁ τοῦ 'Αμμωνίου ἐν τῶι Περὶ 'Ιουδαίων φλυαρεῖ. οὕτω καὶ ὁ σῦς ὁ πλήξας τὸν Ἄδωνιν· ἐκλήθη δὲ οὕτως ὑπὸ 'Ασβωτῶν τῶν ἐν Φοινίκηι. παρὰ Φοίνιξι δὲ καλεῖται καὶ ἀπηνὴς καὶ ἄγριος. Ἄλφα δὲ καλεῖται καὶ ὁ Ὄσιρις ὑπὸ Βυβλίων, ἀλλὰ καὶ τὸ ἐλάχιστον.

732. THEODOTOS Vor Al. Pol.

T

1 (Joseph. *c. Ap.* 1, 216: s. 737 F 1?)
2 (Tatian. Πρ. 'Ελλ. 37: s. 794 F 5)

F

ΠΕΡΙ ΙΟΥΔΑΙΩΝ (ΣΙΚΙΜΩΝ ΚΤΙΣΙΣ ?)

1 (III 217, 9) Euseb. *P.E.* 9, 22: (Demetrios 722 F 1 § 20) τὰ δὲ Σίκιμά φησι Θεόδοτος ἐν τῶι Περὶ 'Ιουδαίων ἀπὸ Σικιμίου τοῦ 'Ερμοῦ λαβεῖν τὴν ὀνομασίαν· τοῦτον γὰρ καὶ κτίσαι τὴν πόλιν. κεῖσθαι δ' αὐτήν φησιν † ἐν τῆι Περὶ 'Ιουδαίων οὕτως·

<<ἡ δ' ἄρ' ἔην ἀγαθή τε καὶ αἰγινόμος καὶ ὑδρηλή,
οὐδὲ μὲν ἔσκεν ὁδὸς δολιχὴ πόλιν εἰσαφικέσθαι
ἀγρόθεν· οὐδέ ποτε δρία λαχνήεντα πονεῦσιν.
ἐξ αὐτῆς δὲ μάλ' ἄγχι δύ' οὔρεα φαίνετ' ἐρυμνά,
ποίης τε πλήθοντα καὶ ὕλης· τῶν δὲ μεσηγὺ
ἀτράπιτὸς τέτμηται, ἀραιή [αὐλῶπις]· ἐν δ' ἑτέρωθι
ἡ διερὴ Σικίμων καταφαίνεται, ἱερὸν ἄστυ,
νέρθεν ὑπὸ ῥίζηι δεδμημένον, ἀμφὶ δὲ τεῖχος
λισσὸν ὑπώρειαν, ὑπὸ δ' ἔδραμεν αἰπύθεν ἕρκος>>.

(2) ὕστερον δέ φησιν αὐτὴν ὑπὸ 'Εβραίων κατασχεθῆναι, δυναστεύοντος 'Εμμώρ· τὸν γὰρ 'Εμμὼρ υἱὸν γεννῆσαι Συχέμ. φησὶ δέ·

---

1 Hesych. s.v. ἄλφα· βοὸς κεφαλή· Φοίνικες 1-4: Phot. *Bibl.* 190 p. 151b 9 ff. ὅτι φλυαρῶν οὗτος ὁ μυθογράφος <<Μωσῆς>> φησίν (φασιν A) <<ὁ τῶν 'Εβραίων νομοθέτης ἄλφα ἐκαλεῖτο διὰ τὸ ἀλφοὺς ἔχειν ἐπὶ τοῦ σώματος [subjekt Ptolemaios Hephaistionos (Chennos); cf. ebd. 279 p. 529 b 27 ὅτι φλυαρεῖ καὶ οὗτος (Helladios) τὸν Μωσῆν ἄλφα καλεῖσθαι, διότι ἀλφοῖς τὸ σῶμα κατάστικτος ἦν, καὶ καλεῖ τοῦ ψεύδους τὸν Φίλωνα μάρτυρα] 4 οὕτω: ἄλφα δὲ ἐκαλεῖτο Syn 5 ὑπὸ Syn ἀπὸ Berol 'Ασβωτῶν: 'Ασδωτίων ('Αζωτίων) E. Schwartz φοινικι^{η} Berol 6 καλεῖται δὲ π. Φ. ὁ ἀπ. καὶ ἄ. Syn 7 βιβλίων Syn Berol 10-11: beide zeugnisse zweifelhaft; s. Komm. 14 σίκιμα O σίκημα I σίκιμι B 15 'Ερμοῦ: 'Εμμὼρ Ludwich, Gifford, Mras 16 ἐν τῆι [περὶ] 'Ιουδ. Gaisford, Gifford ἐν τῆι * (buchzahl; cf. no. 729) Π. 'Ιουδ. (ο. τῶν Π. 'Ι.)? 19 πονεῦσιν: ἀπόερσεν H. Grotius 20-p. 693, 7 ἐξ – ἶκτο om. B 22 [αὐλῶπις] Gaisford γλυφίς Ludwich 23 ἡ διερὴ Grotius ἥδ' ἱερὴ IO 25 ὑπὸ δ' ἔδρομεν IO ὑποδέδραμεν Grotius λισσόν, ὑπώρειαν ὑποδέδρομεν? αἰπύθεν: αἰπύεν Scal αἰπυὸν Grotius 26-27 τὸν δὲ – φησὶ γάρ?

<<ἐνθένδε, ξένε, ποιμενόθι (?) πόλιν ἦλυθ' Ἰακὼβ
εὐρεῖαν Σικίμων· ἐπὶ δ' ἀνδράσι τοῖσιν ἔτησιν
ἀρχὸς Ἐμὼρ σὺν παιδὶ Συχέμ, μάλ' ἀτειρέε φῶτε>>.

(3) εἶτα περὶ Ἰακὼβ καὶ τὴν εἰς Μεσοποταμίαν αὐτοῦ παρουσίαν καὶ τὸν τῶν δύο γυναικῶν γάμον καὶ τὴν τῶν τέκνων γένεσιν καὶ τὴν παρουσίαν τὴν ἐκ Μεσοποταμίας ἐπὶ τὰ Σίκιμα· ἐπεὶ δὲ

<<Ἰακὼβ Συρίην κτηνοτρόφον ἵκτο, καὶ εὐρὺ
ῥεῖθρον Εὐφρήταο λίπεν ποταμοῦ κελάδοντος.
ἦλυθε γὰρ κἀκεῖθι λιπὼν δριμεῖαν ἐνιπὴν
αὐτοκασιγνήτοιο· πρόφρων ὑπέδεκτο δόμονδε
Λάβαν, ὅς οἱ ἔην μὲν ἀνεψιός, ἀλλὰ τότ' οἶος
ἤνασσεν Συρίης, νειηγενὲς αἷμα λελογχώς.
τῶι δὲ γάμον κούρης μὲν ὑπέσχετο καὶ κατένευσεν
ὁπλοτάτης· οὐ μὴν τελέθειν ἐπεμαίετο πάμπαν,
ἀλλὰ δόλον τολύπευσε, καὶ εἰς λέχος ἀνέρι πέμπε
Λεΐαν, ἥ οἱ ἔην προγενεστέρη· οὐδέ μιν ἔμπης
ἔλλαθεν, ἀλλ' ἐνόησε κακορραφίην, καὶ ἔδεκτο
παῖδ' ἑτέρην, ἀμφοῖν δ' ἐμίγη σὺν ὁμαίμοσιν ᾗσι.
τῶι δ' υἱεῖς ἐγένοντο νόωι πεπνυμένοι αἰνῶς
ἕνδεκα, καὶ κούρη Δεῖνα περικαλλὲς ἔχουσα
εἶδος, ἐπίστρεπτον δὲ δέμας καὶ ἀμύμονα θυμόν>>.

(4) ἀπὸ δὲ τοῦ Εὐφράτου φησὶ τὸν Ἰακὼβ ἐλθεῖν εἰς τὰ Σίκιμα πρὸς Ἐμμώρ, τὸν δ' ὑποδέξασθαι αὐτόν, καὶ μέρος τι τῆς χώρας δοῦναι· καὶ αὐτὸν μὲν τὸν Ἰακὼβ γεωμορεῖν, τοὺς δὲ υἱοὺς αὐτοῦ ἕνδεκα τὸν ἀριθμὸν ὄντας ποιμαίνειν, τὴν δὲ θυγατέρα Δεῖναν καὶ τὰς γυναῖκας ἐριουργεῖν. καὶ τὴν Δεῖναν παρθένον οὖσαν εἰς τὰ Σίκιμα ἐλθεῖν πανηγύρεως οὔσης, βουλομένην θεάσασθαι τὴν πόλιν, Συχὲμ δὲ τὸν τοῦ Ἐμμὼρ υἱὸν ἰδόντα ἐρασθῆναι αὐτῆς, καὶ ἁρπάσαντα ὡς ἑαυτὸν διακομίσαι, καὶ φθεῖραι αὐτήν. (5) αὖθις δὲ σὺν τῶι πατρὶ ἐλθόντα πρὸς τὸν Ἰακὼβ αἰτεῖν αὐτὴν πρὸς γάμου κοινωνίαν· τὸν δὲ οὐ φάναι δώσειν, πρὶν ἂν ἢ πάντας τοὺς οἰκοῦντας τὰ Σίκιμα περιτεμνομένους ἰουδαΐσαι· τὸν δὲ Ἐμμὼρ φάναι πείσειν αὐτούς. (6) φησὶ δὲ περὶ τοῦ δεῖν περιτέμνεσθαι αὐτοὺς ὁ Ἰακώβ·

<<οὐ γὰρ δὴ θεμιτόν γε τόδ' Ἑβραίοισι τέτυκται,
γαμβροὺς ἄλλοθεν εἴς γε νυοὺς ἀγέμεν ποτὶ δῶμα,
ἀλλ' ὅστις γενεῆς ἐξεύχεται εἶναι ὁμοίης>>.

---

1 ξένε: ξὺν Kuiper ποίμνηθεν Vigier ποιμενόθεν Heinichen ποιμνιόφιν Kuiper ποιμενόφι (= ποιμένων) Mras 3 Ἐμὼρ Steph ἐμμὼρ IO ἀτειρέε Scal ἀτηρέε IO 4 δυοῖν I 6-7 ἐπεὶ δὲ: εἰς δ' Ἰακὼβ Vigier εἶπε δὲ Mras 7 ἵκτο Vigier ἵατο I εἴατο O 8 ἀφρήταο I om. B λίπεν I λεῖπεν BO 10 πρόφρων <δ'>? 11 ἔην Scal ἔτας BIO τότ' οἶος B τότ' οἶος I τόθ' οἶος O 12 ἤνασσε O νειηγενὲς Steph νεη- O 15 λάχος I 17 ἔλαθεν BI(?) 20 δῖνα (auch lin. 24; 25) B 21 ἐπίστρεπτον Heinichen -πρεπον B -πρεπτον O -τρεπτον I 22 ἐφράτου B 24 υἱοὺς – ὄντας IO ἕνδεκα υἱοὺς αὐτοῦ B θυγατέρα om. B 26 βουλομένη B υἱὸν om. B 26-27 ἰδόντα καὶ τρωθέντα ἁρπᾶσαι (!) καὶ B 27 αὐτὴν om. B 28 πρὸς γάμου κοινωνίαν IO εἰς γυναῖκα B 28-29 φησὶ δοῦναι B 29 ἂν om. B τοὺς ἐν Σικίμοις B περιτμηθέντας B 30 φησὶ – αὐτοὺς om. B καὶ δὴ ὁ B 32 καὶ ἄλλοθεν B γενυοὺς IO γένοιος B ἀγέμεν ποτὶ Steph τεταγμένη ὅτι BO -νης ὅτι I

(7) εἶτα ὑποβὰς περὶ τῆς περιτομῆς·

<<ὅς ποθ' ἑῆς πάτρης ἐξήγαγε δῖον Ἀβραὰμ
αὐτὸς ἀπ' οὐρανόθεν κάλεσ' ἀνέρα παντὶ σὺν οἴκωι
σάρκ' ἀποσυλῆσαι πόσθης ἄπο, καί ῥ' ἐτέλεσσεν·
ἀστεμφὲς δὲ τέτυκται, ἐπεὶ θεὸς αὐτὸς ἔειπε>>.

(8) πορευθέντος οὖν εἰς τὴν πόλιν τοῦ Ἐμμώρ, καὶ τοὺς ὑποτασσομένους παρακαλοῦντος περιτέμνεσθαι, ἕνα τῶν Ἰακὼβ υἱῶν τὸ ὄνομα Συμεῶνα διαγνῶναι, τόν τε Ἐμμὼρ καὶ τὸν Συχὲμ ἀνελεῖν, τὴν ὕβριν τῆς ἀδελφῆς μὴ βουληθέντα πολιτικῶς ἐνεγκεῖν· ταῦτα δὲ διαγνόντα Λευὶν τῶι ἀδελφῶι κοινώσασθαι. λαβόντα δ' αὐτὸν συγκάταινον ἐπὶ τὴν πρᾶξιν παρορμῆσαι, λόγιον προφερόμενον τὸν θεὸν ἀνελεῖν, φάμενον τοῖς Ἀβραὰμ ἀπογόνοις δέκα ἔθνη δώσειν. (9) φησὶ δὲ οὕτως ὁ Συμεὼν πρὸς τὸν Λευίν·

<<εὖ γὰρ ἐγὼ μῦθόν <γε> πεπυσμένος εἰμὶ θεοῖο·
δώσειν γὰρ ποτ' ἔφησε δέχ' ἔθνεα παισὶν Ἀβραάμ>>.

τὸν δὲ θεὸν αὐτοῖς τοῦτον τὸν νοῦν ἐμβαλεῖν διὰ τὸ τοὺς ἐν Σικίμοις ἀσεβεῖς εἶναι. φησὶ δέ·

<<βλάπτε θεὸς Σικίμων οἰκήτορας· οὐ γὰρ ἔτιον
εἰς αὐτοὺς ὅστις κε μόληι κακὸς οὐδὲ μὲν ἐσθλός·
οὐδὲ δίκας ἐδίκαζον ἀνὰ πτόλιν οὐδὲ θέμιστας,
λοίγια δ' ὠρώρει τοῖσιν μεμελημένα ἔργα>>.

(10) τὸν οὖν Λευὶν καὶ τὸν Συμεῶνα εἰς τὴν πόλιν καθωπλισμένους ἐλθεῖν, καὶ πρῶτα μὲν τοὺς ἐντυγχάνοντας ἀναιρεῖν, ἔπειτα δὲ καὶ τὸν Ἐμμὼρ καὶ τὸν Συχὲμ φονεῦσαι. (11) λέγει δὲ περὶ τῆς ἀναιρέσεως αὐτῶν οὕτως·

<<ὡς τότε δὴ Συμεὼν μὲν Ἐμὼρ ὥρουσεν ἐπ' αὐτόν,
πλῆξέ τέ οἱ κεφαλήν, δειρὴν δ' ἕλεν ἐν χερὶ λαιῆι,
λεῖψε δ' ἔτι σπαίρουσαν, ἐπεὶ πόνος ἄλλος ὀρώρει.
τόφρα δὲ καὶ Λευὶν μένος ἄσχετος ἔλλαβε χαίτης
γούνων ἁπτόμενον Συχέμ, ἄσπετα μαργήναντα·
ἤλασε δὲ κληῖδα μέσην, δῦ δὲ ξίφος ὀξὺ
σπλάγχνα διὰ στέρνων, λίπε δὲ ψυχὴ δέμας εὐθύς>>.

(12) πυθομένους δὲ καὶ τοὺς ἑτέρους ἀδελφοὺς τὴν πρᾶξιν αὐτῶν ἐπιβοηθῆσαι, καὶ τὴν πόλιν ἐκπορθῆσαι, καὶ τὴν ἀδελφὴν ἀναρρυσαμένους μετὰ τῶν αἰχμαλώτων εἰς τὴν πατρώιαν ἔπαυλιν διακομίσαι.

733. THEOPHILOS

Vor Al. Pol.

T

1 Joseph. *c. Ap.* 1, 216: s. 737 F 1.

2-5 om. B 2 ποθ' ἑῆς Steph ποτ' ἐπὶ IO ποτ' ἐπεὶ Mras ἐξή I 3 κάλεσ' IO κέλετ' Vigier 6 τοῦ om. O 9 διαγνόντα om. B σὺν κατ' αἶνον I 10 ὁρμῆσαι B 12 <γε> Steph πεπυσμένος Steph πεπεισμένος O 13 δέχ' ἔθνεα om. B 15 ἔτιον O αἴτιον BI 16 κε O καὶ BI μόλη BI μόλει O μόλοι Gifford κακὸς BO καλὸς I 17 πτόλιν O πόλιν BI 18-23 λοίγια – οἱ om. B 22 Ἐμὼρ Steph ἐμμὼρ IO αὐτόν Steph αὐτῶν I αὐτῶ O 23 χειρὶ B 25 ἔλαβε BI 26 μαργήναντα B μάργην ὄντα IO 28 εὐθύς Steph αὖθις BIO 30 ἀναρυσαμένους O

F

1 (III 228, 19) EUSEB. *P.E.* 9, 34, 19: (Eupolemos 723 F 2) Θεόφιλος δέ φησι τὸν περισσεύσαντα χρυσὸν τὸν Σολομῶνα τῶι Τυρίων βασιλεῖ πέμψαι, τὸν δὲ εἰκόνα τῆς θυγατρὸς ζῶιον ὁλοσώματον κατασκευάσαι, καὶ ἔλυτρον τῶι ἀνδριάντι τὸν χρυσοῦν κίονα περιθεῖναι.

734. IUSTUS VON TIBERIAS

s. I2[a]

T

1 (III 523) HIERON. *De vir. ill.* 14 (*Texte u. Unters.* XIV 1 p. 16; PSEUDO-SOPRONIOS *ebd.* 17; SUDA s.v. Ἰοῦστος Τιβερεύς): *Justus Tiberiensis de provincia Galileae conatus est et ipse Judaicarum rerum historiam texere et quosdam commentarios de Scripturis. sed hunc Josephus arguit mendacii. constat autem illum eo tempore scripsisse, quo et Josephus.* EUSEB. *H.E.* 3, 10, 8.

2 PHOT. *Bibl.* 31 p. 6 b 23: ἀνεγνώσθη Ἰούστου Τιβεριέως χρονικόν, οὗ ἡ ἐπιγραφὴ "Ἰούστου Τιβεριέως Ἰουδαίων βασιλέων τῶν ἐν τοῖς στέμμασιν'. (2) οὗτος ἀπὸ πόλεως τῆς ἐν Γαλιλαίαι Τιβεριάδος ὡρμᾶτο. (3) ἄρχεται δὲ τῆς ἱστορίας ἀπὸ Μωυσέως, καταλήγει δὲ ἕως τελευτῆς Ἀγρίππα τοῦ ἑβδόμου μὲν τῶν ἀπὸ τῆς οἰκίας Ἡρώδου, ὑστάτου δὲ ἐν τοῖς Ἰουδαίων βασιλεῦσιν, ὃς παρέλαβε μὲν τὴν ἀρχὴν ἐπὶ Κλαυδίου, ηὐξήθη δὲ ἐπὶ Νέρωνος καὶ ἔτι μᾶλλον ὑπὸ Οὐεσπασιανοῦ, τελευτᾶι δὲ ἔτει τρίτωι Τραιανοῦ (100[p]), οὗ καὶ ἡ ἱστορία κατέληξεν. (4) ἔστι δὲ τὴν φράσιν συντομώτατός τε καὶ τὰ πλεῖστα τῶν ἀναγκαιοτάτων παρατρέχων. ὡς δὲ τὰ Ἰουδαίων νοσῶν, Ἰουδαῖος καὶ αὐτὸς ὑπάρχων τὸ γένος, τῆς Χριστοῦ παρουσίας καὶ τῶν περὶ αὐτὸν τελεσθέντων καὶ τῶν ὑπ' αὐτοῦ τερατουργηθέντων οὐδὲν ὅλως μνήμην ἐποιήσατο. (5) οὗτος παῖς μὲν ἦν Ἰουδαίου τινὸς ὄνομα Πίστου, ἀνθρώπων δέ, ὥς φησι Ἰώσηπος, κακουργότατος, χρημάτων τε καὶ ἡδονῶν ἥττων. ἀντεπολιτεύετο δὲ Ἰωσήπωι, καὶ πολλὰς κατ' ἐκείνου λέγεται ἐπιβουλὰς ῥάψαι, ἀλλὰ τόν γε Ἰώσηπον, καίτοι ὑπὸ χεῖρα πολλάκις λαβόντα τὸν ἐχθρόν, λόγοις μόνον ὀνειδίσαντα ἀπαθῆ κακῶν ἀφεῖναι. (6) καὶ τὴν ἱστορίαν δὲ ἣν ἐκεῖνος ἔγραψε, πεπλασμένην τὰ πλεῖστά φησι τυγχάνειν, καὶ μάλιστα οἷς τὸν Ῥωμαικὸν πρὸς Ἰουδαίους διέξεισι πόλεμον καὶ τὴν Ἱεροσολύμων ἅλωσιν.

---

3 περιττεύσαντα B τὸν Σολομῶνα I τ. -ντα B τῶ -ντι O τυρίων BI τύρωνι O 4 ζῶιον om. B 9 Τιβερεύς (zu T 5) Sud v.l. *Justinus* 10 v.l. *galilea* 15 <περὶ> Ἰουδαίων J. G. Vossius στέμμασιν <ἀναγραφή o.ä.>? 18 ὕστατον ς 20 τελευτᾶι – Τραιανοῦ: s. Komm. 22 ἰουδαῖός τε καὶ ς 23 τὸ om. A 24 οὐδὲν A οὐδενὸς r οὐδ' Bkr 25 πιστοῦ ς 29 πεπλασμένην ἣν ἐκ. ἔ. A 30 φησι? Bkr φασι o

3 a) Joseph. *Vita* 40: καὶ γὰρ οὐδ' ἄπειρος ἦν (Justus) παιδείας τῆς παρ' Ἕλλησιν, ἧι θαρρῶν ἐπεχείρησεν καὶ τὴν ἱστορίαν τῶν πραγμάτων τούτων (Vespasians Judenkrieg) ἀναγράφειν, ὡς τῶι λόγωι τούτωι περιεσόμενος τῆς ἀληθείας. b) -- 336: γεγονὼς δ' ἐνταῦθα τῆς διηγήσεως βούλομαι πρὸς Ἰοῦστον καὶ αὐτὸν τὴν περὶ τούτων πραγματείαν γεγραφότα πρός τε τοὺς ἄλλους τοὺς ἱστορίαν μὲν γράφειν ὑπισχνουμένους, περὶ δὲ τὴν ἀλήθειαν ὀλιγώρους καὶ δι' ἔχθραν ἢ χάριν τὸ ψεῦδος οὐκ ἐντρεπομένους μικρὰ διελθεῖν . . . (338) Ἰοῦστος γοῦν συγγράφειν τὰς περὶ τούτων ἐπιχειρήσας πράξεις [τὸν πόλεμον] ὑπὲρ τοῦ δοκεῖν φιλόπονος εἶναι ἐμοῦ μὲν κατέψευσται, ἠλήθευσε δὲ οὐδὲ περὶ τῆς πατρίδος· ὅθεν ἀπολογήσασθαι γὰρ νῦν ἀνάγκην ἔχω καταψευδομαρτυρούμενος, ἐρῶ τὰ μέχρι νῦν σεσιωπημένα. (339) καὶ μὴ θαυμάσηι τις, ὅτι μὴ πάλαι περὶ τούτων ἐδήλωσα· τῶι γὰρ ἱστορίαν ἀναγράφοντι τὸ μὲν ἀληθεύειν ἀναγκαῖον, ἔξεστιν δ' ὅμως μὴ πικρῶς τὰς τινῶν πονηρίας ἐλέγχειν, οὐ διὰ τὴν πρὸς ἐκείνους χάριν ἀλλὰ διὰ τὴν αὐτοῦ μετριότητα. (340) πῶς οὖν, ἵνα φῶ πρὸς αὐτὸν ὡς παρόντα, Ἰοῦστε δεινότατε συγγραφέων, τοῦτο γὰρ αὐχεῖς περὶ σεαυτοῦ, αἴτιοι γεγόναμεν ἐγώ τε καὶ Γαλιλαῖοι τῆι πατρίδι σου τῆς πρὸς Ῥωμαίους καὶ πρὸς τὸν βασιλέα στάσεως (es folgt F 5; T 6 f) . . . . (345) βούλομαι δ' εἰπεῖν καὶ πρὸς τοὺς ἄλλους Τιβεριεῖς ὀλίγα διὰ σέ, καὶ παραστῆσαι τοῖς ἐντυγχάνειν μέλλουσιν ταῖς ἱστορίαις, ὅτι μήτε φιλορώμαιοι μήτε φιλοβασιλεῖς γεγόνατε. c) -- 359: (357-358: s. T 6 g) εἰ δὲ θαρρεῖς ἄμεινον ἁπάντων συγγεγραφέναι (F 4), διὰ τί ζώντων Οὐεσπασιανοῦ καὶ Τίτου τῶν αὐτοκρατόρων τῶν τὸν πόλεμον κατεργασαμένων καὶ βασιλέως Ἀγρίππα περιόντος ἔτι καὶ τῶν ἐκ τοῦ γένους αὐτοῦ πάντων, ἀνδρῶν τῆς Ἑλληνικῆς παιδείας ἐπὶ πλεῖστον ἡκόντων, τὴν ἱστορίαν οὐκ ἔφερες εἰς μέσον; (360) πρὸ γὰρ εἴκοσιν ἐτῶν εἶχες γεγραμμένην, καὶ παρ' εἰδότων ἔμελλες τῆς ἀκριβείας τὴν μαρτυρίαν ἀποφέρεσθαι· νῦν δ' ὅτ' ἐκεῖνοι μὲν οὐκέτ' εἰσὶν μεθ' ἡμῶν, ἐλεγχθῆναι δ' οὐ νομίζεις, τεθάρρηκας.

4 Steph. Byz. s.v. Τιβεριάς· πόλις τῆς Ἰουδαίας . . . . ἐκ ταύτης ἦν Ἰοῦστος ὁ τὸν Ἰουδαικὸν πόλεμον τὸν κατὰ Οὐεσπασιανοῦ ἱστορήσας.

5 Euseb. *Chron.* a. Abr. 2113 (97p): *Justus a Tiberiade Judaeorum scriptor agnoscitur.*

6 a) Joseph. *Vita* 32: στάσεις τρεῖς ἦσαν κατὰ τὴν πόλιν (Tiberias)· μία μὲν ἀνδρῶν εὐσχημόνων . . . . . (34) πάντες οὖν . . . κατὰ τὸν καιρὸν ἐκεῖνον ἐμμένειν

---

6 τὴν ἄλλους R 7-8 μικρὰ διελθεῖν om. RPMW 8 γοῦν: οὖν MW περὶ τοῦτον W; Niese 9 [τὸν π.] Jac τῶν πολέμων R καὶ τὸν πόλεμον A 10 οὐδὲ om. RP οὐ M 13 πονηρίας: τιμωρίας RPA 14 αὐτοῦ: ἑαυτοῦ MW 17 τῆς – στάσεως: τῇ – στάσει R τῇ – στάσεως P 20. γεγόνασι R 22 τῶν τ. π. κατεργασαμένων: τοῦ πολέμου γενομένων (-νου M) PAMW 23 περιόντος aus παρ- R[c] τοῦ γένους W τοῦ om. r 30-31: unter Nerva Hier, Arm; unter Trajan Synkell. p. 655, 7 Ddf 30 *der Tiberier* Arm τιβερεὺς (zu T 1) Synk

συνεβούλευον τῆι πρὸς τοὺς Ῥωμαίους καὶ τὸν βασιλέα πίστει. τῆι γνώμηι δ' οὐ συνηρέσκετο Πίστος, παραγόμενος ὑπὸ Ἰούστου τοῦ παιδός· καὶ γὰρ ἦν φύσει πως ἐπιμανής. (35) ἡ δευτέρα δὲ στάσις ἐξ ἀσημοτάτων συνεστηκυῖα πολεμεῖν ἔκρινεν. (36) Ἰοῦστος δ' ὁ Πίστου παῖς ὁ τῆς τρίτης μερίδος πρῶτος ὑπεκρίνετο μὲν ἐνδοιάζειν πρὸς τὸν πόλεμον, νεωτέρων δ' ἐπεθύμει πραγμάτων, ἐκ τῆς μεταβολῆς οἰόμενος δύναμιν ἑαυτῶι περιποιήσειν. (37-39 er reizt das volk durch eine rede zum kriege gegen die römisch gesinnten Sepphoriten und zur wiedergewinnung der vormachtstellung in Galilaea auf). (40) ἦν γὰρ ἱκανὸς δημαγωγεῖν καὶ τῶν ἀντιλεγόντων τὰ βελτίω περιεῖναι γοητείαι καὶ ἀπάτηι τῆι διὰ λόγων (T 3a) . . . (41) ἀλλὰ περὶ μὲν τούτου τοῦ ἀνδρὸς ὡς φαῦλος τὸν βίον ἐγένετο, καὶ ὡς σὺν τῶι ἀδελφῶι μικροῦ δεῖν καταστροφῆς αἴτιος ὑπῆρξεν, προιόντος τοῦ λόγου δηλώσομεν. (42) τότε δὲ πείσας ὁ Ἰοῦστος τοὺς πολίτας ἀναλαβεῖν τὰ ὅπλα, πολλοὺς δὲ καὶ μὴ θελήσαντας ἀναγκάσας, ἐξελθὼν σὺν πᾶσιν τούτοις ἐμπίπρησιν τάς τε Γαδαρηνῶν καὶ Ἱππηνῶν κώμας (T 6 f), αἳ δὴ μεθόριοι τῆς Τιβεριάδος καὶ τῆς τῶν Σκυθοπολιτῶν γῆς ἐτύγχανον κείμεναι. **b**) – – 62-65: Josephus, der in Galilaea angekommen, bescheidet die Τιβεριέων βουλή und die πρῶτοι τοῦ δήμου vor sich εἰς κώμην τινὰ Βηθμαοῦς λεγομένην, ἀπέχουσαν Τιβεριάδος στάδια τέσσαρα. καὶ παραγενομένων (ἐληλύθει δὲ σὺν αὐτοῖς καὶ Ἰοῦστος), bestimmt er sie zur zerstörung des mit tierbildern geschmückten hauses des tetrarchen Herodes. Während dessen plündert Ἰησοῦς ὁ τοῦ Σαπφία παῖς, ὃν τῆς τῶν ναυτῶν καὶ τῶν ἀπόρων στάσεως πρῶτον ἔφαμεν ἄρξαι (–), das haus und lässt die ἐνοικοῦντες Ἕλληνες niedermetzeln. **c**) – – 87: ὁ δὲ Ἰωάννης (von Gischala) ἀφικόμενος εἰς τὴν Τιβεριέων πόλιν ἔπειθε τοὺς ἀνθρώπους ἀποστάντας τῆς πρός με πίστεως προστίθεσθαι αὐτῶι· καὶ πολλοὶ τὴν παράκλησιν ἡδέως ἐδέξαντο, νεωτέρων ἐπιθυμοῦντες αἰεὶ πραγμάτων καὶ φύσει πρὸς μεταβολὰς ἐπιτηδείως ἔχοντες καὶ στάσεσι χαίροντες. (88) μάλιστα δὲ Ἰοῦστος καὶ ὁ πατὴρ αὐτοῦ Πίστος ὡρμήκεσαν ἀποστάντες ἐμοῦ προσθέσθαι τῶι Ἰωάννηι. **d**) – – 174: Τιβεριεῖς δὲ ὡς εἰς τὰς Ταριχέας ἀφικόμην . . . ἀπεθαύμαζον ὅτι χωρὶς φόνων ἔπαυσα τὴν ἀγνωμοσύνην αὐτῶν. (175) ἐγὼ δὲ τοὺς ἐκ τῆς εἱρκτῆς μεταπεμψάμενος τοῦ πλήθους τῶν Τιβεριέων (ἦν δὲ σὺν αὐτοῖς Ἰοῦστος καὶ ὁ πατὴρ αὐτοῦ Πίστος) συνδείπνους ἐποιησάμην· καὶ παρὰ τὴν ἑστίασιν ἔλεγον, ὅτι τὴν Ῥωμαίων δύναμιν οὐδ' αὐτὸς ἀγνοῶ πασῶν διαφέρουσαν, σιγώιην μέντοι περὶ αὐτῆς διὰ τοὺς λῃστάς (*i.e.* die anhänger des Johannes). (176) καὶ αὐτοῖς δὲ ταῦτα συνεβούλευον ποιεῖν, τὸν ἐπιτήδειον περιμένουσι καιρόν, καὶ μὴ δυσανασχετεῖν ἐμοὶ στρατηγῶι· μηδενὸς γὰρ αὐτοὺς ἑτέρου δυνήσεσθαι ῥαιδίως ἐπιεικοῦς ὁμοίως τυχεῖν. (177) τὸν Ἰοῦστον δὲ καὶ ὑπεμίμνησκον, ὅτι πρόσθεν ἤ με παραγενέσθαι ἐκ τῶν Ἱεροσολύμων οἱ Γαλιλαῖοι τἀδελφοῦ τὰς χεῖρας ἀποκόψειαν αὐτοῦ πρὸ τοῦ πολέμου, πλαστῶν αὐτῶι γραμμάτων κακουργίαν ἐπικαλέσαντες, καὶ ὅτι μετὰ τὴν ἀναχώρησιν τὴν Φιλίππου Γαμαλῖται πρὸς Βαβυλωνίους στασιάζοντες ἀνέλοιεν Χάρητα (συγγενὴς δ' ἦν οὗτος τοῦ Φιλίππου), καὶ ὡς Ἰησοῦν τὸν ἀδελφὸν αὐτοῦ, ἄνδρα τῆς ἀδελφῆς Ἰούστου, σωφρόνως κολάσειαν. (178) ταῦτα παρὰ τὴν ἑστίασιν διαλεχθεὶς τοῖς περὶ τὸν Ἰοῦστον, ἕωθεν

---

1 τῆι om. MW 'fort. corruptela subest' Niese 2 Πίστος: πιστός Hss γρ. πρίσκος A^{mg} παραγόμενος Ddf παραγενόμενος o ἐπιφανής MW 4 πίστου A^{1} γρ. πρίσκου A^{mg} πιστοῦ r 11 ὁ om. RAMW 13 ἐκπίπρησι R καὶ ἰοππηνῶν R 19 σαφία R ἀφία A 25 πιστὸς o 26 ταριχαίας RA^{c} 29 πίστος M πιστός r 30 μέντοι: μὲν RPMW 31 αὐτοῖς: αὔτους (so) R τοῖς MW ταὐτὰ A 32 μὴ om. R 34 ἢ ἐμέ (cf. p. 698, 4)? 36 ἀποκαλέσαντες RPMW 38 σώφρονος RA^{mg} 39 τοῖς: τούς R

ἐκέλευσα πάντας τῆς φυλακῆς ἀπολυθῆναι. **e)** – – 276-278: die Tiberienser und ihr archon Jesus wünschen Jonathes als strategen statt des Josephus. (279) ταῦτ' εἰπόντα τὸν Ἰησοῦν ἐπήινει παρελθὼν Ἰοῦστος, καί τινας ἐκ τοῦ δήμου συνέπειθεν. **f)** – – 341: (T 3b; F 5) πρότερον γὰρ ἢ ἐμὲ τῆς Γαλιλαίας στρατηγὸν ὑπὸ τοῦ κοινοῦ τῶν Ἱεροσολυμιτῶν χειροτονηθῆναι σὺ καὶ πάντες Τιβεριεῖς οὐ μόνον ἀνειλήφατε τὰ ὅπλα, ἀλλὰ καὶ τὰς ἐν τῆι Συρίαι δέκα πόλεις ἐπολεμεῖτε· σὺ γοῦν τὰς κώμας αὐτῶν ἐνέπρησας (T 6a), καὶ ὁ σὸς οἰκέτης ἐπὶ τῆς παρατάξεως ἐκείνης ἔπεσεν. (342) ταῦτα δὲ οὐκ ἐγὼ λέγω μόνος, ἀλλὰ καὶ ἐν τοῖς Οὐεσπασιανοῦ τοῦ αὐτοκράτορος ὑπομνήμασιν (F 1 Peter) οὕτως γέγραπται, καὶ τίνα τρόπον ἐν Πτολεμαίδι Οὐεσπασιανοῦ κατεβόησαν οἱ τῶν δέκα πόλεων ἔνοικοι, τιμωρίαν ὑποσχεῖν σε τὸν αἴτιον ἀξιοῦντες. (343) καὶ δεδώκεις ἂν δίκην Οὐεσπασιανοῦ κελεύσαντος, εἰ μὴ βασιλεὺς Ἀγρίππας λαβὼν ἐξουσίαν ἀποκτεῖναί σε, πολλὰ τῆς ἀδελφῆς Βερενίκης δεηθείσης, οὐκ ἀνελὼν δεδεμένον ἐπὶ πολὺν χρόνον ἐφύλαξεν. (344) καὶ αἱ μετὰ ταῦτα δὲ πολιτεῖαί σου σαφῶς ἐμφανίζουσιν τόν τε βίον τὸν ἄλλον, καὶ ὅτι σὺ τὴν πατρίδα Ῥωμαίων ἀπέστησας, ὧν τὰ τεκμήρια κἀγὼ δηλώσω μετ' ὀλίγον. (345) s. T 3b. **g)** – – 355: κἀγὼ μὲν πονηρός, ὡς λέγεις, ὁ δὲ βασιλεὺς Ἀγρίππας ὁ τὴν ψυχήν σοι συγχωρήσας ὑπὸ Οὐεσπασιανοῦ θανεῖν κατακριθέντι, ὁ τοσούτοις δωρησάμενος χρήμασιν, τίνος ἕνεκεν ὕστερον δὶς μὲν ἔδησε, τοσαυτάκις δὲ φυγεῖν τὴν πατρίδα προσέταξεν, καὶ ἀποθανεῖν δὲ κελεύσας ἅπαξ τῆι ἀδελφῆι Βερενίκηι πολλὰ δεηθείσηι τὴν σὴν σωτηρίαν ἐχαρίσατο; (356) καὶ μετὰ τοσαῦτα δέ σου κακουργήματα τάξιν ἐπιστολῶν σοι πιστεύσας, ὡς καὶ ταύταις εὗρε ῥαιδιουργόν, ἀπήλασε τῆς ὄψεως. (357) ἀλλὰ περὶ μὲν τούτων ἐλέγχειν ἐπ' ἀκριβὲς ἐῶ, θαυμάζειν δ' ἔπεισί μοι τὴν σὴν ἀναίδειαν, ὅτι τολμᾶις λέγειν (F 4) ἁπάντων τῶν τὴν πραγματείαν ταύτην γεγραφότων αὐτὸς ἄμεινον ἐξηγγελκέναι, μήτε τὰ πραχθέντα κατὰ τὴν Γαλιλαίαν ἐπιστάμενος – ἦς γὰρ ἐν Βηρυτῶι τότε παρὰ βασιλεῖ – μήθ' ὅσα ἔπαθον Ῥωμαῖοι ἐπὶ τῆς Ἰωταπάτων πολιορκίας ἢ ἔδρασαν ἡμᾶς παρακολουθήσας, μήθ' ὅσα κατ' ἐμαυτὸν ἔπραξα πολιορκούμενος δυνηθεὶς πυθέσθαι· πάντες γὰρ οἱ ἀπαγγείλαντες ἂν διεφθάρησαν ἐπὶ τῆς παρατάξεως ἐκείνης. (358) ἀλλ' ἴσως τὰ κατὰ τὴν Ἱεροσόλυμα πραχθέντα μετὰ ἀκριβείας φήσεις συγγεγραφέναι. καὶ πῶς οἷόν τε; οὔτε γὰρ τῶι πολέμωι παρέτυχες οὔτε τὰ Καίσαρος ἀνέγνως ὑπομνήματα. μέγιστον δὲ τεκμήριον· τοῖς γὰρ Καίσαρος ὑπομνήμασιν ἐναντίαν πεποίησαι τὴν γραφήν. (359 f.: T 3c). **h)** – – 390: (381-389 Josephus rettet Tiberias, dessen vornehme mit Agrippa gezettelt haben, und Agrippas boten Krispos vor dem zorn der Galilaeer) κατὰ τοῦτον δὲ τὸν καιρὸν Ἰοῦστος ὁ Πίστου παῖς λαθὼν ἐμὲ διαδιδράσκει πρὸς τὸν βασιλέα· τὴν αἰτίαν δὲ δι' ἣν τοῦτ' ἔπραξεν, ἀφηγήσομαι. (391) λαβόντος ἀρχὴν Ἰουδαίοις τοῦ πρὸς Ῥωμαίους πολέμου, Τιβεριεῖς διεγνώκεισαν ὑπακούειν βασιλεῖ, καὶ Ῥωμαίων μὴ ἀφίστασθαι. πείθει δ' αὐτοὺς Ἰοῦστος (cf. T 6a) ἐφ' ὅπλα χωρῆσαι, νεωτέρων αὐτὸς ἐφιέμενος πραγμάτων, καὶ δι' ἐλπίδος ἔχων ἄρξειν Γαλιλαίων τε καὶ τῆς ἑαυτοῦ πατρίδος. (392) οὐ μὴν τῶν προσδοκηθέντων

---

3 καὶ παρελθὼν ὁ MW   δήμου: πλήθους MW   6 τῆι om. R   9-13: kürzer, aber mit dem zusatz ἐπικρυψάμενος τοῦτο Οὐεσπασιανόν und erklärung von Vespasians verhalten (παρέδωκεν τῶι βασιλεῖ κολασθησόμενον ὑπὸ τῶν τῆς βασιλείας ὑποτελῶν) *Vita* 410   12 βερνίκης RMW   16 σοι: σου MW   18 βερονίκη P βερνίκη RMW   19 σὴν om. MW   20 σοι om. R   καὶ ταύταις: καὶ ταύτης R κ. ταύτας σὲ M κ. ταῦτα σὲ W κἀν ταύταις Niese   ῥαδιουργοῦντα MW   22-23 γεγραφηκότων MW   24 ἰωταπατῶν P ἰωταπάντων A   26 ἂν om. R   27 κατὰ τὰ R   ἱεροσολυμιτῶν PAMW   29 ἀναγνούς RPMW   μέγιστον ὃν MW μέγ. (om. δὲ) P   γὰρ om. AMW   32 πιστοῦ ο   35 αὐτούς: αὐτὸν R

ἐπέτυχεν· Γαλιλαῖοί τε γὰρ ἐχθρῶς ἔχοντες πρὸς τοὺς Τιβεριεῖς διὰ μῆνιν ὧν ὑπ' αὐτοῦ πρὸ τοῦ πολέμου πεπόνθεισαν, οὐκ ἠνείχοντο στρατηγοῦντος αὐτῶν 'Ιούστου· (393) κἀγὼ δὲ τὴν προστασίαν τῆς Γαλιλαίας πιστευθεὶς ὑπὸ τοῦ κοινοῦ τῶν 'Ιεροσολυμιτῶν πολλάκις εἰς τοσαύτην ἧκον ὀργήν, ὡς ὀλίγου δεῖν ἀποκτεῖναι τὸν 'Ιοῦστον, φέρειν αὐτοῦ τὴν μοχθηρίαν οὐ δυνάμενος. δείσας οὖν ἐκεῖνος μὴ καὶ λάβηι τέλος ἅπαξ ὁ θυμός, ἔπεμψε πρὸς βασιλέα Κρῖσπον, ἀσφαλέστερον οἰκήσειν παρ' ἐκείνωι νομίζων.

F

1. ΙΟΥΔΑΙΩΝ ΒΑΣΙΛΕΙΣ ΟΙ ΕΝ ΤΟΙΣ ΣΤΕΜΜΑΣΙΝ

(T 1-2)

1 Diog. Laert. 2, 41: κρινομένου δ' αὐτοῦ (*scil.* Σωκράτους), φησὶν 'Ιοῦστος ὁ Τιβεριεὺς ἐν τῶι Στέμματι Πλάτωνα ἀναβῆναι ἐπὶ τὸ βῆμα, καὶ εἰπεῖν 'νεώτατος ὤν, ὦ ἄνδρες 'Αθηναῖοι, τῶν ἐπὶ τὸ βῆμα ἀναβάντων', τοὺς δὲ δικαστὰς ἐκβοῆσαι 'κατάβα, κατάβα'.

***2** Euseb. *Chron.* p. 7b Helm (Synkell. p. 122, 3 Ddf; Eustath. Ant. *Hexaem.* 18 p. 707 Mi): Μωυσέα γένος 'Εβραῖον, προφητῶν ἁπάντων πρῶτον ... ἀμφί τε τῆς τῶν ἐθνῶν δι' αὐτοῦ θεογνωσίας χρησμοὺς καὶ λόγια θείαι γραφῆι παραδεδωκότα, τοῖς χρόνοις ἀκμάσαι κατὰ 'Ίναχον εἰρήκασιν ἄνδρες ἐν παιδεύσει γνώριμοι Κλήμης (*Strom.* 1, 101), 'Αφρικανός, Τατιανὸς τοῦ καθ' ἡμᾶς λόγου (Πρ. 'Ελλ. 38), τῶν τε ἐκ περιτομῆς 'Ιώσηππος (–) καὶ 'Ιοῦστος, ἰδίως ἕκαστος τὴν ἀπόδειξιν ἐκ παλαιᾶς ὑποσχὼν ἱστορίας.

***3** Synkell. p. 116, 17 (= Africanus): οἵ τε γὰρ ἐκ περιτομῆς πάντες, 'Ιωσηππός τε καὶ 'Ιοῦστος, οἵ τε ἐξ 'Ελλήνων, Πολέμων (IV) φημὶ καὶ 'Απίων (616 F 2), Ποσειδώνιος (87 F 69/70) καὶ 'Ηρόδοτος (–) τὴν ἐξ Αἰγύπτου πορείαν τοῦ 'Ισραὴλ κατὰ Φορωνέα καὶ 'Άπιδα τοὺς 'Αργείων βασιλεῖς συνέγραψαν, 'Αμώσεως Αἰγυπτίων βασιλεύοντος .....

2. ΙΟΥΔΑΙΚΟΣ ΠΟΛΕΜΟΣ (Ο ΚΑΤΑ ΟΥΕΣΠΑΣΙΑΝΟΥ)

4 Joseph. *Vita* 357; 358/9: T 3c; 6g.

5 Joseph. Vita 340 (u. 350): πῶς οὖν, ἵνα φῶ πρὸς αὐτὸν ὡς παρόντα, 'Ιοῦστε δεινότατε συγγραφέων (τοῦτο γὰρ αὐχεῖς περὶ σεαυτοῦ) αἴτιοι γεγόναμεν ἐγώ τε καὶ Γαλιλαῖοι τῆι πατρίδι σου τῆς πρὸς 'Ρωμαίους καὶ πρὸς τὸν βασιλέα στάσεως; (Es folgt T 6f).

3. ZWEIFELHAFTES

6 Suda s.v. Φλέγων: s. 737 F 3.

---

1 μῆνιν: μνήμην Ghelen (?) 5 καὶ om. MW 6 ἔπεμψε: ἐπέσωσε W ἐπέωσε M κρίσπον ὡς R κρεῖσσον καὶ A κρεῖσσον MW 15 'Εβραῖον Scal ἑβραίων Synk *gentis hebraeae* Hier 17 θείαι Goar θεῖα A θεία B *sacris litteris* Hier 22 πολέμω B

735. ANTONIUS JULIANUS (70/71 o.) 135

T

DE JUDAEIS

3 (4) STEPH. BYZ. s.v. Ὕδη· πόλις Λυδίας, ἐν ἧι ᾤικει Ὀμφάλη δυναστεύουσα Λυδῶν, Ἰορδάνου θυγάτηρ, ὡς Ἀπολλώνιος Καρικῶν δ̄. Ὅμηρος (*Il.* Η 221) διὰ τοῦ λ̄ «σκυτοτόμων ὄχ' ἄριστος, Ὕληι ἔνι οἰκία ναίων» .... Λέανδρος (492 F 11) δ', ὃν Νικάνωρ παρατίθησιν ἐν Μετονομασίαις (IV), τὴν αὐτὴν Ὕδην καὶ Σάρδεις φησίν.

4 (5) STEPH. BYZ. s.v. Ὑδισσός· πόλις Καρίας· ἀπὸ Ὑδίσσου παιδὸς Βελλεροφόντου καὶ Ἀστερίας θυγατρὸς Ὑδέου, ὡς Ἀπολλώνιος Καρικῶν δ̄· «ἐξ ὧν ἐγεννήθη Ὕδης (?), ἐξ οὗ καὶ ἡ πόλις Ὑδισσός». ὁ πολίτης Ὑδισσεύς, ὡς αὐτὸς Ἀπολλώνιός φησιν.

5 (3) STEPH. BYZ. s.v. Κύον· πόλις Καρίας. Ἀπολλώνιος δ̄ Καρικῶν· ἡ πρότερον Κανήβιον. τὸ ἐθνικὸν Κυίτης.

Ē

6 (6) STEPH. BYZ. s.v. Ὑλλούαλα· δῆμος Καρίας. Ἀπολλώνιος ε̄ Καρικῶν· «Κᾶρες δὲ τόπον ἐκεῖνον, ἔνθα Ὕλλος ἀπώλετο, Ὑλλούαλαν ὠνόμασαν, καὶ ἕδος ἐνταῦθα ἐδείμαντο Ἀπόλλωνος· καὶ νῦν ἔτι περὶ τὸν θεὸν δῆμός ἐστιν Ὑλλούαλα λεγόμενος». ἄλα γὰρ οἱ Κᾶρες τὸν ἵππον ἔλεγον», ὡς καὶ πρότερον (s.v. Ἀλάβανδα) εἴρηται.

---

7 Βάργασα o (Strab. 14, 2, 15; Head *HN*² p. 612): Βάργαζα Ptolem. 5, 2, 15 8 ὃν – Ἡρακλέους om. R 9 ἀπολλώνιος RV ἀπολλω^Η P δ RV β P ις̄ RV ιγ̄ P 11 ἰορδάνου o Ἰαρδάνου Holste, v ἀπολλ' P 13 λέανδρος VP νέανδρος (? aus λε- corr.) R ὃν Νικάνωρ Mei ὃν ἰκάνωρ R ὁ νικάνωρ VP 15 Ὑδισσοῦ Mei 16 ὑδέου (aus -αιου corr. R¹) o Ὑδέως Salm ἀπολλω^Η (auch lin. 18) P 17 ἐγενήθη VP ὕδης R ὕδῑς VP Ὑδισσός Salm, v ὑδησσός R 19 χύων R 23 Κᾶρες Salm χάρης (cf. Steph. Byz. s.v. Κρυασσός?) o ‹τὸν› τόπον v ἐκεῖνοι P 23-24 ὑλλ^Υ'αλαν R¹ ὑλλούαιαν P 24 ὠνόμασεν P ἐδείματο ἀπόλλωνι P 25 παρὰ τὸν θεὸν Pv περὶ τὸ ἕδος Salm περὶ τὸν νεὼν Mei 26 ἄλα (R s.v. Ἀλάβανδα) v ἄλλα o

Ζ̄

7 (7) Steph. Byz. s.v. Ἀρκόνησος· νῆσος Καρίας. Ἀπολλώνιος ζ Καρικῶν. τὸ ἐθνικὸν Ἀρκονήσιος.

8 (8) **a**) Steph. Byz. s.v. Χρυσαορίς· πόλις Καρίας, ἡ ὕστερον Ἰδριὰς ὀνομασθεῖσα. Ἀπολλώνιος ἐν ζ Καρικῶν· «καὶ πρώτη πόλις τῶν ὑπὸ Λυκίων κτισθεισῶν». τὸ ἐθνικὸν Χρυσαορεύς, ὡς αὐτὸς ἐν αὐτοῖς· «Ταυροπολῖται μὲν συνεμάχουν ‹καὶ Χρυσαορεῖς› καὶ Πλαρασεῖς». ἔστι καὶ Χρυσαορεῖς δῆμος. Ἐπαφρόδιτος δὲ τὴν Καρίαν πᾶσαν Χρυσαορίδα λέγεσθαι. **b**) – s.v. Ἰδριάς· πόλις τῆς Καρίας, ἡ πρότερον Χρυσαορίς, ἀπὸ Ἰδρίεω παιδὸς Καρός. ὁ οἰκῶν Ἰδριεύς, καὶ Ἰδριὰς τὸ θηλυκόν. **c**) – s.v. Πλάρασα· πόλις Καρίας. τὸ ἐθνικὸν Πλαρασεύς. **d**) – s.v. Ταυρόπολις· πόλις Καρίας. τὸ ἐθνικὸν Ταυροπολίτης.

Θ̄

***9** (9) Steph. Byz. s.v. Τάβαι· πόλις Λυδίας, περὶ ὧν ὁ χρησμός φησι πρὸς Πισίδας «ἄστυ Ταβῶν ἐρικυδὲς ἐλεύθερον οἰκίζεσθαι». καὶ Ἀπολλώνιος θ̄ «ἐδεήθησαν ὅπως αὐτοὺς εἰς Τάβας καταγάγωσι» . . . . ἐκλήθη δὲ ἀπὸ Τάβου· ὁ δὲ Τάβος ἥρως. οἱ δέ φασι (742 F 3) τὸν Κιβύραν καὶ Μαρσύαν ἀδελφοὺς τὸν μὲν κτίσαι Κιβύραν πόλιν, τὸν δὲ Τάβας, καὶ καλέσαι ἀπὸ τοῦ ἐπὶ πέτρας οἰκεῖσθαι· τάβαν γὰρ τὴν πέτραν Ἕλληνες ἑρμηνεύουσιν. ἔνιοι ἀπὸ Ταβηνοῦ Ἀργείου . . . . ἔστι καὶ ἄλλη πόλις Καρίας Τάβαι· καὶ τρίτη τῆς Περαίας, ἣν Ἀλέξανδρος ἐν τῶι Περὶ Συρίας (273 F 71) ἑρμηνεύει ἀγαθήν.

Ī

10 (10) Steph. Byz. s.v. Νάρκασος· πόλις καὶ δῆμος Καρίας. Ἀπολλώνιος ῑ Καρικῶν. ὁ δημότης καὶ ὁ πολίτης Ναρκασεύς.

ΙΓ̄

(F 2?)

ΙΕ̄

11 (10a) **a**) Et. M. p. 147, 57: Ἅρπασος· ποταμὸς Καρίας, πρότερον

2 ἀρκόννησος (Strab. 14, 2, 16) Pal (?) Holste ἀδριὰς o   5 καὶ ᾱ RP   πόλις τῶν V π. τὴν RP   Ἰδριὰς (**b**) κτισθεῖσαν P κατὰ R om. V   6 κτισθεισῶν Mei   7 ‹καὶ Χρ.› Mei   Πλαρασεῖς (**c**) Mei πλαρασσεῖς P πλαοσσεῖς V ταρασεῖς R   8 ἔστι om. V   δῆμος Mei $\overset{\text{δή}}{\text{μες}}$ R(?) δὲ VP   δὲ διὰ τὴν V   9-10: Steph. Byz. s.v. Εὔρωπος (richtig Εὔρωμος)· Καρίας, ἣν Ἰδριάδα ἀπὸ Ἰδριέως (Holste ἴδριος o) τοῦ Χρυσάορος u.s.v. Εὔρωμος (F 15)   14 πισίδιας P   τάβων o   ἐρικυδεύς P   ,$\overset{\text{H}}{\text{ἀπολλω}}$ P   22 νάρκασος (zwischen Ναισσός u. Νακολία) o Νάκρασος Holste Νάκαρσος? Mei   23 ναρκασεύς P ναρκανασσεύς R ναρκανασεύς V

Δαφνοῦς καλούμενος. εἴρηται δὲ διὰ τὸ ὀξύτατον τοῦ ῥοῦ, καὶ ὅτι ἁρπάζει τοὺς παριόντας αὐτῶι· οὕτως ἱστορεῖ Ἀπολλώνιος ἐν τῶι πέμπτωι καὶ δεκάτωι τῶν Καρικῶν. **b**) STEPH. BYZ s.v. Ἅρπασα· πόλις Καρίας· ἀπὸ Ἁρπάσου ποταμοῦ. τὸ ἐθνικὸν Ἁρπασεύς.

ΙΓ

12 (2) STEPH. BYZ. s.v. Βάργασα: s. F 2.

***13** (11) **a**) STEPH. BYZ. s.v. Λάγινα· πολίχνιον Καρίας. Ἀπολλώνιος Καρικῶν ις. τὸ ἐθνικὸν Λαγιναῖος καὶ Λαγινίτης, καὶ θηλυκῶς Λαγινῖτις. ἔστι καὶ Λαγίνεια Βιθυνίας. **b**) STEPH. BYZ. s.v. Ἑκατησία· οὕτως ἡ Ἰδριὰς (F 8) πόλις ἐκαλεῖτο Καρίας. ναὸν γὰρ τεύξαντες οἱ Κᾶρες τὴν θεὸν Λαγινῖτιν ἐκάλεσαν ἀπὸ τοῦ φυγόντος ζώιου ἐκεῖ, καὶ τὰ Ἑ<κα>τήσια τελοῦντες οὕτως ὠνόμασαν.

ΙΖ

14 (13) STEPH. BYZ. s.v. Ἄγκυρα (ET. M. p. 184, 36): Ἄγκυρα· πόλις Γαλατίας· οἱ δὲ Φρυγίας αὐτὴν ἀναγράφουσιν .... οἱ γὰρ ἀπὸ Κελτικῆς Γαλάται, ὡς Στράβων φησὶ ιβ (5, 1) εἰς τούτους πλανηθέντες τοὺς τόπους τριμερεῖς τε γενόμενοι εἰς τοσαύτας μοίρας διενείμαντο τὴν χώραν. Ἀπολλώνιος δὲ ἐν ιζ Καρικῶν ἱστορεῖ Μιθριδάτηι καὶ Ἀριοβαρζάνηι νεήλυδας τοὺς Γαλάτας συμμαχήσαντας διῶξαι τοὺς ὑπὸ Πτολεμαίου σταλέντας Αἰγυπτίους ἄχρι θαλάσσης, καὶ λαβεῖν τὰς ἀγκύρας τῶν νεῶν αὐτῶν, καὶ μισθὸν τῆς νίκης εἰς πολισμὸν λαβόντας χώραν κτίσαι, καὶ ὀνομάσαι οὕτως. c. 275ᵃ

15 (12) STEPH. BYZ. s.v. Εὔρωμος· πόλις Καρίας· ἀπὸ Εὐρώμου τοῦ Ἰδριέως Καρός. τὸ ἐθνικὸν Εὐρωμεύς. Ἀπολλώνιος ιζ Καρικῶν.

ΙΗ

16 (14) STEPH. BYZ. s.v. Χωλὸν τεῖχος· πόλις Καρίας, ὡς Ἀπολλώνιος ιη Καρικῶν. τὸ ἐθνικὸν Χωλοτειχίτης.

2. ΠΕΡΙ ΤΡΑΛΛΕΩΝ 3. ΠΕΡΙ ΟΡΦΕΩΣ

(T 1)

1 ὀξύτερον (Epit.) V ἢ ὅτι V [καὶ] ὅτι? 2 αὐτὸν V 2-3 οὕτως – Καρικῶν om. V 3 ἅρπασα – ποτ. om. P ἅπασα V 7 Λάγινα (τὰ Λάγινα Strab. 14, 2, 25; 29 [λαγγίνων o]) Mei λάγνια V λάγενα (?) R λαγινία P χαρία P Ἀπολλώνιος Mei ἀπόλλωνος RV ἀπολλόδωρος P 8 θηλυκὸν R 9 Ἑκατησία Mei ἑκατήσια o Ἰδριὰς Mei ἰδρίας o 10 Λαγινῖτιν (**a**) Mei λαγινίτιν (corr. m. 1) R λαγινίτην PV 11 Ἑκατήσια Berkel ἐτήσια o οὕτως Mei οὐ (*s.l.*) R (m. 1?) om. PV 14 Γαλατίας P Et om. (lac. indic.) RV 15-16 τριμερεῖς P τρι..... RV 16-21 ἱστορεῖ Μιθριδάτης καὶ Ἀριοβαρζάνης, νεήλυδας τοῖς Γαλάταις συμμαχήσαντας, διώξας τοὺς – πολισμὸν δοὺς χώραν – οὕτως Et 17-18 Μιθριδάτηι – Γαλάτας Gronov μιθριδάτην κ. ἀριοβαρζάνην νεήλυδας (-τας P) τοῖς γαλάταις o 19 λαβεῖν Xyl λαβὼν o 23 Ἰδρέως P

—. LEON VON ALABANDA

Nicht vor s. I

ΚΑΡΙΚΑ Ᾱ – Δ̄

278 T 1.

741. PHILIPPOS VON THEANGELA

(s. III^?)

ΚΑΡΙΚΑ

1 (IV 474, 2) Strabon 14, 2, 28 p. 662: (diskussion von Καρῶν βαρβαροφώνων *Il.* B 867) οὐδέ γε ὅτι τραχυτάτη ἡ γλῶττα τῶν Καρῶν· οὐ γάρ ἐστιν, ἀλλὰ καὶ πλεῖστα Ἑλληνικὰ ὀνόματα ἔχει καταμεμιγμένα, ὥς φησι Φίλιππος ὁ τὰ Καρικὰ γράψας.

2 (1) Athen. 6, 101 p. 271 B: Φίλιππος ὁ Θεαγγελεὺς ἐν τῶι Περὶ Καρῶν καὶ Λελέγων συγγράμματι καταλέξας τοὺς Λακεδαιμονίων εἵλωτας καὶ τοὺς Θετταλικοὺς πενέστας καὶ Κᾶράς φησι τοῖς Λέλεξιν ὡς οἰκέταις χρήσασθαι πάλαι τε καὶ νῦν.

3 (3) Schol. Eurip. *Rhes.* 509: κακῶι δὲ μερμέρωι] μήποτε πρὸς τὸ χεῖρον μετέστραπται ἀπὸ τοῦ τερμέρου, ἵν' ἦι παρὰ τὴν παροιμίαν 'Τερμέρια κακά', ὑπὲρ ὧν Φίλιππος ἐν τῶι Περὶ Καρῶν συγγράμματί φησιν οὕτως· «Τέρμερον καὶ Λύκον Λέλεγας γενέσθαι θηριώδεις τὴν φύσιν (τοῦτον δὲ τὸν Τέρμερον πόλιν οἰκίσαι, ἣν δὴ ἀπ' αὐτοῦ Τέρμερον ὠνομάσθαι)· τούτους δέ φασι πρώτους ληιστεῦσαι, καὶ οὐ μόνον τὰ περὶ Καρίαν, ἀλλὰ καὶ σχεδίας ἐκ ῥιπῶν ποιήσαντας εἰς Κῶ ἐκπλεῖν».

ZWEIFELHAFTES

***4** (4) Plutarch. *Alex.* 46, 1: ἐνταῦθα δὲ πρὸς αὐτὸν (*scil.* Ἀλέξανδρον τὸν Ὀρεξάρτην διαβάντα ποταμόν) ἀφικέσθαι τὴν Ἀμαζόνα οἱ πολλοὶ λέγουσιν, ὧν καὶ Κλείταρχός ἐστιν (137 F 15) καὶ Πολύκλειτος (128 F 8) καὶ Ὀνησίκριτος (134 F 1) καὶ Ἀντιγένης (141 F 1) καὶ Ἴστρος (334 F 26). (2) Ἀριστόβουλος (139 F 21) δὲ καὶ Χάρης ὁ εἰσαγγελεύς (125 F 12), πρὸς δὲ τούτοις Ἑκαταῖος ὁ Ἐρετριεύς (VI) καὶ Πτολεμαῖος (138 F 28) καὶ Ἀντικλείδης (140 F 12) καὶ Φίλων ὁ Θηβαῖος (VI) καὶ † Φίλιππος ὁ εἰσαγγελεύς † καὶ Φίλιππος ὁ Χαλκιδεύς (VI) καὶ Δοῦρις ὁ Σάμιος (76 F 46) πλάσμα φασὶ γεγονέναι τοῦτο.

5 Steph. Byz. s.v. Κασταλία· πόλις Κιλικίας. Θεαγένης ἐν Καρικοῖς (774 F 16). τὸ ἐθνικὸν Κασταλιώτης.

---

7 βραχυτάτη Cx 7-9: cf. Schol. B *Il.* B 867 ἢ βαρβαροφωνεῖν ἐστὶ τὸ τοὺς ἐπιμιγνυμένους Ἕλλησι βαρβάρους ἑλληνίζειν μὲν διδάσκεσθαι, τῆι φωνῆι δὲ μὴ καθαρεύειν 17-21: verkürzt; s. Komm. 18 τοῦτον A τούτων Schwartz οἰκῆσαι A (?) 20 Καρίαν * * Schwartz ἐκ Cobet καὶ A 21 ἐκπλεῖν v ἐξπλεῖν A διαπλεῖν Wil 27 πρὸς – Ἐρετριεύς C; hinter Φιλ. ὁ εἰσαγγελεύς r 29 εἰσαγγελεύς: Θεαγγελεύς Reinesius, v 31 ὁ Θεαγγελεύς ἐν Καρικοῖς Hecker, Wil (*Hxpl.*) ‹Φίλιππος ὁ› Θεαγγελεὺς ἐν K. (s. Komm.)?

—. THEAGENES

ΚΑΡΙΚΑ

S. 741 F 5.

—. SKYLAX VON KARYANDA (s. III/II^a?)

ΤΑ ΚΑΤΑ ΗΡΑΚΛΕΙΔΗΝ ΤΟΝ ΜΥΛΑΣΣΩΝ ΒΑΣΙΛΕΑ

S. 709 T 1.

—. DEMODAMAS c. 300/280^a

ΠΕΡΙ ΑΛΙΚΑΡΝΑΣΣΟΥ

No. 428.

—. ARISTOTELES s. IV 2^a

(ΙΑΣΕΩΝ ΠΟΛΙΤΕΙΑ)

IV.

—. APOLLONIOS VON RHODOS s. III^a

ΚΑΥΝΟΥ ΚΤΙΣΙΣ

IV.

—. CHRISTODOROS VON KOPTOS 491/518^p

ΠΑΤΡΙΑ ΤΡΑΛΛΕΩΝ — ΠΑΤΡΙΑ ΑΦΡΟΔΙΣΙΑΔΟΣ

No. 283.

742. ANHANG

1 STEPH. BYZ. s.v. Ἁλικαρνασσός· πόλις Καρίας. † Ἄνθης φησιν ἀπὸ τοῦ ἁλὶ περιέχεσθαι τὴν Καρίαν. αὐτὸς δὲ ὁ Ἄνθης ἐκ Τροιζῆνος μετῴκησε, λαβὼν τὴν Δύμαιναν φυλήν, ὡς Καλλίμαχος (F 703 Pf)· ἢ ἀπὸ τοῦ νάσασθαι αὐτὸν ἀπὸ Τροιζῆνος, ὡς Ἀπολλόδωρος (244 F 291). ἐκαλεῖτο δὲ Ἰσθμὸς καὶ Ζεφύριον, ὡς Φίλων (790 F 23), καὶ Ζεφυρία.

2 STEPH. BYZ. s.v. Σύρνα· πόλις Καρίας. ἔκτισται δὲ ὑπὸ Ποδαλειρίου <ὡς *>· ἐκπεσόντα γὰρ αὐτὸν εἰς Καρίαν σωθῆναι ὑπό τινος αἰγοβοσκοῦ, καὶ ἀχθῆναι πρὸς Δαμαιθὸν Καρίας βασιλέα, οὗ τὴν θυγατέρα Σύρναν ἀπὸ στέγους πεσοῦσαν ὑπ' αὐτοῦ θεραπευθῆναι. φησὶ δὲ οὕτως· <<ἀθυμοῦντος δὲ τοῦ Δαμαίθου, τὸν Ποδαλείριον ἀφ' ἑκατέρου τῶν βραχιόνων αἷμα

---

20 <ἦν> Ἀ. φασὶν <ὠνόμασεν> o. φησὶν <ὁ *> Mei   21 ἁλὶ (Oros Et. Gen.) Salm ἁλία o   οὗτος δὲ? Mei   μετῴκησε Mei -ισε o   24 ζεφύριον RV -ια P ζεφυρία RP -ίων V   25 Σύρνα: Σύρνος p. 720, 3; Theopomp. 115 F 103 § 14; Pausan. 3, 26, 10   26 < > Jac   αἰγοβοσκοῦ: νομέως s.v. Βυβασσός   27 δαμαιθὸν o Μίμαιθος s.v. Πρυμνησία?   βασιλέα P -έως V comp. R   27-28 πεσοῦσαν ἀπὸ (τοῦ add. Mei) τέγους P   28 δὲ om. P   29 δαμαίθου RP δαμαιθου V

ἀφελόντα σῶσαι τὴν παῖδα, τὸν δὲ θαυμάσαντα συνοικίσαι αὐτῶι τὴν παῖδα, καὶ δοῦναι τὴν χερρόνησον, ἐν ἧι δύο πόλεις κτίσαντα τὴν μὲν ἀπὸ γυναικὸς Σύρνον, τὴν δ' ἑτέραν ἀπὸ τοῦ σώσαντος αὐτὸν νομέως <Βυβασσὸν καλέσαι> ».

3 Steph. Byz. s.v. Τάβαι: (κτίσις von Kibyra und Tabai: ἔνιοι) 740 F 9.

4 a) Herodt. 1, 171, 2: εἰσὶ δὲ τούτων Κᾶρες μὲν ἀπιγμένοι ἐς τὴν ἤπειρον ἐκ τῶν νήσων· τὸ γὰρ παλαιὸν ἐόντες Μίνω κατήκοοι καὶ καλεόμενοι Λέλεγες εἶχον τὰς νήσους, φόρον μὲν οὐδένα ὑποτελέοντες, ὅσον καὶ ἐγὼ δυνατός εἰμι <ἐπὶ> μακρότατον ἐξικέσθαι ἀκοῆι, οἱ δὲ ὅκως Μίνως δέοιτο, ἐπλήρουν οἱ τὰς νέας. (3) ἅτε δὴ Μίνω τε κατεστραμμένου γῆν πολλὴν καὶ εὐτυχέοντος τῶι πολέμωι, τὸ Καρικὸν ἦν ἔθνος λογιμώτατον τῶν ἐθνέων ἁπάντων κατὰ τοῦτον ἅμα τὸν χρόνον μακρῶι μάλιστα. (4) καί σφι τριξὰ ἐξευρήματα ἐγένετο, τοῖσι οἱ Ἕλληνες ἐχρήσαντο· καὶ γὰρ ἐπὶ τὰ κράνεα λόφους ἐπιδέεσθαι Κᾶρές εἰσι οἱ καταδέξαντες, καὶ ἐπὶ τὰς ἀσπίδας τὰ σημήια ποιέεσθαι, καὶ ὄχανα ἀσπίσι οὗτοί εἰσι οἱ ποιησάμενοι πρῶτοι· τέως δὲ ἄνευ ὀχάνων ἐφόρεον τὰς ἀσπίδας πάντες οἵ περ ἐώθεσαν ἀσπίσι χρᾶσθαι, τελαμῶσι σκυτίνοισι οἰηκίζοντες, περὶ τοῖσι αὐχέσι τε καὶ τοῖσι ἀριστεροῖσι ὤμοισι περικείμενοι. μετὰ δὲ [τοὺς Κᾶρας] χρόνωι ὕστερον πολλῶι Δωριέες τε καὶ Ἴωνες ἐξανέστησαν ἐκ τῶν νήσων, καὶ οὕτως ἐς τὴν ἤπειρον ἀπίκοντο.

κατὰ μὲν δὴ Κᾶρας οὕτω Κρῆτες λέγουσι γενέσθαι, οὐ μέντοι αὐτοί γε ὁμολογέουσι τούτοισι οἱ Κᾶρες, ἀλλὰ νομίζουσι αὐτοὶ ἑωυτοὺς εἶναι αὐτόχθονας ἠπειρώτας καὶ τῶι οὐνόματι τῶι αὐτῶι αἰεὶ διαχρεωμένους τῶι περ νῦν. (6) ἀποδεικνῦσι δὲ ἐν Μυλάσοισι Διὸς Καρίου ἱρὸν ἀρχαῖον, τοῦ Μυσοῖσι μὲν καὶ Λυδοῖσι μέτεστι ὡς κασιγνήτοισι ἐοῦσι τοῖσι Καρσί· τὸν γὰρ Λυδὸν καὶ τὸν Μυσὸν λέγουσι εἶναι Καρὸς ἀδελφεούς· τούτοισι μὲν δὴ μέτεστι, ὅσοι δὲ ἐόντες ἄλλου ἔθνεος ὁμόγλωσσοι τοῖσι Καρσὶ ἐγένοντο, τούτοισι δὲ οὐ μέτα.

(172) οἱ δὲ Καύνιοι αὐτόχθονες δοκέειν ἐμοί εἰσι, αὐτοὶ μέντοι ἐκ Κρήτης φασὶ εἶναι. προσκεχωρήκασι δὲ γλῶσσαν μὲν πρὸς τὸ Καρικὸν ἔθνος – ἢ οἱ Κᾶρες πρὸς τὸ Καυνικόν· τοῦτο γὰρ οὐκ ἔχω ἀτρεκέως διακρῖναι-, νόμοισι δὲ χρέωνται κεχωρισμένοισι πολλὸν τῶν τε ἄλλων ἀνθρώπων καὶ Καρῶν. τοῖσι γὰρ κάλλιστόν ἐστι κατ' ἡλικίην τε καὶ φιλότητα ἰλαδὸν συγγίνεσθαι ἐς πόσιν, καὶ ἀνδράσι καὶ γυναιξὶ καὶ παισί. (2) ἱδρυθέντων δέ σφι ἱρῶν ξεινικῶν μετέπειτα, ὥς σφι ἀπέδοξε (ἔδοξε δὴ τοῖσι πατρίοισι μοῦνον

b) Strabon 14, 2, 27: πολλῶν δὲ λόγων εἰρημένων περὶ Καρῶν, ὁ μάλισθ' ὁμολογούμενός ἐστιν οὗτος, ὅτι οἱ Κᾶρες ὑπὸ Μίνω ἐτάττοντο, τότε Λέλεγες καλούμενοι, καὶ τὰς νήσους ᾤικουν, εἶτ' ἠπειρῶται γενόμενοι πολλὴν τῆς παραλίας καὶ τῆς μεσογαίας κατέσχον, τοὺς προκατέχοντας ἀφελόμενοι (καὶ οὗτοι δ' ἦσαν οἱ πλείους Λέλεγες καὶ Πελασγοί)· πάλιν δὲ τούτους ἀφείλοντο μέρος οἱ Ἕλληνες, Ἴωνές τε καὶ Δωριεῖς.

---

1 συνοικίσαι Mei -ῖσαι R^{c}V -ῆσαι R^{ac}P 4 <Β. κ.> (s.v. Βυβασσός) Mei
3 ἀπὸ <τῆς> γ. Mei Σύρναν Holste

12 <ἐπὶ> Werfer 16-17 λογιμώτατον: δοκιμώτατον Steph. Byz. s.v. Καρία
17 δωριεῖς D οἱ δωριεῖς r

22 χρᾶσθαι v χρέεσθαι o 23 περιχειμένοισι Cobet [τοὺς Κ.] Jac [γὰρ] Stein 37 δὴ: δὲ Ald, v

χρᾶσθαι θεοῖσι), ἐνδύντες τὰ ὅπλα ἅπαντες Καύνιοι ἡβηδόν, τύπτοντες δόρασι τὸν ἠέρα μέχρι οὔρων τῶν Καλυνδικῶν εἵποντο, καὶ ἔφασαν ἐκβάλλειν τοὺς ξεινικοὺς θεούς. (173) καὶ οὗτοι μὲν τρόποισι τοιούτοισι χρέωνται, οἱ δὲ Λύκιοι κτλ.

5 PLUTARCH. *Aet. Gr.* 45 p. 301 F: διὰ τί τοῦ Λαβρανδέως Διὸς ἐν Καρίαι τὸ ἄγαλμα πέλεκυν ἠρμένον, οὐχὶ δὲ σκῆπτρον ἢ κεραυνὸν πεποίηται; ὅτι Ἡρακλῆς Ἱππολύτην ἀποκτείνας καὶ μετὰ τῶν ἄλλων ὅπλων αὐτῆς λαβὼν τὸν πέλεκυν Ὀμφάλῃι δῶρον δέδωκεν. οἱ δὲ μετ' Ὀμφάλην Λυδῶν βασιλεῖς ἐφόρουν αὐτὸν ὥς τι τῶν ἄλλων ἱερῶν ἐκ διαδοχῆς παραλαμβάνοντες, ἄχρι Κανδαύλης ἀπαξιώσας ἑνὶ τῶν ἑταίρων φορεῖν ἔδωκεν. ἐπεὶ δὲ Γύγης ἀποστὰς ἐπολέμει πρὸς αὐτόν, ἦλθεν Ἄρσηλις ἐκ Μυλ<ασσ>έων ἐπίκουρος τῶι Γύγηι μετὰ δυνάμεως, καὶ τόν τε Κανδαύλην καὶ τὸν ἑταῖρον αὐτοῦ διαφθείρει, καὶ τὸν πέλεκυν εἰς Καρίαν ἐκόμισε μετὰ τῶν ἄλλων λαφύρων. καὶ Διὸς ἄγαλμα κατασκευάσας τὸν πέλεκυν ἐνεχείρισε, καὶ Λαβρανδέα τὸν θεὸν προσηγόρευσε· Λυδοὶ γὰρ λάβρυν τὸν πέλεκυν ὀνομάζουσι.

6 PLUTARCH. *Aet. Gr.* 46 p. 302 AB: διὰ τί Τραλλιανοὶ καθαρτῆρα καλοῦσι τὸν ὄροβον, καὶ χρῶνται μάλιστα πρὸς τὰς ἀφοσιώσεις καὶ τοὺς καθαρμούς; ἢ ὅτι Λέλεγες καὶ Μινύαι (?) τὸ παλαιὸν ἐξελάσαντες αὐτοὺς τὴν πόλιν καὶ τὴν χώραν κατεῖχον, ὕστερον δ' οἱ Τραλλιανοὶ κατελθόντες καὶ κρατήσαντες, ὅσοι τῶν Λελέγων οὐ διεφθάρησαν οὐδ' ἔφυγον, ἀλλὰ δι' ἀμηχανίαν βίου καὶ ἀσθένειαν ὑπελείφθησαν αὐτόθι, τούτων οὐδένα λόγον ἔχοντες οὔτε ζώντων οὔτ' ἀπολλυμένων, νόμον ἔθεντο, τὸν κτείναντα Μινύην (?) ἢ Λέλεγα Τραλλιανῶν καθαρὸν εἶναι, μέδιμνον ὀρόβων ἀπομετρήσαντα τοῖς οἰκείοις τοῦ φονευθέντος;

7 SUDA s.v. Θεοδέκτης Ἀριστάνδρου· Φασηλίτης ἐκ Λυκίας, ῥήτωρ, τραπεὶς δὲ ἐπὶ τραγωιδίας .... οὗτος καὶ ὁ Ἐρυθραῖος Ναυκράτης καὶ Ἰσοκράτης ὁ ῥήτωρ ὁ Ἀπολλωνιάτης καὶ Θεόπομπος (115 T 6) ἐπὶ τῆς ρ̅ς̅ ὀλυμπιάδος (356/2) εἶπον ἐπιτάφιον ἐπὶ Μαυσώλωι ..., καὶ ἐνίκησε μάλιστα εὐδοκιμήσας ἐν ἧι εἶπε τραγωιδίαι· ἄλλοι δέ φασι Θεόπομπον ἔχειν τὰ πρωτεῖα.

8 STRABON 14, 2, 3 p. 652: ἀπέστησαν δέ ποτε Καύνιοι τῶν Ῥοδίων, κριθέντες δ' ἐπὶ τῶν Ῥωμαίων ἀπελήφθησαν πάλιν· καὶ ἔστι λόγος Μόλωνος (no. 728) κατὰ Καυνίων.

9 VITRUV. *De arch.* 7 praef. 12: *item Arcesius de symmetriis Corinthiis et Ionico Trallibus Aesculapio, quod etiam ipse sua manu dicitur fecisse,* (scil. *edidit volumen*); *de Mausoleo Satyrus et Pytheos* (429 T 1).

XV. KARTHAGO

—. KAISER CLAUDIUS

s. I I[p]

ΚΑΡΧΗΔΟΝΙΑΚΑ Ā – H̄

276 T 2.

---

4 Λαβρανδέως Bernardakis λαβραδ- o 9 Μυλασσέων Xyl μυλέων o 12 Λαβρανδέα Bernardakis λαβραδέα ΦαΕ -έως r 16 (19) Μιλύαι? 20 λέλεγα Φ λελέγην Π 24 ρ̅ς̅ Jac ρ̅γ̅ o ρ̅ζ̅ Clinton 26 σχεῖν Bernhardy 29 *Arcesius* Rose *argelius* (*tarchesius* 4, 3, 1) o 31 *saturus* o *Pytheos* v *phiteus* (*phyleos*) o

743. HIPPAGORAS (s. III^a?)

ΠΕΡΙ ΤΗΣ ΚΑΡΧΗΔΟΝΙΩΝ ΠΟΛΙΤΕΙΑΣ Ā – ?

1 (IV 430) Athen. 14, 27 p. 630 A: καὶ τελεσιὰς δ' ἐστὶν ὄρχησις καλουμένη. στρατιωτικὴ δ' ἐστὶν αὕτη ἀπό τινος ἀνδρὸς Τελεσίου λαβοῦσα τοὔνομα, μεθ' ὅπλων τὸ πρῶτον αὐτὴν ἐκείνου ὀρχησαμένου, ὥς φησιν Ἱππαγόρας ἐν τῶι πρώτωι Περὶ τῆς Καρχηδονίων πολιτείας.

—. POLEMON VON ILION c. 200/180

ΠΕΡΙ ΤΩΝ ΕΝ ΚΑΡΧΗΔΟΝΙ ΠΕΠΛΩΝ

IV.

744. ANHANG

1 Serv. Vergil. *A.* 4, 670: *Karthago aut antiqua Tyros*] *vel nobilem dicit vel illud ostendit, quia Carthago ante Byrsa, post Tyros dicta est, post Carthago a Cartha oppido, unde fuit Dido, inter Tyron et Beryton.* 794 F 10; 18. – Philistos 556 F 47; Timaios 566 F 60; 82; Menandros 783 F 1 § 125.

2 Isokrat. *Nikokl.* 24: ἔτι δὲ Καρχηδονίους καὶ Λακεδαιμονίους, τοὺς ἄριστα τῶν ἄλλων πολιτευομένους, οἴκοι μὲν ὀλιγαρχουμένους, παρὰ δὲ τὸν πόλεμον βασιλευομένους.

3 **a**) Platon *Legg.* 1 p. 637 DE: ἔτι γὰρ οὖν εἴπωμεν πλείω περὶ ἁπάσης μέθης· οὐ γὰρ σμικρόν ἐστιν τὸ ἐπιτήδευμα οὐδὲ φαύλου διαγνῶναι νομοθέτου. λέγω δ' οὐκ οἴνου περὶ πόσεως τὸ παράπαν ἢ μή, μέθης δὲ αὐτῆς πέρι, πότερον ὥσπερ Σκύθαι χρῶνται καὶ Πέρσαι χρηστέον, καὶ ἔτι Καρχηδόνιοι καὶ Κελτοὶ καὶ Ἴβηρες καὶ Θρᾷκες, πολεμικὰ σύμπαντα ὄντα ταῦτα γένη, ἢ καθάπερ ὑμεῖς (*scil.* οἱ Λακεδαιμόνιοι)· ὑμεῖς μὲν γάρ, F 6
ὅπερ λέγεις, τὸ παράπαν ἀπέχεσθε, Σκύθαι δὲ καὶ Θρᾷκες ἀκράτωι παντάπασι χρώμενοι .... Πέρσαι δὲ σφόδρα μὲν χρῶνται καὶ ταῖς ἄλλαις τρυφαῖς ἃς ὑμεῖς ἀποβάλλετε, ἐν τάξει δὲ μᾶλλον τούτων. **b**) – – 2 p. 674 AB: ... οὐκ ἂν τιθείμην ταύτην τὴν ψῆφον, ὡς δεῖ ποτε μέθηι χρῆσθαι ταύτην τὴν πόλιν ἢ τοῦτον τὸν ἄνδρα, ἀλλ' ἔτι μᾶλλον τῆς Κρητῶν καὶ Λακεδαιμονίων χρείας προσθείμην ἂν τῶι τῶν Καρχηδονίων νόμωι, μηδέ- F 7
ποτε μηδένα ἐπὶ στρατοπέδου γεύεσθαι τούτου τοῦ πώματος, ἀλλ' ὑδροποσίαις συγγίγνεσθαι τοῦτον τὸν χρόνον ἅπαντα· καὶ κατὰ πόλιν μήτε δούλην μήτε δοῦλον γεύεσθαι μηδέποτε· μηδὲ ἄρχοντας τοῦτον τὸν ἐνιαυτὸν ὃν ἂν ἄρχωσιν· μηδ' αὖ κυβερνήτας μηδὲ δικαστὰς ἐνεργοὺς ὄντας οἴνου γεύεσθαι τὸ παράπαν· μηδ' ὅστις βουλευσόμενος εἰς βουλὴν ἀξίαν τινὰ λόγου συνέρχεται· μηδέ γε μεθ' ἡμέραν μηδένα τὸ παράπαν εἰ μὴ σωμασκίας ἢ νόσων ἕνεκα, μηδ' αὖ νύκτωρ ὅταν ἐπινοῆι τις παῖδας ποιεῖσθαι ἀνὴρ ἢ καὶ γυνή.

4 Aristot. *Pol.* 2, 8 p. 1272 b 24: πολιτεύεσθαι δὲ δοκοῦσι καὶ Καρχηδόνιοι καλῶς καὶ πολλὰ περιττῶς πρὸς τοὺς ἄλλους, μάλιστα δ' ἔνια παραπλησίως τοῖς Λάκωσιν. αὗται γὰρ αἱ πολιτεῖαι τρεῖς ἀλλήλαις τε σύνεγγύς πώς εἰσι, καὶ τῶν ἄλλων πολὺ διαφέ-

---

12 *cartha* CM *carta* FNLH *byriton* C *pyriton* M *birillon* F 13 *tyrone* NH *tyrum* L *berylon* NH *beriton* L 22 ταῦτα AO^2 ταῦτα τὰ LO 28 ὑδροποσίαι Stob 29 δοῦλον – δούλην LO Eus Stob 31 μηδ' : οὐδὲ A 35-36 καλῶς καὶ καρχηδόνιοι $M^s P^1$

ρουσιν, ἥ τε Κρητικὴ καὶ ἡ Λακωνικὴ καὶ τρίτη τούτων ἡ τῶν Καρχηδονίων. καὶ πολλὰ τῶν τεταγμένων ἔχει παρ' αὐτοῖς καλῶς· σημεῖον δὲ πολιτείας συντεταγμένης τὸ τὸν δῆμον ἑκούσιον διαμένειν ἐν τῆι τάξει τῆς πολιτείας, καὶ μήτε στάσιν (ὅτι καὶ ἄξιον εἰπεῖν) γεγενῆσθαι μήτε τύραννον. (2) ἔχει δὲ παραπλήσια τῆι Λακωνικῆι πολιτείαι τὰ μὲν συσσίτια τῶν ἑταιριῶν τοῖς φιδιτίοις, τὴν δὲ τῶν ἑκατὸν καὶ τεττάρων ἀρχὴν τοῖς ἐφόροις (πλὴν οὐ χεῖρον· οἱ μὲν γὰρ ἐκ τῶν τυχόντων εἰσί, ταύτην δ' αἱροῦνται τὴν ἀρχὴν ἀριστίνδην), τοὺς δὲ βασιλεῖς καὶ τὴν γερουσίαν ἀνάλογον τοῖς ἐκεῖ βασιλεῦσι καὶ γέρουσιν· καὶ βέλτιον δὲ τοὺς βασιλεῖς μήτε κατὰ τὸ αὐτὸ εἶναι γένος μήτε τοῦτο τὸ τυχόν, † εἴ τε διαφέρον ἐκ τούτων αἱρετοὺς μᾶλλον ἢ καθ' ἡλικίαν· μεγάλων γὰρ κύριοι καθεστῶτες ἂν εὐτελεῖς ὦσι, μεγάλα βλάπτουσι, καὶ ἔβλαψαν ἤδη τὴν πόλιν τὴν τῶν Λακεδαιμονίων. (3) τὰ μὲν οὖν πλεῖστα τῶν ἐπιτιμηθέντων ἂν διὰ τὰς παρεκβάσεις κοινὰ τυγχάνει πάσαις ὄντα ταῖς εἰρημέναις πολιτείαις, τῶν δὲ πρὸς τὴν ὑπόθεσιν τῆς ἀριστοκρατίας καὶ τῆς πολιτείας τὰ μὲν εἰς δῆμον ἐκκλίνει μᾶλλον, τὰ δ' εἰς ὀλιγαρχίαν. τοῦ μὲν γὰρ τὰ μὲν προσάγειν τὰ δὲ μὴ προσάγειν πρὸς τὸν δῆμον οἱ βασιλεῖς κύριοι μετὰ τῶν γερόντων, ἂν ὁμογνωμονῶσι πάντες· εἰ δὲ μή, καὶ τούτων ὁ δῆμος· ἃ δ' ἂν εἰσφέρωσιν οὗτοι, οὐ διακοῦσαι μόνον ἀποδιδόασι τῶι δήμωι τὰ δόξαντα τοῖς ἄρχουσιν, ἀλλὰ κύριοι κρίνειν εἰσί, καὶ τῶι βουλομένωι τοῖς εἰσφερομένοις ἀντειπεῖν ἔξεστιν, ὅπερ ἐν ταῖς ἑτέραις πολιτείαις οὐκ ἔστιν. (4) τὸ δὲ τὰς πενταρχίας κυρίας οὔσας πολλῶν καὶ μεγάλων ὑφ' αὐτῶν αἱρετὰς εἶναι, καὶ τὴν τῶν ἑκατὸν ταύτας αἱρεῖσθαι τὴν μεγίστην ἀρχήν, ἔτι δὲ ταύτας πλείονα ἄρχειν χρόνον τῶν ἄλλων – καὶ γὰρ ἐξεληλυθότες ἄρχουσι καὶ μέλλοντες – ὀλιγαρχικόν· τὸ δὲ ἀμίσθους καὶ μὴ κληρωτὰς ἀριστοκρατικὸν θετέον, καὶ εἴ τι τοιοῦτον ἕτερον, καὶ τὸ τὰς δίκας ὑπὸ τῶν ἀρχείων δικάζεσθαι πάσας, καὶ μὴ ἄλλας ὑπ' ἄλλων, καθάπερ ἐν Λακεδαίμονι. (5) παρεκβαίνει δὲ τῆς ἀριστοκρατίας ἡ τάξις τῶν Καρχηδονίων μάλιστα πρὸς τὴν ὀλιγαρχίαν κατά τινα διάνοιαν, ἣ συνδοκεῖ τοῖς πολλοῖς· οὐ γὰρ μόνον ἀριστίνδην ἀλλὰ καὶ πλουτίνδην οἴονται δεῖν αἱρεῖσθαι τοὺς ἄρχοντας· ἀδύνατον γὰρ τὸν ἀποροῦντα καλῶς ἄρχειν καὶ σχολάζειν. εἴπερ οὖν τὸ μὲν αἱρεῖσθαι

---

1 καὶ λακωνικὴ Π^1 2 *bene institutae* Aretinus <εὖ> συντ. Schneider <εὖ> τετ. Bergk <καλῶς> συντ.? 2-4: *Pol.* 5, 6, 2 (= F 4); 5, 10, 3 μεταβάλλει ... τυραννίς ..... καὶ εἰς ἀριστοκρατίαν, ὥσπερ ἡ Χαριλάου ἐν Λακεδαίμονι, καὶ ἐν † Καρχηδόνι (Χαλκηδόνι Hilarius; cf. Meltzer, *Gesch. d. Karth.* II p. 459 f.); 5, 10, 4 ἐν πολλαῖς τε ὀλιγαρχίαις οὐκ ἔξεστι χρηματίζεσθαι, ἀλλὰ νόμοι εἰσὶν οἱ κωλύοντες· ἐν Καρχηδόνι δὲ † δημοκρατουμένηι (ἀριστοκρατουμένηι Schneider τιμοκρατουμένηι Newman [δημ.] Welldon) χρηματίζονται, καὶ οὔπω μεταβεβλήκασιν 3 ἑκούσιον Spengel ἔχουσαν $\Pi^2\Gamma$ om. $M^sP^1H^a$ ἐν om. M^sP^1 5 φιλιτίοις Π^1 6 πλήν, <ὃ> οὐ χεῖρον, οἱ μὲν [γὰρ (om. $P^{2.3}\pi^3$)] Bernays 8 κατὰ τὸ αὐτὸ Π^2p^1 κατ' αὐτὸ u. καθ' αὑτὸ r μήτε Schneider μηδὲ Π 9 εἴ τε κτλ.: 'corrupta et lacunosa; senatores iure desiderabat Conring πλουτίνδην creatos' Immisch 12 ὑπόθεσιν <ὑπεναντίων> Bernays 13 πολιτείας <τοῖς Καρχηδονίοις> Susemihl ἐκκλίνει <τοῖς Καρχ.> Thurot 14-18: Wade-Gery *Cl. Q.* 37, 1943, p. 70 f. 14 τὰ δὲ $\Pi^1H^a\pi^3$ τὸ δὲ $P^{2.3}\pi^3$ 15 καὶ τούτου Bernays τούτων καὶ Susemihl 15-16 εἰσφέρωσιν Π^1 εἰσφέρουσιν οὗτοι Π^2H^a 16 τὰ δόξαντα: τάξαντα Π^1 19 ἑκατὸν <καὶ δ> (§ 2) v. Arnim 22 τῶν ἀρχείων πάντων π^3 τῶν <αὐτῶν> ἀ. Victorius τινῶν ἀρχείων Cor; cf. *Pol.* 3, 1, 7 καὶ τὰς δίκας δικάζουσι κατὰ μέρος, οἷον ἐν Λακεδαίμονι τὰς τῶν συμβολαίων δικάζει τῶν ἐφόρων ἄλλος ἄλλας, οἱ δὲ γέροντες τὰς φονικάς, ἑτέρα δ' ἴσως ἀρχή τις ἑτέρας. τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ Καρχηδόνα· πάσας γὰρ ἀρχαί τινες κρίνουσι τὰς δίκας 23-p. 724, 3: cf. Pol. 4, 5, 11

πλουτίνδην ὀλιγαρχικόν, τὸ δὲ κατ' ἀρετὴν ἀριστοκρατικόν, αὕτη τις ἂν εἴη τάξις τρίτη, καθ' ἥνπερ συντέτακτει καὶ τοῖς Καρχηδονίοις τὰ περὶ τὴν πολιτείαν· αἱροῦνται γὰρ εἰς δύο ταῦτα βλέποντες καὶ μάλιστα τὰς μεγίστας, τούς τε βασιλεῖς καὶ τοὺς στρατηγούς. (6) δεῖ δὲ νομίζειν ἁμάρτημα νομοθέτου τὴν παρέκβασιν εἶναι τῆς ἀριστοκρατίας ταύτην (kritik am plutokratischen princip) ..... (8) φαῦλον δ' ἂν δόξειεν εἶναι καὶ τὸ πλείους ἀρχὰς τὸν αὐτὸν ἄρχειν, ὅπερ εὐδοκιμεῖ παρὰ τοῖς Καρχηδονίοις (kritik) .... (9) ὀλιγαρχικῆς δ' οὔσης τῆς πολιτείας, ἄριστα ἐκφεύγουσι τῶι πλουτεῖν, ἀεί τι τοῦ δήμου μέρος ἐκπέμποντες ἐπὶ τὰς πόλεις· τούτωι γὰρ ἰῶνται καὶ ποιοῦσι μόνιμον τὴν πολιτείαν. ἀλλὰ τουτί ἐστι τύχης ἔργον, δεῖ δὲ ἀστασιάστους εἶναι διὰ τὸν νομοθέτην· νῦν δὲ ἂν ἀτυχία γένηταί τις, καὶ τὸ πλῆθος ἀποστῆι τῶν ἀρχομένων, οὐδέν ἐστι φάρμακον διὰ τῶν νόμων τῆς ἡσυχίας.

5 Aristot. *Pol.* 5, 6, 2 p. 1307 a 2: (ἐν δὲ ταῖς ἀριστοκρατίαις γίνονται αἱ στάσεις ......) ἔτι ἐάν τις μέγας ἦι καὶ δυνάμενος ἔτι μείζων εἶναι, ἵνα μοναρχῆι, ὥσπερ ἐν Λακεδαίμονι δοκεῖ Παυσανίας ὁ στρατηγήσας κατὰ τὸν Μηδικὸν πόλεμον καὶ ἐν Καρχηδόνι Ἄννων.

6 Aristot. *Pol.* 7, 2, 5 p. 1324 b 2: οἱ δὲ τὸν δεσποτικὸν καὶ τυραννικὸν τρόπον τῆς (F 3ᵃ) πολιτείας εἶναι μόνον εὐδαίμονά φασιν. παρ' ἐνίοις δ' οὗτος καὶ τῶν νόμων καὶ τῆς πολιτείας ὅρος, ὅπως δεσπόζωσι τῶν πέλας· διὸ καὶ τῶν πλείστων νομίμων χύδην ὡς εἰπεῖν κειμένων παρὰ τοῖς πλείστοις, ὅμως εἴ πού τι πρὸς ἓν οἱ νόμοι βλέπουσι, τοῦ κρατεῖν στοχάζονται πάντες, ὥσπερ ἐν Λακεδαίμονι καὶ Κρήτηι πρὸς τοὺς πολέμους συντέτακται σχεδὸν ἥ τε παιδεία καὶ τὸ τῶν νόμων πλῆθος· ἔτι δ' ἐν τοῖς ἔθνεσι πᾶσι τοῖς δυναμένοις πλεονεκτεῖν ἡ τοιαύτη τετίμηται δύναμις, οἷον ἐν Σκύθαις καὶ Πέρσαις καὶ Θραιξὶ καὶ Κελτοῖς. (6) ἐν ἐνίοις γὰρ καὶ νόμοι τινές εἰσι παροξύνοντες πρὸς τὴν ἀρετὴν ταύτην, καθάπερ ἐν Καρχηδόνι φασὶ τὸν ἐκ τῶν κρίκων κόσμον λαμβάνειν ὅσας ἂν στρατεύσωνται στρατείας κτλ. (Makedonen, Skythen, Iberer).

7 Aristot. *Oecon.* 1, 5, 2 p. 1344 a 31: καὶ ἐπειδὴ ἡ τοῦ οἴνου πόσις καὶ τοὺς ἐλευθέρους ὑβριστὰς ποιεῖ, καὶ πολλὰ ἔθνη ἀπέχεται καὶ τῶν ἐλευθέρων, οἷον Καρχηδόνιοι ἐπὶ στρατιᾶς .... (F 3ᵇ)

8 Strabon 1, 4, 9 p. 66: ἐπὶ τέλει δὲ τοῦ ὑπομνήματος οὐκ ἐπαινέσας (Eratosthenes) τοὺς δίχα διαιροῦντας ἅπαν τὸ τῶν ἀνθρώπων πλῆθος εἴς τε Ἕλληνας καὶ βαρβάρους καὶ τοὺς Ἀλεξάνδρωι παραινοῦντας τοῖς μὲν Ἕλλησιν ὡς φίλοις χρῆσθαι, τοῖς δὲ βαρβάροις ὡς πολεμίοις, βέλτιον εἶναί φησιν ἀρετῆι καὶ κακίαι διαιρεῖν ταῦτα· πολλοὺς γὰρ καὶ τῶν Ἑλλήνων εἶναι κακοὺς καὶ τῶν βαρβάρων ἀστείους, καθάπερ Ἰνδοὺς καὶ Ἀριανούς, ἔτι δὲ Ῥωμαίους καὶ Καρχηδονίους οὕτω θαυμαστῶς πολιτευομένους.

9 Serv. Dan. Vergil. *A.* 4, 682: *extincti te meque, soror, populumque patresque* /

---

2 [καὶ] Aretinus 7 ὀλιγαρχικῆς δ' οὔσης (cf. p. 723, 2-4 app.): cf. *Pol.* 4, 5, 11 ὅπου οὖν ἡ πολιτεία βλέπει εἴς τε πλοῦτον καὶ ἀρετὴν καὶ δῆμον, οἷον ἐν Καρχηδόνι, αὕτη ἀριστοκρατική ἐστιν ‹στάσιν› ἐκφεύγουσι Bernays τῶι πλουτίζειν (*inditando* tr) Schneider 8 ‹περιοικίδας› πόλεις? cf. *Pol.* 6, 3, 5 τοιοῦτον δέ τινα τρόπον Καρχηδόνιοι πολιτευόμενοι φίλον κέκτηνται τὸν δῆμον· ἀεὶ γάρ τινας ἐκπέμποντες τοῦ δήμου πρὸς τὰς περιοικίδας (-δίας $P^3H^a\pi^3$) ποιοῦσιν εὐπόρους 17 δ' οὗτος καὶ τ. ν. καὶ τῆς πολιτείας (παιδείας Busse) ὅρος ΓM^s δ' οὗτος καὶ τ. πολ. ὅρος τῶν νόμων P^1 δὲ καὶ τ. πολ. οὗτος ὅρος (om. π^3H^a ὅρος ‹καὶ› Congreve) τ. νόμων Π^2 20 πολεμίους Π^1 28 *v.l.* σρατιᾶν, στρατιὰν 29 δὲ τοῦ über φησι A δέ φησι τοῦ B 34 ἀρειανοὺς ABCl ἀρείους Epit

Sidonios urbemque tuam] . . . *et quidam hoc loco volunt tres partes politiae conprehensas, populi, optimatium, regiae potestatis: Cato* (F 80 Pet) *enim ait de tribus istis partibus ordinatam fuisse Carthaginem.*

10 a) Polyb. 1, 3, 8: ἐπεὶ δ' οὔτε τοῦ 'Ρωμαίων οὔτε τοῦ Καρχηδονίων πολιτεύματος πρόχειρός ἐστι τοῖς πολλοῖς τῶν 'Ελλήνων ἡ προγεγενημένη δύναμις οὐδ' αἱ πράξεις αὐτῶν, ἀναγκαῖον ὑπελάβομεν εἶναι συντάξασθαι ταύτην καὶ τὴν ἑξῆς βύβλον πρὸ τῆς ἱστορίας . . . . . . (5, 1) ὑποθησόμεθα δὲ ταύτης ἀρχὴν τῆς βύβλου τὴν πρώτην διάβασιν ἐξ 'Ιταλίας 'Ρωμαίων· αὕτη δ' ἐστὶν συνεχὴς μὲν τοῖς ἀφ' ὧν Τίμαιος (566 T 6) ἀπέλιπεν, πίπτει δὲ κατὰ τὴν ἐνάτην καὶ εἰκοστὴν πρὸς ταῖς ἑκατὸν ὀλυμπιάδα (264/3).

b) – 6, 43: σχεδὸν δὴ πάντες οἱ συγγραφεῖς περὶ τούτων ἡμῖν τῶν πολιτευμάτων παραδεδώκασι τὴν ἐπ' ἀρετῆι φήμην, περί τε τοῦ Λακεδαιμονίων καὶ Κρητῶν καὶ Μαντινέων, ἔτι δὲ Καρχηδονίων· ἔνιοι δὲ καὶ περὶ τῆς 'Αθηναίων καὶ Θηβαίων πολιτείας πεποίηνται μνήμην . . . . . . (51) τὸ δὲ Καρχηδονίων πολίτευμα τὸ μὲν ἀνέκαθέν μοι δοκεῖ καλῶς κατά γε τὰς ὁλοσχερεῖς διαφορὰς συνεστάσθαι· (2) καὶ γὰρ βασιλεῖς ἦσαν παρ' αὐτοῖς, καὶ τὸ γερόντιον εἶχε τὴν ἀριστοκρατικὴν ἐξουσίαν, καὶ τὸ πλῆθος ἦν κύριον τῶν καθηκόντων αὐτῶι· καθόλου δὲ τὴν τῶν ὅλων ἁρμογὴν εἶχε παραπλησίαν τῆι 'Ρωμαίων καὶ Λακεδαιμονίων. (3) κατά γε μὴν τοὺς καιροὺς τούτους καθ' οὓς εἰς τὸν 'Αννιβιακὸν ἐνέβαινε πόλεμον, <χεῖρον> ἦν τὸ Καρχηδονίων, ἄμεινον δὲ τὸ 'Ρωμαίων. (4) ἐπειδὴ γὰρ παντὸς καὶ σώματος καὶ πολιτείας καὶ πράξεώς ἐστί τις αὔξησις κατὰ φύσιν, μετὰ δὲ ταύτην ἀκμή, κἄπειτα φθίσις, κράτιστα δ' αὐτῶν ἐστι πάντα τὰ κατὰ τὴν ἀκμήν, παρὰ τοῦτο καὶ τότε διέφερεν ἀλλήλων τὰ πολιτεύματα. (5) καθ' ὅσον γὰρ ἡ Καρχηδονίων πρότερον ἴσχυεν, καὶ πρότερον εὐτύχει τῆς 'Ρωμαίων, κατὰ τοσοῦτον ἡ μὲν Καρχηδὼν ἤδη τότε παρήκμαζεν, ἡ δὲ 'Ρώμη μάλιστα τότ' εἶχε τὴν ἀκμὴν κατά γε τὴν τῆς πολιτείας σύστασιν. (6) διὸ καὶ τὴν πλείστην δύναμιν ἐν τοῖς διαβουλίοις παρὰ μὲν Καρχηδονίοις ὁ δῆμος ἤδη μετειλήφει, παρὰ δὲ 'Ρωμαίοις ἀκμὴν εἶχεν ἡ σύγκλητος· (7) ὅθεν παρ' οἷς μὲν τῶν πολλῶν βουλευομένων, παρ' οἷς δὲ τῶν ἀρίστων, κατίσχυε τὰ 'Ρωμαίων διαβούλια περὶ τὰς κοινὰς πράξεις, (8) ἧι καὶ πταίσαντες τοῖς ὅλοις τῶι βουλεύεσθαι καλῶς τέλος ἐπεκράτησαν τῶι πολέμωι τῶν Καρχηδονίων.

(52) τά γε μὴν κατὰ μέρος, οἷον εὐθέως τὰ πρὸς τὰς πολεμικὰς χρείας, τὸ μὲν πρὸς τὰς κατὰ θάλατταν, ὅπερ εἰκός, ἄμεινον ἀσκοῦσι καὶ παρασκευάζονται Καρχηδόνιοι διὰ τὸ καὶ πάτριον αὐτοῖς ὑπάρχειν ἐκ παλαιοῦ τὴν ἐμπειρίαν ταύτην, καὶ θαλαττουργεῖν μάλιστα πάντων ἀνθρώπων, (2) τὸ δὲ περὶ τὰς πεζικὰς χρείας πολὺ δή τι 'Ρωμαῖοι πρὸς τὸ βέλτιον ἀσκοῦσι Καρχηδονίων. (3) οἱ μὲν γὰρ τὴν ὅλην περὶ τοῦτο ποιοῦνται σπουδήν, Καρχηδόνιοι δὲ τῶν μὲν πεζικῶν εἰς τέλος ὀλιγωροῦσι, τῶν δ' ἱππικῶν βραχεῖάν τινα ποιοῦνται πρόνοιαν. (4) αἴτιον δὲ τούτων ἐστὶν ὅτι ξενικαῖς καὶ μισθοφόροις χρῶνται δυνάμεσι, 'Ρωμαῖοι δ' ἐγχωρίοις καὶ πολιτικαῖς . . . . . (10) διαφέρουσι μὲν οὖν καὶ φύσει πάντες 'Ιταλιῶται Φοινίκων καὶ Λιβύων τῆι τε σωματικῆι ῥώμηι καὶ ταῖς ψυχικαῖς τόλμαις, μεγάλην δὲ καὶ διὰ τῶν ἐθισμῶν πρὸς τοῦτο τὸ μέρος ποιοῦνται τῶν νέων παρόρμησιν. (11) ἓν δὲ ῥηθὲν ἱκανὸν ἔσται σημεῖον (die römische sitte der bestattung) . . . . . . (56) καὶ μὴν τὰ περὶ τοὺς χρηματισμοὺς ἔθη καὶ νόμιμα βελτίω παρὰ 'Ρωμαίοις ἐστὶν ἢ παρὰ Καρχηδονίοις. (2) παρ' οἷς μὲν γὰρ οὐδὲν αἰσχρὸν τῶν ἀνηκόντων πρὸς κέρδος, παρ'

---

7 ταύτης Gronov ταύτην o 9 ἀπέλιπεν C -λειπεν r 14 συνεστᾶσθαι FD συνεστάναι HL καθεστάναι K 15 γερόντιον F -τικὸν D^{m}K 16 αὐτῶι ς αὐτῶν F 18 <χεῖρον> Hervagius 19 πράξεως: τάξεως Schwei 20 ταῦτην F ταῦτ(α) H(K) 23 παρήκμασεν (G) Hervagius 27 ἧι καὶ v ἣ καὶ F οἳ καὶ D ἢ καὶ Hervagius τῶι v τὸ F

οἷς δ' οὐδὲν αἴσχιον τοῦ δωροδοκεῖσθαι καὶ τοῦ πλεονεκτεῖν ἀπὸ τῶν μὴ καθηκόντων· (3) καθ' ὅσον γὰρ ἐν καλῶι τίθενται τὸν ἀπὸ τοῦ κρατίστου χρηματισμόν, κατὰ τοσοῦτο πάλιν ἐν ὀνείδει ποιοῦνται τὴν ἐκ τῶν ἀπειρημένων πλεονεξίαν. (4) σημεῖον δὲ τοῦτο· παρὰ μὲν Καρχηδονίοις δῶρα φανερῶς διδόντες λαμβάνουσι τὰς ἀρχάς, παρὰ δὲ 'Ρωμαίοις θάνατός ἐστι περὶ τοῦτο πρόστιμον ..... (6) μεγίστην δέ μοι δοκεῖ διαφορὰν ἔχειν τὸ 'Ρωμαίων πολίτευμα πρὸς βέλτιον ἐν τῆι περὶ θεῶν διαλήψει· (7) καί μοι δοκεῖ <τὸ> παρὰ τοῖς ἄλλοις ἀνθρώποις ὀνειδιζόμενον τοῦτο συνέχειν τὰ 'Ρωμαίων πράγματα, λέγω δὲ τὴν δεισιδαιμονίαν ......

11 PLUTARCH. *Praec. reip. ger.* 3 p. 799 CD: οἷον ὁ 'Αθηναίων (*scil.* δῆμος) εὐκίνητός ἐστι πρὸς ὀργήν, εὐμετάθετος πρὸς ἔλεον, μᾶλλον ὀξέως ὑπονοεῖν ἢ διδάσκεσθαι καθ' ἡσυχίαν βουλόμενος· ὥσπερ τῶν ἀνδρῶν τοῖς ἀδόξοις καὶ ταπεινοῖς βοηθεῖν προθυμότερος, οὕτω τῶν λόγων τοὺς παιγνιώδεις καὶ γελοίους ἀσπάζεται καὶ προτιμᾶι· τοῖς μὲν ἐπαινοῦσιν αὐτὸν μάλιστα χαίρει, τοῖς δὲ σκώπτουσιν ἥκιστα δυσχεραίνει· φοβερός ἐστιν ἄχρι τῶν ἀρχόντων, εἶτα φιλάνθρωπος ἄχρι τῶν πολεμίων. ἕτερον ἦθος τοῦ Καρχηδονίων δήμου· πικρόν, σκυθρωπόν, ὑπήκοον τοῖς ἄρχουσι, βαρὺ τοῖς ὑπηκόοις, ἀγεννέστατον ἐν φόβοις, ἀγριώτατον ἐν ὀργαῖς, ἐπίμονον τοῖς γνωσθεῖσι, πρὸς παιδιὰν καὶ χάριν ἀνήδυντον καὶ σκληρόν. οὐκ ἂν οὗτοι Κλέωνος ἀξιοῦντος αὐτούς, ἐπεὶ τέθυκε καὶ ξένους ἑστιᾶν μέλλει, τὴν ἐκκλησίαν ὑπερθέσθαι, γελάσαντες ἂν καὶ κροτήσαντες ἀνέστησαν· οὐδ' 'Αλκιβιάδην ὄρτυγος ἐν τῶι λέγειν διαφυγόντος ἐκ τοῦ ἱματίου, φιλοτίμως συνθηρεύσαντες ἀπέδωκαν ἄν, ἀλλὰ καὶ ἀπέκτειναν ἂν ὡς ὑβρίζοντας καὶ τρυφῶντας, ὅπου καὶ Ἄννωνα λέοντι χρώμενον σκευοφόρωι παρὰ τὰς στρατείας αἰτιασάμενοι τυραννικὰ φρονεῖν ἐξήλασαν.

12 THEODOROS METOCHITA *Miscellan.* 104 p. 681 ff. Mü – Kie: Περὶ Καρχηδόνος καὶ τῆς κατ' αὐτὴν πολιτείας. Καρχηδὼν δ' ἐκείνη μεγίστη πόλις [οὐχ ὡς] εἴ τις ἄλλη τῶν ἐν Λιβύηι καὶ 'Αφρικῆς μητρόπολις, τάχα δ' ἂν καὶ πάσης Λιβύης, ἀδέσποτος ἐπολιτεύσατο ἐξ ἀρχῆς χρόνοις μακροῖς, οὔτ' αὐτόθεν μοναρχηθεῖσα πώποτε οὔτε μὴν ὑπ' ἄλλου τῶν προσοίκων ἐθνῶν Λιβύηι μέχρις οὗ γέγονεν ὑπὸ 'Ρωμαίους, τέως μέν γε πολλὰ σφίσι παρασχοῦσα πράγματα καὶ μάχαις ἀντισχοῦσα γενναίαις πολλῶν τῶν χρόνων, ἀλλ' ὠικεῖτό γε πόλις αὕτη νόμοις ἀριστοκρατικοῖς, καὶ τοσούτωι γε μάλιστ' εὐγενῶς, ὥστε καὶ οὐδέ τις ἐν αὐτῆι τυραννίδος ἐπιχείρησις, ὥσπερ δῆτ' ἐν πλείσταις ἄλλαις τῶν ὀλιγαρχουμένων τε καὶ δημοκρατουμένων πόλεων, μνημονεύεται γενέσθαι τὸν ἀεὶ χρόνον, καθ' ὃν ἔξω δεσποτείας ἀλλοτρίας ὀλιγαρχικῶς ἤγετο. μόνον † διὰ μόλην φασὶν ἰδιώτου πλέον φρονήσαντα κατ' αὐτὴν καὶ τυραννίδος οὐκ ἐπιχείρησιν εὔδηλον ἀλλ' ὑποψίαν σχεδὸν παρεχόμενον τάχιστ' ἀπαλλάξαι κακῶς, καὶ τοῖς ἐσχάτοις κινδύνοις περιπεσεῖν. ἀτὰρ δὴ τὴν πόλιν ταύτην μηδ' ὁτιοῦν 'Ελληνικοῦ γένους μετέχειν ἔγνωμεν, ἀλλ' ἦδ' ἄρα Φοινίκων ἄποικος κατὰ Λιβύην ὠικήθη, καὶ ταῖς πρώταις ἐφάμιλλα τῆι Λακωνικῆι τε καὶ Κρητικῆι νόμοις ἀριστοκρατικοῖς ξὺν πολλῶι τῶι τεταγμένωι καὶ ἀνόσωι βιοτεύουσα πόλλ' ἔτη διαγέγονε παραβαλλομένη μεγίστοις πράγμασι. καὶ ἴσχυσάν γε Καρ-

---

3 τούτο F τούτων Cas τούτου Bkr 5 τούτο F τούτου (G) Hervagius τοῦτο <τὸ> Schwei 7 <τὸ> ς v om. F ἄλλοις (S)v ὅλοις F 11-12 προθυμότατος Rei 23 ff.: text Chr. G. Müllers nach dem C(izensis), obwohl er den P(arisinus Regius) für die beste Hs. hält 24 οὐχ ὡς om. P (nach J. Bloch, 1790) 25-26 ἀδεσπότως Orelli 26 ἀρχηθεῖσα M(onacensis 197) 28 ἀντισχύουσα P 29 γε τε o (?) Bloch 32 ἡγεῖτο Bloch διὰ μόλην PCA(ugustanus Monac. 492) διὰ μόκλην (κ suprascr.) MS(angermanensis) δ' 'Αμόλκην Orelli Δαμόκλην Bloch; s. 744 F 4 ? 33 ἔκδηλον Bloch 35 ἑλληνικά M

χηδόνιοι πάνυ τοι πλεῖστον, καὶ τὸ πλεῖστον ἄρα Λιβύης ὑφ' ἑαυτοὺς ἐποιήσαντο ἐπιμελεῖ τε καὶ συντόνωι τῶν πραγμάτων ἀντιλήψει καὶ φιλαρχίαι καὶ τόλμαις ἀνδρῶν καὶ γνώμαις καὶ πάσαις μεγαλόφροσιν ἐπιβολαῖς· καὶ τάξίωμα σφίσιν ἤιρετο οὐ φύσει μόνον ἀλλὰ ῥοπῆι τῆς τύχης ἡδὺ προσορώσης τὴν ἀρχὴν αὐτοῖς καὶ πολλὴν εὐφορίαν καὶ δρόμον ὥσπερ ἐξ οὐρίου τοῖς ἐπιχειρήμασι τῆς πόλεως χορηγούσης. καὶ οὐ κατὰ Λιβύης μόνον ἴσχυσαν καὶ τῶν οἰκούντων τὴν χώραν ἐθνῶν κραταιῶς πειρώμενοι, ἀλλ' ἄρ' οἵδε καὶ θαλάσσης ἥψαντο, καὶ θαλάσσιοι γεννικῶς ἀλλοτρίων πορρωτάτω καὶ οὐ προσοίκων πραγμάτων τε καὶ ἐθνῶν ἀντελάβοντο, ναυστόλοις μὲν ὡς εἰκὸς τὴν πρώτην πειρώμενοι, εἶθ' ὡς εὐδρόμουν, καὶ τρίβοντες πεζῆι στρατεύμασι τῆι χρήσει καὶ ταῖς μεγάλαις ὁρμαῖς τῆς φιλαρχίας. ἐγένετό τε μία πόλις τῶν ἀπ' αἰῶνος ὠνομασμένων ἐν πράξεσι καὶ περιβολῆι μεγέθους ἀρχῆς, οὐδεμία πλὴν τῆς Ῥώμης ὕστερον τοσούτωι κατὰ τῆς οἰκουμένης ἐνακμάσασα κράτει καὶ βρονταῖς φήμης μεγάλων ἔργων πομπεύουσα καὶ κρατοῦσα σὺν θαύματι κατὰ πάντων ἀνθρώπων, ὡς Καρχηδὼν ἐκείνη πόλις κοινοπολιτείαι τὸν ἀριστοκρατικὸν τρόπον βιοῦσα καὶ ἀπὸ βουλευτηρίων, ἀλλ' οὐ μοναρχικοῦ φρονήματος καὶ φιλαρχίας ἑνὸς ἀνδρὸς φλεγούσης εἰς μέγιστα πράγματα πλεῖστον ἀμέλει χρόνον ἐνασχοληθεῖσα.

καὶ παιδιὰ παραβάλλειν τοῖς ἐκείνης τῆς πόλεως τὰ τῶν Ἑλλήνων πράγματα, καὶ τὴν Ἀθηναίων φιλοπραγμοσύνην καὶ φιλαρχίαν καὶ τὸ θερμὸν τοῦ λήμματος καὶ τὸ τῶν Λακεδαιμονίων ἐν ταῖς μάχαις ἠκριβωμένον καὶ τεταγμένον τῆς ἀνδραγαθίας ἐν τοῖς στρατεύμασι, καὶ ὡς ἀληθῶς ἀμφοτέρωθέν γε δοκεῖ κεκράσθαι τὰ Καρχηδονίων. καὶ τῶν μὲν ἔχειν τὸ μεστὸν καὶ πλῆρες καὶ οὐκ εὔσειστον οὐδ' ἐπιπολάζον καὶ προπετὲς ὕβρει τινὶ καὶ κούφωι φορᾶς πνεύματι, ὧν καὶ κοινωνίαν μεγίστην εἶχεν ἐν τοῖς πολιτεύμασι καὶ τῶι καθεστῶτι τῆς τοῦ βίου χρήσεως, ὡς ἤδη καὶ πρότερον εἴρηται, Ἀθηναίων δὲ τὸ θερμόν τε καὶ μεγαλεπήβολον πρὸς τῶι ἐκεῖθεν ἀκμαίωι καὶ κάλλιστ' εὐφόρητον καὶ πολύπραγμον, οὐκ ἀστοχοῦν τοῦ δικαίου μέτρου καὶ τῆς ἱκανώσεως τῶν ἐπιχειρήσεων· καὶ ἦσαν τῶν μὲν ὁμοίων τῆι πολιτείαι Λακώνων πολυπραγμονέστεροι ταῖς ἐπιβολαῖς, εἴτ' οὖν περιβολαῖς τῶν ἔργων, τῆς δ' Ἀθηναίων τόλμης καὶ τοῦ τάχους εὖ μάλα βαρύτεροι τῆι χρήσει καὶ κραταιότερον πειρώμενοι.

ἦσαν δὲ καὶ ἄλλως τὴν φύσιν οἱ τῆς Καρχηδόνος ἄνθρωποι καὶ τὸ πολιτικὸν ἔθιμον ἀνήμεροι δή τινες, καὶ τὸ κατὰ σφᾶς ἅπαν ἀγριωπὸν καὶ δυσκοινώνητον ἀλλοτρίοις ἤθεσί τε καὶ νομίμοις, καὶ φόβον ὡς εἰπεῖν αὐτόθεν ἐμποιοῦν ἐντυγχάνειν, καὶ ξυμμίξαντας χρῆσθαι φύσει τε (ὡς εἶπον) καὶ ἐπίτηδες ἀσκήσει. καὶ πολλὰ πρὸς τὸ ξενότροπον ἢ κατ' ἄλλους ἀνθρώπους ἐβίουν, οἵ γε καὶ τὰ πλεῖστα τῆς διοικήσεως ταῖς νυξὶν ἐδίδουν, καὶ τὰ βουλευτήρια καὶ τὰς συνόδους ἐπὶ τοῖς πρακτέοις νυκτὸς ἐνόμιζον καὶ μεθ' ἑσπέραν χρῆσθαι. καὶ βαρεῖς ἦσαν ταῖς εὐθύναις καὶ βαρεῖς τοῖς δυστυχοῦσιν ἰδιώταις τε καὶ τοῖς ἐπὶ τῶν ἀρχῶν. καὶ τὸ τρυφᾶν καὶ τὸ πλουτεῖν ἰδίαι καὶ μὴ ἐπὶ τοῖς κοινοῖς ἔγκλημα ἦν. καὶ ἀσωτεύων ἀνὴρ καὶ ἀκολάστως πατρώιοις κλήροις χρώμενος ὑπεύθυνος ἦν τῶι νόμωι, καὶ δίκας ἐπράττετο. καὶ πόλλ' ἕτερα δυσχερῶς ἐχρῶντο Καρχηδόνιοι, καὶ ἀνημέρως (ὡς εἴρηται) ἢ καὶ κατ' ἄλλους οὐστινασοῦν ἀνθρώπους ἐπολιτεύοντο.

12 Serv. Vergil. *A*. 1, 343; 4, 670: name der Stadt s. 794 F 10.

13 Euseb. *Chron*. a. Abr. 802: gründungsdatum s. Philistos 556 F 47.

14 Dion. Hal. *A.R.* 1, 74, 1; Anon. de Mulier. 6: s. Timaios 566 F 60; 82.

---

5 Λιβύην Bloch 6 [καὶ] τῶν? 10 [μία] Bloch 11 οὐδὲ μία – τοσοῦτο Orelli 13 θαύμασι A[c] 26 ὅμοιοι Bloch 27 ἤτοῦν Bloch 30 ἀγριωποὶ καὶ δυσκοινώνητοι Bloch 31 φόβοι M ἐμποιοῦντες Bloch ξυμμίξαντα Bloch

XVI. KELTEN UND GALATER

—. DEMETRIOS VON BYZANZ s. IIIr

ΓΑΛΑΤΩΝ ΕΞ ΕΥΡΩΠΗΣ ΕΙΣ ΑΣΙΑΝ ΔΙΑΒΑΣΙΣ Ā – ΙΓ̄ 278 ff.

No. 162.

745. ERATOSTHENES ‹DER JÜNGERE› VON KYRENE s. II

T

1 (*Scr. Al. M.* p. 31) Steph. Byz. s.v. Κυρήνη· . . . . ἐντεῦθεν ἦν Ἐρατοσθένης Ἀγακλέους παῖς ὁ ἱστορικός.

F

ΓΑΛΑΤΙΚΑ Ā – ?

1 Steph. Byz. s.v. Τολιστόβιοι· ἔθνος Γαλατῶν ἑσπερίων μετοικησάντων ἐκ τῆς Κελτογαλατίας εἰς Βιθυνίαν. Ἐρατοσθένης δ' ἐν ᾱ Γαλατικῶν Τολιστοβωγίους αὐτούς φησι. 278a

2 Steph. Byz. s.v. Σπάρτακος· πόλις Θράικης. Ἐρατοσθένης ἐν Γαλατικῶν β̄.

3 Steph. Byz. s.v. Διανεῖς· ἔθνος Γαλατικόν. Ἐρατοσθένης ἐν δ̄ Γαλατικῶν.

4 Steph. Byz. s.v. Ὑρκανία· πόλις Θράικης . . . . ἔστι καὶ Ὑρκάνιον πεδίον τῆς Λυδίας, ὡς Ἐρατοσθένης ἐν ε̄ Γαλατικῶν.

5 Steph. Byz. s.v. Βοὸς Κεφαλαί· τόπος καθ' ὃν ἐπολέμησε Προυσίας πρὸς Ἄτταλον, ὡς Ἐρατοσθένης ἐν ζ̄ Γαλατικῶν. (156/4a)

6 Steph. Byz. s.v. Ὕδρηλα· τῆς Καρίας. Ἐρατοσθένης † λγ̄ Γαλατικῶν.

—. KALLISTHENES VON SYBARIS —. KLEITOPHON VON RHODOS

ΓΑΛΑΤΙΚΑ

291 F 5; 293 F 1.

XVII. KILIKIEN (UND ISAURIEN)

—. ALEXANDROS POLYHISTOR c. 80/35a

ΠΕΡΙ ΚΙΛΙΚΙΑΣ Ā

273 F 29.

---

8 Ἀγακλέους: Ἀγλαοῦ (241 T 1; 4; 6) Bernhardy   11 Τολιστόβοιοι? Mei μετοικῆσαν O. ‹τῶν› μετοικησάντων?   12-13 τολιστοβογίους R   16 ἐν ῆ (?) P   18 ὑρκάνιον RP -νίου V   22 τῆς: πόλις Holste   λγ̄: ἐν γ̄?

746. ATHENODOROS (Ο ΣΑΝΔΩΝΟΣ?) VON TARSOS s. I•

T

1 (III 485) STRABON 14, 5, 14 p. 674/5: ἄνδρες δ' ἐξ αὐτῆς (*scil.* τῆς Ταρσοῦ) γεγόνασι τῶν μὲν Στωικῶν 'Αντίπατρός τε καὶ 'Αρχέδημος καὶ Νέστωρ, ἔτι δ' 'Αθηνόδωροι δύο, ὧν ὁ μὲν Κορδυλίων καλούμενος συνεβίωσε Μάρκωι Κάτωνι, καὶ τελευτᾶι παρ' ἐκείνωι, ὁ δὲ τοῦ Σάνδωνος, ὃν καὶ Κανανίτην φασὶν ἀπὸ κώμης τινός, Καίσαρος καθηγήσατο, καὶ τιμῆς ἔτυχε μεγάλης· κατιὼν τε εἰς τὴν πατρίδα ἤδη γηραιὸς κατέλυσε τὴν καθεστῶσαν πολιτείαν κακῶς φερομένην ὑπό τε ἄλλων καὶ Βοηθοῦ (no. 194) ...... (der) διετέλεσεν ἄγων καὶ φέρων τὴν πόλιν μέχρι τῆς καταστροφῆς τοῦ 'Αντωνίου. τοιαύτην δὲ τὴν πόλιν καταλαβὼν ὁ 'Αθηνόδωρος, τέως μὲν ἐπεχείρει λόγωι μετάγειν κἀκεῖνον καὶ τοὺς συστασιώτας· ὡς δ' οὐκ ἀπείχοντο ὕβρεως οὐδεμιᾶς, ἐχρήσατο τῆι δοθείσηι ὑπὸ τοῦ Καίσαρος ἐξουσίαι καὶ ἐξέβαλεν αὐτούς, καταγνοὺς φυγήν ..... οὗτοι μὲν Στωικοὶ ἄνδρες, 'Ακαδημαικὸς δὲ Νέστωρ ὁ καθ' ἡμᾶς, ὁ Μαρκέλλου καθηγησάμενος, τοῦ 'Οκταουίας παιδὸς τῆς Καίσαρος ἀδελφῆς· καὶ οὗτος δὲ προέστη τῆς πολιτείας, διαδεξάμενος τὸν 'Αθηνόδωρον ... (15) .... γραμματικοὶ δὲ ὧν καὶ συγγράμματά ἐστιν 'Αρτεμίδωρός τε καὶ Διόδωρος (F 1?) ....

2 EUSEB. *Chron.* ol. 196, 4 (8/9^{p}): *Athenodorus Tarsensis stoicus philosophus et M. Verrius Flaccus grammaticus insignes habentur.* SYNKELL. p. 602, 8 ff.

3 [LUKIAN.] *Macrob.* 21: 'Αθηνόδωρος Σάνδωνος Ταρσεὺς στωικός, ὃς καὶ διδάσκαλος ἐγένετο Καίσαρος Σεβαστοῦ Θεοῦ, ὑφ' οὗ ἡ Ταρσέων πόλις καὶ φόρων ἐκουφίσθη, δύο καὶ ὀγδοήκοντα ἔτη βιοὺς ἐτελεύτησεν ἐν τῆι πατρίδι, καὶ τιμὰς ὁ Ταρσέων δῆμος αὐτῶι κατ' ἔτος ἕκαστον ἀπονέμει ὡς ἥρωι. Νέστωρ δὲ στωικὸς ἀπὸ Ταρσοῦ, διδάσκαλος Καίσαρος Τιβερίου, ἔτη δύο καὶ ἐνενήκοντα.

4 STRABON 16, 4, 21 p. 779: F 5.

5 PLUTARCH. *Quaest. conv.* 2, 1, 13 p. 634 E: οἷον τὸ Τιμαγένους (no. 88) ... πρὸς 'Αθηνόδωρον τὸν φιλόσοφον, 'εἰ φυσικὴ ἡ πρὸς τὰ <ἔκγονα> φιλοστοργία'.

F

1. ΠΕΡΙ ΤΗΣ ΠΑΤΡΙΔΟΣ

1 (1) STEPH. BYZ. s.v. 'Αγχιάλη· πόλις Κιλικίας παραθαλασσία <πρὸς> τῆι Ταρσῶι καὶ Ζεφυρίωι. ἔστι δὲ κτίσμα 'Αγχιάλης τῆς 'Ιαπετοῦ θυγατρός, ὡς 'Αθηνόδωρος περὶ τῆς αὐτοῦ πατρίδος γράφων καὶ παρατιθεὶς Διόδωρον τὸν γραμματικὸν (T 1?) συμφωνοῦντα Πτολεμαίωι βασιλεῖ (138 F 5; 234 F 12)· «γίνεται δ' 'Ιαπετοῦ θυγάτηρ 'Αγχιάλη, καὶ κτίζει πόλιν 'Αγχιάλην * * 'Αγχιαλέα τε τὸν παρακείμενον ποταμόν. γεννᾶι δ' υἱὸν Κύδνον, ἀφ' οὗ ποταμὸς Κύδνος ἐν

5 ἐτελεύτα Cor   7 κατιὼν δὲ (D)?   17-18: zu ol. 196, 2 L   17 *stoicus*: *physischer philosoph* Arm   26 φυσικὴ Amyot μουσικὴ o   <ἔκγονα> (*i.e.* ἔκγον' ἀφιλ.) Turn   29 Κιλικίας Xyl σικελία(ς) o   <πρὸς> Holste   30 ταρσῶν καὶ ζεφύρωι R   31 αὐτοῦ R αὐτοῦ VP   32 βασιλεῖς P   34 τε VP τὰς R (ὅπου καὶ ποταμὸς 'Αγχιαλεύς Eust. Dion. 875) <πρὸς> 'Α. τε Bochart 'Α. τε τ. π. π. <ἀφ' ἑαυτῆς ὀνομάζει>? Mei πόλιν <καὶ ὀνομάζει ἀφ' ἑαυτῆς τὴν πόλιν> 'Α. τε?

Ταρσῶι, ὁ δὲ Κύδνος υἱὸν Παρθένιον, ἀφ' οὗ ἡ πόλις μετωνομάσθη Παρθενία· μεταπεσόντος δὲ τοῦ ὀνόματος Ταρσὸς ἐκλήθη». τινὲς (cf. 139 F 9) δέ φασι Σαρδανάπαλον δύο πόλεις κτίσαι, Ἀγχιάλην σὺν Ταρσῶι....

2. AUS ANDEREN SCHRIFTEN

2 (2) PLUTARCH. *Poplicol.* 17, 8: τοῦτον τὸν ἄνδρα Μούκιον ὁμοῦ πάντων καὶ Σκαιόλαν καλούντων, Ἀθηνόδωρος ὁ Σάνδων‹ος› ἐν τῶι πρὸς Ὀκταουίαν τὴν Καίσαρος ἀδελφὴν καὶ Ὀψίγονον ὠνομάσθαι φησίν. (gegen 40a?)

3 (p. 486) ATHEN. 12, 16 p. 519 B: καὶ Ἀθηνόδωρος δὲ ἐν τῶι Περὶ σπουδῆς καὶ παιδιᾶς Ἀρχύτην φησὶ τὸν Ταραντῖνον πολιτικὸν ἅμα καὶ φιλόσοφον γενόμενον, πλείστους οἰκέτας ἔχοντα αἰεὶ † τούτοις παρὰ τὴν δίαιταν ἀφιεμένοις εἰς τὸ συμπόσιον ἥδεσθαι.

4 (4) CLEM. AL. *Protr.* 4, 48, 2: οἱ μὲν γὰρ αὐτὸν (*scil.* Σάραπιν) ἱστοροῦσιν χαριστήριον ὑπὸ Σινωπέων Πτολεμαίωι τῶι Φιλαδέλφωι ... πεμφθῆναι ...... (3) ἄλλοι δέ φασι Ποντικὸν εἶναι βρέτας τὸν Σάραπιν, μετῆχθαι δὲ εἰς Ἀλεξάνδρειαν μετὰ τιμῆς πανηγυρικῆς· Ἰσίδωρος (IV) μόνος παρὰ Σελευκέων τῶν πρὸς Ἀντιοχείαι τὸ ἄγαλμα μεταχθῆναι λέγει, ἐν σιτοδείαι καὶ αὐτῶν γενομένων καὶ ὑπὸ Πτολεμαίου διατραφέντων. (4) ἀλλ' ὅ γε Ἀθηνόδωρος ὁ τοῦ Σάνδωνος ἀρχαΐζειν τὸν Σάραπιν βουληθεὶς οὐχ οἶδ' ὅπως περιέπεσεν, ἐλέγξας αὐτὸν ἄγαλμα εἶναι γενητόν. Σέσωστρίν φησι τὸν Αἰγύπτιον βασιλέα τὰ πλεῖστα τῶν παρ' Ἕλλησι παραστησάμενον ἐθνῶν, ἐπανελθόντα εἰς Αἴγυπτον ἐπαγαγέσθαι τεχνίτας ἱκανούς. (5) τὸν οὖν Ὄσιριν τὸν προπάτορα τὸν αὐτοῦ δαιδαλθῆναι ἐκέλευσεν αὐτοῖς πολυτελῶς. κατασκευάζει δὲ αὐτὸν Βρύαξις ὁ δημιουργός – οὐχ ὁ Ἀθηναῖος, ἄλλος δέ τις ὁμώνυμος ἐκείνωι τῶι Βρυάξιδι –, ὃς ὕληι κατακέχρηται εἰς δημιουργίαν μικτῆι καὶ ποικίληι· ῥίνημα γὰρ χρυσοῦ ἦν αὐτῶι καὶ ἀργύρου χαλκοῦ τε καὶ σιδήρου καὶ μολίβδου, πρὸς δὲ καὶ κασσιτέρου· λίθων δὲ Αἰγυπτίων ἐνέδει οὐδὲ εἷς, σαπφείρου καὶ αἱματίτου θραύσματα σμαράγδου τε, ἀλλὰ καὶ τοπαζίου. (6) λεάνας οὖν τὰ πάντα καὶ ἀναμίξας ἔχρωσε κυάνωι, οὗ δὴ χάριν μελάντερον τὸ χρῶμα τοῦ ἀγάλματος, καὶ τῶι ἐκ τῆς Ὀσίριδος καὶ τοῦ Ἄπιος κηδείας ὑπολελειμμένωι φαρμάκωι φυράσας τὰ πάντα διέπλασεν τὸν Σάραπιν, οὗ καὶ τοὔνομα αἰνίττεται τὴν κοινωνίαν τῆς κηδείας καὶ τὴν ἐκ τῆς ταφῆς δημιουργίαν, σύνθετον ἀπό τε Ὀσίριδος καὶ Ἄπιος γενόμενον Ὀσίραπις.

5 (3) STRABON 16, 4, 21 p. 779: σφόδρα δ' εὐνομεῖται (*scil.* ἡ Πέτρα)· γενόμενος γοῦν παρὰ τοῖς Πετραίοις Ἀθηνόδωρος, ἀνὴρ φιλόσοφος καὶ ἡμῖν ἑταῖρος, διηγεῖτο θαυμάζων. εὑρεῖν γὰρ ἐπιδημοῦντας ἔφη πολλοὺς μὲν Ῥωμαίων, πολλοὺς δὲ καὶ τῶν ἄλλων ξένων· τοὺς μὲν οὖν ξένους ὁρᾶν κρινομένους πολλάκις καὶ πρὸς (30/25a?)

1-3 ἐκλήθη – μετωνομάσθη Mue 3 φησι P om. R 6 ὁμοῦ S[1] ὁμοῦ τι Y (τι suprascr. S) 7 Σάνδωνος Perizonius σάνδων o 10 ἀρχύτην A ἀρχύτας (mut. struct.) E 11 τούτων τοῖς παιδίοις Cas; cf. Aelian. *V.H.* 12, 15 τοῖς αὐτῶν παιδίοις πάνυ σφόδρα ἐτέρπετο, μετὰ τῶν οἰκοτρίβων παίζων· μάλιστα δὲ ἐφίλει τέρπεσθαι αὐτοῖς ἐν τοῖς συμποσίοις 15 ‹καὶ› ἄλλοι δὲ? 16 Ἀντιοχείαι Cobet ἀντιόχειαν P 18 ὁ suprascr. P τοῦ σάνδωνος (aus τοὺς ἄνδωνος) P[1] 19 ὅπως: ὅτωι Schwartz 20 Αἰγυπτίων? 22 αὐτοῖς Wil αὐτὸς P 28 [τοῦ] Ddf 31 Ὀσίραπις Victorius ὁ σίραπις P 33 γοῦν: οὖν E Πετραίοις ς πετρίοις u. πατρίοις o ἀνὴρ om. E

ἀλλήλους καὶ πρὸς τοὺς ἐπιχωρίους, τῶν δ' ἐπιχωρίων οὐδένας ἀλλήλοις ἐγκαλοῦντας, ἀλλὰ τὴν πᾶσαν εἰρήνην ἄγοντας πρὸς ἑαυτούς.

6 (5) **a**) Strabon 1, 1, 9 p. 6: ἡμεῖς δὲ τὸν μὲν πλείω λόγον περὶ τοῦ ὠκεανοῦ καὶ τῶν πλημμυρίδων εἰς Ποσειδώνιον (87 F 82) ἀναβαλλόμεθα καὶ Ἀθηνόδωρον, ἱκανῶς διακρατήσαντας τὸν περὶ τούτων λόγον. **b**) – 1, 3, 12 p. 55: περὶ μὲν οὖν τῶν πλημμυρίδων καὶ τῶν ἀμπώτεων εἰρήκασιν ἱκανῶς Ποσειδώνιός τε καὶ Ἀθηνόδωρος, περὶ δὲ τῆς τῶν πορθμῶν παλιρροίας ... τοσοῦτον εἰπεῖν ἀπόχρη ... **c**) – 3, 5, 7 p. 173: εἰ δ' ὥσπερ Ἀθηνόδωρός φησιν, εἰσπνοῆι τε καὶ ἐκπνοῆι τὸ συμβαῖνον περὶ τὰς πλημμυρίδας καὶ περὶ τὰς ἀμπώτεις ἔοικεν.

747. (P. ANTEIUS) ANTIOCHOS VON AIGAI c. 160/230

T

1 (–) Philostrat. *Vit. Soph.* 2,4: Ἀντίοχον δὲ τὸν σοφιστὴν αἱ Κιλίκων Αἰγαὶ ἤνεγκαν οὕτω τι εὐπατρίδην, ὡς νῦν ἔτι τὸ ἀπ' αὐτοῦ γένος ὑπάτους εἶναι ..... ἀκροατὴς ὁ Ἀντίοχος ἐν παισὶ μὲν Δαρδάνου τοῦ Ἀσσυρίου, προιὼν δὲ ἐς τὰ μειράκια Διονυσίου ἐγένετο τοῦ Μιλησίου, κατέχοντος ἤδη τὴν Ἐφεσίων ..... ἄριστα δὲ καὶ ὑπὲρ τῶν Κρητῶν ἀπολελόγηται τῶν κρινομένων ἐπὶ τῶι τοῦ Διὸς σήματι, φυσιολογίαι τε καὶ θεολογίαι πάσηι ἐναγωνισάμενος λαμπρῶς. τὰς μὲν οὖν μελέτας αὐτοσχεδίους ἐποιεῖτο, ἔμελε δὲ αὐτῶι καὶ φροντισμάτων, ὡς ἕτερά τε δηλοῖ τῶν ἐκείνου καὶ μάλιστα ἡ ἱστορία· ἐπίδειξιν γὰρ ἐν αὐτῆι πεποίηται λέξεώς τε καὶ ῥητορείας, ἐσποιῶν ἑαυτὸν καὶ τῶι φιλοκαλεῖν. περὶ δὲ τῆς τελευτῆς τοῦ ἀνδρὸς οἱ μὲν ἑβδομηκοντούτην τεθνάναι αὐτόν, οἱ δὲ οὔπω· καὶ οἱ μὲν οἴκοι, οἱ δὲ ἑτέρωθι.

2 Inschr. Argos (Vollgraff *B.C.H.* 28, 1904, p. 421): [Αἰγεαί]ων τῶν ἐν Κιλικίαι ἀνανέωσις τᾶς / [παλαιᾶς π]ρὸς τὰν πόλιν συγγενήας. / [ὁ δᾶμος τ]ῶν Ἀργείων καὶ ἁ βουλὰ καὶ οἱ σύνεδροι Αἰγεαίων / [τῶν ἐν Κιλι]κίαι τοῖς ἄρχουσι καὶ τᾶι βουλᾶι καὶ τῶι δάμωι / [5] [ἑαυτῶν συγ]γενέσι χαίρειν. Πόπλιος Ἄντειος Ἀντίοχος / [πολίτης ὑμέ]τερος γενόμενος ἐν τᾶι πόλι ἁμῶν περὶ πολλοῦ ἐποι / [εῖτο ἀνανε]ώσασθαι τὰ τᾶς ὑμετέρας πόλιος δίκαια πρὸς τὰν ἁμε / [τέραν καὶ ἐγ]γράψας στάλαι θεῖναι ἐν τῶι τοῦ Λυκείου Ἀπόλλωνος ἱε / [ρῶι, τοῦτο μὲν (?)] ἀδέως ἐπετρέψαμεν αὐτῶι, διδαχθέντες ἐπιμελῶς / [10] [περὶ πάντω]ν, ἅμα δὲ καὶ ὁρῶντες καλὰν ἅμιλλαν τὰν ὑπὲρ τᾶς / [πατρίδο]ς αὐτὸν φιλοτιμούμενον ..... τᾶς δὲ στάλας τὸ ἀντίγραφον ἐ / [15] [πέμψαμεν] ὑμῖν τὸ ὑπογεγραμμένον. / [Ἐπειδὴ Πόπλιο]ς Ἄντειος Ἀντίοχος ἐπιδαμήσας ἁμῶν τᾶι πόλι κοσ / [μίως τε καὶ φιλο]φρόνως ἔν τε τοῖς λοιποῖς ἐπεδείξατο τὰν ἰδίαν κα / [λογαθίαν κ]αὶ τὰν ἐν παιδείαι τελειότατα, οὐχ ἥκιστα δὲ ἐν τᾶι / [περὶ τὰν πατρί]δα σπουδᾶι τε καὶ διαθέσει, φανερὰν ἁμῖν ποιήσας / [20] [τὰν ἐκ πατέρων ὑ]πάρχουσαν ποτ' Αἰγεαίους ἁμῶν συγγένηαν· Περ / [σέα γὰρ ἔφη τὸ]ν Δανάας ἐπὶ τὰς Γοργόνας στελλόμενον ἐς / [τὰν ἐσχάταν (?) τε ἀφικ]έσθαι Κιλικίαν, ἅτις ἐστὶν τέρμα τᾶς πρὸς / [ἀνατολὰς (?) Ἀσίας],

---

5 διακρατύναντας Kramer 8 εἰ δ': εἰθ' ABCl 19-20 τι καὶ ἱστορίας ς τε καὶ θεωρίας Kayser 25-26 [πολίτης ὑμέ]τερος Wilhelm [ἤδη πρεσβύ]τερος Vollgraff 28 [τοῦτο μὲν (?)] ἀδέως Wilhelm [ὅπερ καὶ] ἀδεῶς Vollgraff 33 κ]αὶ τὰν ἐν π. τελειότατα Buecheler απαν εν π. τελειοτατα stein καθ]άπαν ἐ. π. τελειοτάται Vollgraff 35-36 ἐς [τὰν ἐσχάταν τε] Vollgraff[2] ἐσ[δραμόντα] Vollgraff[1] ἐς [Ὠκεανὸν (ο. Λιβύαν)] Polak ἐς [Πεδιάδα (ο. ἀώιαν)] Hiller v. Gärtringen 36 [δυσμὰς Ἀσίας] Hiller

κἀκεῖ τὸ τᾶς πατρίου κομίζοντα θεᾶς ἀφεί / [δρυμα * * * μ]ηδέπω τὸν ἆθλον ἐκ / [τελέσαντα (?) * * *

F

(T 2) ‹ΠΕΡΙ ΤΗΣ ΠΑΤΡΙΔΟΣ ?›

—. KLAUDIANOS 408/50p

282 T 1. ΠΑΤΡΙΑ ΤΑΡΣΟΥ. ΠΑΤΡΙΑ ΑΝΑΖΑΡΒΟΥ

—. ARISTOTELES s. IV 2a

IV. ΣΟΛΕΩΝ ΠΟΛΙΤΕΙΑ

ANHANG (ISAURIEN)

748. KANDIDOS DER ISAURER s. V 2p

T

1 (IV 135) Phot. *Bibl.* 79 p. 55 a 3 Bkr: ἀνεγνώσθησαν Κανδίδου ἱστορίας λόγοι τρεῖς. ἄρχεται μὲν τῆς ἱστορίας ἀπὸ τῆς Λέοντος ἀναρρήσεως (457p) . . . τελευτᾶι δ' εἰς τὴν ἀναγόρευσιν Ἀναστασίου (491p). ἔστι δὲ πατρίδος μὲν Ἰσαυρίας, ὡς αὐτός φησι, τῆς Τραχείας, ἐπιτήδευμα δ' ἔσχεν ὑπογραφεὺς τῶν ἐν Ἰσαύροις πλεῖστον ἰσχυσάντων. τὴν δὲ θρησκείαν Χριστιανὸς ἦν καὶ ὀρθόδοξος . . . . . οὗτος ἰσχυρίζεται τὴν Ἰσαυρίαν ἀπὸ τοῦ Ἡσαῦ λαβεῖν τὴν ἐπωνυμίαν.

διέρχεται δὲ ἐν μὲν τῶι πρώτωι λόγωι κτλ.

749. PAMPREPIOS VON PANOPOLIS 440/84p

T

1 (IV 132) Suda s.v. Παμπρέπιος Πανοπολίτης· ἐπῶν ποιητής, ἀκμάσας κατὰ Ζήνωνα τὸν βασιλέα (474/91). ἔγραψεν Ἐτυμολογιῶν ἀπόδοσιν· Ἰσαυρικὰ καταλογάδην.

F

ΙΣΑΥΡΙΚΑ

—

1-2: reste von 10 (?) buchstaben; dann ˆΗΗΔΕ; [διὰ τὸ μ]ηδέποτε Hiller 13 ff.: FHG IV 135 ff.; *Hist. Gr. Min.* (ed. L. Dindorf) I, 1870, p. 441 ff. 24 ἐκ Πανὸς ὁρμώμενος τῆς ἐν Αἰγύπτωι Suda Π 137 p. 15, 3 Adler (= Damaskios) Θηβαῖος τῶν κατὰ τὴν Αἴγυπτον *ebd.* p. 13, 29 (= Malchos) 25 Ἐτ. ἀπ. καταλογάδην· Ἰσαυρικά Bernhardy

750. KAPITON DER LYKIER 474/518?

T

1 (IV 133) SUDA s.v. Καπίτων Λύκιος· ἱστορικός. οὗτος ἔγραψεν Ἰσαυρικά, βιβλία ὀκτώ· Μετάφρασιν τῆς ἐπιτομῆς Εὐτροπίου, Ῥωμαιστὶ ἐπιτεμόντος Λίβιον τὸν Ῥωμαῖον· καὶ περὶ Λυκίας καὶ Παμφυλίας.

F

1. ΙΣΑΥΡΙΚΑ $\bar{Α}$ – $\bar{Η}$

1 (1) STEPH. BYZ. s.v. Ἐδεβησσός· πόλις Λυκίας, ὡς Καπίτων ἐν Ἰσαυρικῶν ᾱ.

2 (1) STEPH. BYZ. s.v. Κοτράδης· πόλις Ἰσαυρίας. Καπίτων Ἰσαυρικῶν ᾱ. τὸ ἐθνικὸν Κοτραδεώτης ἀπὸ τῆς γενικῆς τῆς Κοτράδεως.

3 (1) STEPH. BYZ. s.v. Λαλίσανδα· πόλις Ἰσαυρική, ὡς Καπίτων Ἰσαυρικῶν ᾱ. τὸ ἐθνικὸν Λαλισανδεύς. οἱ νῦν δὲ Δαλίσανδα ταύτην φασὶ καὶ Δαλισανδεώτας. (479?)

4 (2) STEPH. BYZ. s.v. Ἀλίμαλα· χωρίον Λυκίας. Καπίτων ἐν Ἰσαυρικῶν β̄. οἱ ἐνοικοῦντες Ἀλιμαλεῖς.

5 (2) STEPH. BYZ. s.v. Ἀρύκανδα· πόλις Λυκίας, ὡς Καπίτων ἐν Ἰσαυρικῶν β̄.

6 (2) STEPH. BYZ. s.v. Σύ<μ>βρα· οὐδετέρως· Φρυγίας φρούριον, ὡς Καπίτων ἐν Ἰσαυρικῶν β̄.

7 (3) STEPH. BYZ. s.v. Ἀρνεαί· πόλις Λυκίας μικρά, ὡς Καπίτων Ἰσαυρικῶν γ̄.

8 (3) STEPH. BYZ. Μενεδήμιον· πόλις Λυκίας. Καπίτων ἐν Ἰσαυρικῶν γ̄.

9 (3) STEPH. BYZ. s.v. Σύεδρα· πόλις Ἰσαυρίας, ὡς Καπίτων ἐν Ἰσαυρικῶν γ̄.

***10** (5) STEPH. BYZ. s.v. Ψιμάδα· χωρίον Ἰσαυρίας. τὸ ἐθνικὸν Ψιμαδεῖς· Καπίτων ἐν ε̄· «Κόνωνα δὲ παρόντα Ψιμαδέα μεγάλως ἐφιλοφρονήσατο». (491/2?)

11 (4) STEPH. BYZ. s.v. Καυίνδανα· Ἰσαυρίας κώμη. Καπίτων Ἰσαυρικῶν ς̄. ὁ κωμήτης Καυινδανεώτης.

12 (4) STEPH. BYZ. s.v. Μουκισσός· πόλις Καππαδοκίας β̄. Καπίτων Ἰσαυρικῶν ς̄.

13 (4) STEPH. BYZ. s.v. Μοναβαί· πόλις Ἰσαυρίας. Καπίτων ἐν Ἰσαυρικῶν *. τὸ ἐθνικὸν Μοναβάτης.

OHNE BUCHTITEL (BUCHZAHL)

14 (6) STEPH. BYZ. s.v. Ἀκαρασσός· πόλις Λυκίας, ὡς Καπίτων. ($\bar{Α}$?)

3-5 οὗτος – Παμφυλίας om. F 4 <τοῦ> Ῥωμαιστὶ Daub 9 κοτράδης RVP[c] κοτράδες P[ac] Κότραδις Mei 10 κο(σ)τραδέως VP 11 Λαλίσανδα: korruptel in Stephanos' exemplar der *Isaurika*? 12 Δαλίσανδα: 'Δαλισάνδειαν postulat gentile Δαλισανδεώτης' Mei 13-14: zwischen Ἄλιν(δ)α und Ἀλίνδοια; korrupt oder falsch eingeordnet 13 καπίτην V ἐν om. P ἰσαυρικῶ VP abbr. R 14 ἀλιμαλεῖς R 16 Σύμβρα (zwischen Σύμαιθα u. Σύμη) Holste σύβρα o 21 Ψίμαδα Mei 22 ἐν ε̄ RV ιε̄ P χόννωνα R κόνονα V δὲ om. R Ψιμαδεῖς μ. ἐφιλοφρονήσαντο? Mei 23 Καυίνδανα (zwischen Καύδιον u. Καύκασος) Berkel, Holste κανίνδανα RP καμίνδανα V Καυινδάνεια Gavelius ἰσαυρία R Ἰσαυρικῶν Xyl σαυρικῶν o 24 κανινδανεώτης P κινδανεώτης RV 27 μοναβάς V ἐν om. R ἰσαυρικῶν . . . . R ἰσμ . . . . . V ἰσαυρικοῖς P 28 Μοναβαίτης? Mei 30 ἀκασσαρός R

15 (6) STEPH. BYZ. s.v. Ἀμάσεια· πόλις Ποντική .... ὁ πολίτης Ἀμασεύς, ὡς αὐτὸς Στράβων (12, 3, 38), κατὰ δὲ Καπίτωνα Ἀμασεώτης.

16 (6) STEPH. BYZ. s.v. Δέρβη· φρούριον Ἰσαυρίας καὶ λιμήν. ὁ κατοικῶν Δερβήτης ... λέγεται δ' ἴσως καὶ Δέρβεια, καὶ τὸ ἐθνικὸν Δερβείτης. Καπίτων δὲ Δέρμην φησί· τινὲς δὲ Δέλβειαν, ὅ ἐστι τῆι τῶν Λυκαόνων φωνῆι ἄρκευθος· καὶ Ἀρκεύθης ἡ πόλις.

17 (6) STEPH. BYZ. s.v. Πιτύη· πόλις Καρίας. οἱ πολῖται Πιτυᾶται. Καπίτων δὲ διὰ τοῦ σ̄ αὐτὴν λέγει.

2. ΠΕΡΙ ΛΥΚΙΑΣ ΚΑΙ ΠΑΜΦΥΛΙΑΣ (?)

—

—. CHRISTODOROS VON KOPTOS $491/7^{p}$

ΙΣΑΥΡΙΚΑ Ᾱ – F̄

283 T 1.

XVIII. KYPROS

—. HELLANIKOS VON LESBOS c. $430/400^{a}$

ΚΥΠΡΙΑΚΑ

4 F 57; 756 F 1.

—. PALAIPHATOS VON ABYDOS (c. 300^{a}?)

ΚΥΠΡΙΑΚΑ

44 T 3.

—. ALEXANDROS POLYHISTOR c. $80/35^{a}$

ΠΕΡΙ ΚΥΠΡΟΥ Ᾱ

273 F 31.

751. ANDROKLES (s. IV 2^{a}?)

ΠΕΡΙ ΚΥΠΡΟΥ Ᾱ

1 (IV 448, 7) SCHOL. LYKOPHR. *Al.* 447 (ET. M. p. 738, 50): ἡ Κύπρος πρότερον Σφήκεια ἐκαλεῖτο, ὥς φησι Φιλοστέφανος ἐν τῶι Περὶ Κύπρου (IV), ἀπὸ τῶν ἐνοικησάντων ἀνδρῶν, οἳ ἐκαλοῦντο Σφῆκες. καλεῖται δὲ καὶ Κεραστία, ὡς μὲν Ἀνδροκλῆς ἐν τῶι Περὶ Κύπρου, διὰ τὸ ἐνοικῆσαι αὐτῆι ἄνδρας, οἳ εἶχον κέρατα, ὡς δὲ Ξεναγόρας ἐν τῶι Περὶ νήσων (240 F 26), διὰ τὸ ἔχειν αὐτὴν πολλὰς ἐξοχάς, ἃς κέρατα καλοῦσι, Κεραστία ὠνομάσθη.

---

4 δέρβεια P δέρβειον R καὶ δ. om. V   καπείτων V   5 ἀρκεύθη ὁ πόλις P   6 πιτυάται RP   6-7 καπίτων – λέγει RV (cf. s.v. Πισύη· πόλις Καρίας. λέγεται καὶ Πιτύη. τὸ ἐθνικὸν ὁμοίως Πισυήτης; Eust. *Il.* B 828 p. 356, 1) K. δὲ αὐτὴν διὰ δύο σσ̄ αὐτὴν λέγει πιτύουσσαι P   26 Φιλοστέφανος: στέφανος Et   26-27 [ἐν – Κύπρου (cf. 758 F 1 a)]?   27 ἐνοικούντων ἐκεῖσε Et   ἐκαλεῖτο Tzetz Et   28 Κεράστεια Steph. Byz. s.v. Σφήκεια; Κεραστὶς καὶ Κεραστιάς (korrupt?) s.v. Κύπρος (758 F 1 a)   μὲν ἀνδροκλῆς $ss^{3}S^{4}$ μένανδρος $b\gamma^{2}$ (Schol. Ioh. Tzetz) Et μὲν Ἀλέξανδρος (273 F 144) Mei   29 αὐτῆι om. s   Ξεναγόρας: ξενοκράτης s^{3}

752. ASKLEPIADES VON KYPROS

(Kaiserzeit?)

ΠΕΡΙ ΚΥΠΡΟΥ ΚΑΙ ΦΟΙΝΙΚΗΣ Ᾱ

1 (III 306) PORPHYR. *De abst.* 4, 15 (HIERON. *Adv. Jovin.* 2, 14): καὶ μὴν καὶ τοὺς Σύρους ἱστοροῦσι τὸ παλαιὸν ἀπέχεσθαι τῶν ζώιων, καὶ διὰ τοῦτο μηδὲ τοῖς θεοῖς θύειν· ὕστερον δὲ θῦσαι μὲν εἰς ἀποτροπήν τινων κακῶν, αὐτοὺς δὲ μηδὲ ὅλως προσίεσθαι τὴν σαρκοφαγίαν. προιόντος δὲ τοῦ χρόνου, ὥς φησι Νεάνθης ὁ Κυζικηνὸς (84 F 32) καὶ Ἀσκληπιάδης ὁ Κύπριος, κατὰ Πυγμαλίωνα τὸν γένει μὲν Φοίνικα, βασιλεύσαντα δὲ καὶ Κυπρίων, τὴν σαρκοφαγίαν παραδεχθῆναι ἐκ τοιαύτης παρανομίας. λέγει δὲ ὁ Ἀσκληπιάδης ἐν τῶι Περὶ Κύπρου καὶ Φοινίκης ταῦτα· «τὸ μὲν γὰρ πρῶτον οὐκ ἐθύετο τοῖς θεοῖς οὐδὲν ἔμψυχον, ἀλλ' οὐδὲ νόμος ἦν περὶ τούτου διὰ τὸ νόμωι φυσικῶι κεκωλῦσθαι, ὑπὸ δέ τινας καιροὺς πρῶτον ἱερεῖον θῦσαι μυθεύονται, ψυχὴν ἀντὶ ψυχῆς αἰτουμένους, εἶτα τούτου γενομένου ὁλοκαυτίζειν τὸ τυθέν. ὕστερον δέ ποτε φλεγομένου τοῦ ἱερείου, πεσεῖν σάρκα εἰς γῆν, ἣν ἀνελόντα τὸν ἱερέα καὶ κατακαιόμενον ἀβουλήτως προσαγαγεῖν τῶι στόματι τοὺς δακτύλους, ἀκούμενον τὴν κατάκαυσιν· γευσάμενον δὲ τῆς κνίσσης ἐπιθυμῆσαι, καὶ μὴ ἀποσχέσθαι, ἀλλὰ καὶ τῆι γυναικὶ μεταδοῦναι. γνόντα δὲ τοῦτο τὸν Πυγμαλίωνα αὐτόν τε καὶ τὴν γυναῖκα κατὰ κρημνῶν ἀφεῖναι, ἑτέρωι δὲ τὴν ἱερωσύνην παραδοῦναι, ὃς οὐ πολλοῦ χρόνου διαλιπόντος τὴν μὲν αὐτὴν θυσίαν ἔτυχε ποιούμενος· ὅτι δὲ τῶν αὐτῶν κρεῶν ἔφαγεν, ταῖς αὐταῖς ἐκείνωι συμφοραῖς περιέπιπτεν. ἐπὶ πλέον δὲ τοῦ πράγματος προβαίνοντος, καὶ τῶν ἀνθρώπων τῆι θυσίαι χρωμένων, καὶ διὰ τὴν ἐπιθυμίαν οὐκ ἀπεχομένων, ἀλλὰ τῆς σαρκὸς ἁπτομένων, οὕτως ἀποστῆναι τοῦ κολάζειν». τὸ μέντοι τῶν ἰχθύων ἀπέχεσθαι ἄχρι τῶν Μενάνδρου χρόνων τοῦ κωμικοῦ διέμεινεν. λέγει γάρ (III 164, 544 K)· «παράδειγμα τοὺς Σύρους λαβέ· / ὅταν φάγωσ' ἰχθὺν ἐκεῖνοι διά τινα / αὐτῶν ἀκρασίαν κτλ.».

753. KREON

Hellenist. Zeit?

ΚΥΠΡΙΑΚΑ Ᾱ – ?

1 (IV 371, 1) SCHOL. V ARISTOPH. *Nubb.* 10 (SUDA s.v. ἐγκεκορδυλη-

---

7 *Euanthes Cyzicenus* Hier 8 δὲ καὶ Mm δὲ r *aetate qua Pygmalion in Oriente regnabat* Hier 12 κεκωλῦσθαι Mue -ύσθαι o 12-13 τινος καιροῦ Rei 14 αἰτούμενοι (o. ἀλλαττόμενοι) Nauck 21 διαλιπόντος Nauck διαλείποντος o 22 ὅτι δὲ He ὅστις δὲ o 23 περιέπεσεν Nauck 26 οὕτως Rhoer οὐχ o οὕτω δὴ o.ä. Mue 27-29: noch aus A.? 29 φάγωσ' Porson φάγωσιν o αὐτῶν v

μένος): ἐγκεκορδυλημένος· . . . . κορδύλη δὲ ἰδίως λέγεται τὸ ἐν τῆι κεφαλῆι ὑπερεξέχον οἴδημα ὑπὸ πληγῆς εἰς ὕψος καὶ ὄγκον ἀρθέν, ὃ καλοῦμεν κόνδυλον. Κρέων δὲ ἐν τῶι πρώτωι τῶν Κυπριακῶν κορδύλην φησὶ καλεῖσθαι τὸ πρὸς κεφαλῆς προσείλημα, ὃ δὴ παρὰ Ἀθηναίοις καλεῖται κρώβυλον, παρὰ δὲ Πέρσαις κιδάριον.

754. TIMOMACHOS

(s. IV/III?)

ΚΥΠΡΙΑΚΑ

1 (IV 521, 1) Athen. 14, 42 p. 638 A: (Menaichmos 131 F 6/7; Philochoros 328 F 23) Τιμόμαχος δ' ἐν τοῖς Κυπριακοῖς Στήσανδρον λέγει τὸν Σάμιον (?) ἐπὶ πλεῖον αὐξῆσαι τὴν τέχνην (*scil.* τὴν ψιλοκιθαριστικήν?), καὶ πρῶτον ἐν Δελφοῖς κιθαρωιδῆσαι τὰς καθ' Ὅμηρον μάχας, ἀρξάμενον ἀπὸ τῆς Ὀδυσσείας. ἄλλοι δὲ πρῶτόν φασιν παρ' Ἐλευθερναίοις κιθαρίσαι τὰς ἐρωτικὰς ὠιδὰς Ἀμήτορα τὸν Ἐλευθερναῖον, οὗ καὶ τοὺς ἀπογόνους Ἀμητορ‹ίδ›ας καλεῖσθαι. (Es folgen citate aus Aristoxenos und Phainias).

*2 (2) Vit. Hom. Rom. p. 30, 24 Wil: Ἀναξιμένης (72 F 30) μὲν οὖν καὶ Δαμάστης (5 F 11) καὶ Πίνδαρος ὁ μελοποιὸς (F 264) Χῖον αὐτὸν (*scil.* Ὅμηρον) ἀποφαίνονται, καὶ Θεόκριτος ἐν τοῖς Ἐπιγράμμασιν . . . . Ἱππίας (6 F 13) δ' αὖ καὶ Ἔφορος (70 F 99) Κυμαῖον . . . . Τιμόμαχος δὲ καὶ Ἀριστοτέλης (F 76 Ro) ἐξ Ἴου τῆς νήσου. κατὰ δ' Ἀντίμαχον (F 130 Wyss) Κολοφώνιος, κατὰ δὲ Στησίμβροτον τὸν Θάσιον (107 F 22) Σμυρναῖος, κατὰ Φιλόχορον (328 F 209) δ' Ἀργεῖος, κατὰ Καλλικλέα (758 F 13) δὲ τῆς ἐν Κύπρωι Σαλαμῖνος. Ἀριστόδημος δ' ὁ Νυσαεὺς Ῥωμαῖον αὐτὸν ἀποδείκνυσιν . . . .

755. XENOPHON VON KYPROS

T

1 (III 102) Suda s.v. Ξενοφῶν Κύπριος· ἱστορικός. Κυπριακά· ἔστι δὲ καὶ αὐτὰ ἐρωτικῶν ὑποθέσεων ἱστορία περί τε Κινύραν καὶ Μύρραν καὶ Ἄδωνιν.

ΚΥΠΡΙΑΚΑ

—

756. DEMETRIOS VON SALAMIS

‹ΚΥΠΡΙΑΚΑ?›

1 (IV 382) Steph. Byz. s.v. Καρπασία· πόλις Κύπρου, ἣν Πυγμαλίων

---

1 τὸ om. V 2 ἐξέχον Sud 3 ἐν τῶι ᾱ τῶν ῥητορικῶν Sud (cf. Et. M. p. 310, 48 ff.) 4 κεφαλῆς VSud -λῆι (-ὴν V) Sud s.v. νιδάριον, v προσείλημα VSud τὸ περιείλημα τῆς κεφαλῆς Schol. RV (gl. 2) 5 κιδάριον Küster κιδάνιον V νιδάριον Sud 10 Σάμιον: Σαλαμίνιον Wil 13 ὠιδὰς Ἀμήτορα Mus ὡς δα / σαμίτωνα A Ἀμητορίδας Mei ἀμίτορας A; cf. Hesych. s.v. ἀμήτορας· κιθαριστάς· Κρῆτες

ἔκτισεν, ὡς Ἑλλάνικος ἐν τοῖς Κυπριακοῖς (4 F 57) . . . . . Ξεναγόρας (240 F 34) δὲ Κάρπαθον αὐτήν φησι. Δημήτριος δὲ ὁ Σαλαμίνιος Καρβασίαν φησίν, ὅτι πρὸς τὸν καλούμενον καρβὰν ἄνεμον κεῖσθαι δοκεῖ.

757. PAION VON AMATHUS

s. III•?

ΠΕΡΙ ΑΜΑΘΟΥΝΤΟΣ

1 (–) HESYCH. s.v. Ἀφρόδιτος· Θεόφραστος (IV) μὲν τὸν Ἑρμαφρόδιτόν φησιν, ὁ δὲ τὰ περὶ Ἀμαθοῦντα γεγραφὼς Παίων εἰς ἄνδρα τὴν θεὸν ἐσχηματίσθαι ἐν Κύπρωι λέγει.

2 (IV 371, 2) PLUTARCH. *Thes.* 20: πολλοὶ δὲ λόγοι καὶ περὶ τούτων ἔτι λέγονται καὶ περὶ τῆς Ἀριάδνης, οὐδὲν ὁμολογούμενον ἔχοντες . . . . . . (3) ἴδιον δέ τινα περὶ τούτων λόγον ἐκδέδωκε Παίων ὁ Ἀμαθούσιος. (4) τὸν γὰρ Θησέα φησὶν ὑπὸ χειμῶνος εἰς Κύπρον ἐξενεχθέντα, καὶ τὴν Ἀριάδνην ἔγκυον ἔχοντα, φαύλως δὲ διακειμένην ὑπὸ τοῦ σάλου καὶ δυσφοροῦσαν, ἐκβιβάσαι μόνην, αὐτὸν δὲ τῶι πλοίωι βοηθοῦντα πάλιν εἰς τὸ πέλαγος ἀπὸ τῆς γῆς φέρεσθαι. (5) τὰς οὖν ἐγχωρίους γυναῖκας τὴν Ἀριάδνην ἀναλαβεῖν, καὶ περιέπειν ἀθυμοῦσαν ἐπὶ τῆι μονώσει, καὶ γράμματα πλαστὰ προσφέρειν ὡς τοῦ Θησέως γράφοντος αὐτῆι, καὶ περὶ τὴν ὠδῖνα συμπονεῖν καὶ βοηθεῖν, ἀποθανοῦσαν δὲ θάψαι μὴ τεκοῦσαν. (6) ἐπελθόντα δὲ τὸν Θησέα καὶ περίλυπον γενόμενον τοῖς μὲν ἐγχωρίοις ἀπολιπεῖν χρήματα, συντάξαντα θύειν τῆι Ἀριάδνηι, δύο δὲ μικροὺς ἀνδριαντίσκους ἱδρύσασθαι, τὸν μὲν ἀργυροῦν, τὸν δὲ χαλκοῦν. (7) ἐν δὲ τῆι θυσίαι τοῦ Γορπιαίου μηνὸς ἱσταμένου δευτέραι κατακλινόμενόν τινα τῶν νεανίσκων φθέγγεσθαι καὶ ποιεῖν ἅπερ ὠδίνουσαι γυναῖκες. καλεῖν δὲ τὸ ἄλσος Ἀμαθουσίους, ἐν ὧι τὸν τάφον δεικνύουσιν, Ἀριάδνης Ἀφροδίτης. (8) καὶ Ναξίων δέ τινες (501 F 1) ἰδίως ἱστοροῦσι κτλ.

—. ARISTOTELES

c. 340/30

ΚΥΠΡΙΩΝ ΠΟΛΙΤΕΙΑ

IV.

758. ANHANG

1 a) STEPH. BYZ. s.v. Κύπρος· . . . . <ἐκλήθη δὲ> ἀπὸ Κύπρου τῆς θυγατρὸς Κινύρου· <ἢ τῆς Βύβλου καὶ Ἀφροδίτης, ὡς Φιλοστέφανος ἐν τῶι Περὶ νήσων (IV) καὶ Ἴστρος ἐν Ἀποικίαις Αἰγυπτίων (334 F 45) ἱστόρησαν>· ἢ ἀπὸ τοῦ φυο-

---

2 Κάρπαθον o (cf. P. Ox. 2086) Κάρπασον Holste 3 καρβὰν o (cf. Herodian. I 13, 29; II 504, 19 L) καρβάσιον Pal κάρβαν Mei 7 τὴν θεὸν v τὸν θ. M 29-31 < > aus Const. Porph. *De Themat.* 1, 13 29 θυγατρὸς (Const) Steph υἱοῦ Eust. Dion. *Per.* 508/9 30 κυνίρου R 31-738, 1 ἢ ἀπὸ ἄνθους ἐκεῖ πολλοῦ φυομένου, κύπρου καλουμένου Eust

μένου ἄνθους κύπρου. Ἀστύνομος (VI) δέ φησι Κρύπτον κεκλῆσθαι διὰ τὸ κρύπτεσθαι πολλάκις ὑπὸ τῆς θαλάσσης· εἶτα Κύπρος. ἐκαλεῖτο δὲ καὶ Κεραστὶς (cf. 751 F 1) ἀπὸ τοῦ πολλὰ ἄκρα ἔχειν καὶ Κεραστιὰς (?) καὶ Ἀμαθουσία καὶ Μηιονὶς καὶ Σφήκεια καὶ Ἀκαμαντίς. **b**) PLIN. *N.H.* 5, 129: *Cyprum . . . quondam novem regnorum sedem. huius circuitum Timosthenes* (V) *CCCCXXVII·D p. prodidit, Isidorus* (781 F 13) *CCCLXXV*; *longitudinem inter duo promunturia, Clidas et Acamanta* (*quod est ab occasu*), *Artemidorus* (V) *CLXII·D, Timosthenes CC. vocatam ante Acamantida Philonides* (121 F 1), *Cerastim* (?) *Xenagoras* (240 F 26) *et Aspeliam et Amathusiam et Macariam, Astynomus* (VI) *Crypton et Colinian.*

2 HERODT. 7, 90: τούτων (*scil.* τῶν Κυπρίων) δὲ τοσάδε ἔθνεά ἐστι· οἱ μὲν ἀπὸ Σαλαμῖνος καὶ Ἀθηνέων, οἱ δὲ ἀπὸ Ἀρκαδίης, οἱ δὲ ἀπὸ Κύθνου, οἱ δὲ ἀπὸ Φοινίκης, οἱ δὲ ἀπὸ Αἰθιοπίης, ὡς αὐτοὶ Κύπριοι λέγουσι.

3 a) SCHOL. DION. PER. 509: Κύπρος . . . ἐπήρατον ἄστυ Διωναίης Ἀφροδίτης] Κεραστὶν αὐτὴν καλουμένην ᾤκισεν Ὕων Αἰγύπτιος, οὗ υἱὸς † Κέλτης ἄπαις τελευτᾶι. Κέφαλος δὲ ὁ Πανδίονος καὶ Ἕρσης εἰς τὴν Ἀσίαν οἰκῶν ἔσχε παῖδας Ἀῷον καὶ Πάφον, ὃς διαβὰς εἰς αὐτὴν πόλιν κτίζει Πάφον· οὗ υἱὸς Κινύρας προσέσχε τὴν νῆσον, καὶ Πυγμαλίων Φοίνιξ, οὗ θυγατέρα Θυμαρέτιν γαμεῖ Κινύρας. καὶ ποιεῖ Ὀξύπαρον καὶ Ἄδωνιν (F 8), ὃν ὑπὸ συὸς ἀποθανόντα λέγειν ἔπεισεν, ὡς ἥρπασται ὑπὸ Ἀφροδίτης, καὶ πέμψας ἔθαψεν ἐν Βύβλωι τῆς Φοινίκης παρὰ ποταμόν, ὃς Ἄδωνις καλεῖται. **b**) SERV. DAN. VERGIL. *Buc.* 10, 18: *est etiam alter ordo huius fabulae* (über geburt und tod des Adonis): *ex Aegypto † Epiuotasterius et Yon fratres ad insulam Cyprum profecti sunt atque ibi sortiti uxores. ex quorum genere Celes procreatus est, qui habuit Erinomam filiam e.q.s.*

4 DIODOR. 4, 37, 2: (Herakles feldzug gegen die Dryoper). τῶν δ' ἐκπεσόντων Δρυόπων οἱ μὲν εἰς τὴν Εὔβοιαν καταντήσαντες ἔκτισαν πόλιν Κάρυστον, οἱ δ' εἰς Κύπρον τὴν νῆσον πλεύσαντες καὶ τοῖς ἐγχωρίοις ἀναμιχθέντες ἐνταῦθα κατῴκησαν.

5 LYKOPHR. *Al.* 447: οἱ πέντε δὲ Σφήκειαν εἰς Κεραστίδα / καὶ Σάτραχον βλώξαντες Ὑλάτου τε γῆν / Μορφὼ παροικήσουσι τὴν Ζηρυνθίαν. / ὁ μὲν (*i.e.* Teukros)

---

1 κρύπτον Pal R Eust κύπτον VP 1-2 ποτὲ κληθῆναι αὐτὴν λέγουσι διὰ τὸ κεκρύφθαι ὑπὸ θαλάσσης, ὅπερ καὶ περὶ Δήλου μυθεύεται κτλ. Eust 2 Κύπρος om. V 2-3 καὶ Κεραστὶς – καὶ Κεραστιὰς VP καὶ κεραστὶς – καὶ κεραστίας R Κεραστία, ὡς Λυκόφρων (s. 758 F 5) δηλοῖ Eust καὶ Κεραστία – [καὶ Κεραστίας (kustodenkorruptel)]? doch s. F 2 3 ἄχρας R^c(m. 1) πολλὰς ἄκρας Mei μηιονὶς R^c (m. 1?) VP 'nomen suspectum' Mei 5 *CCCCXXVII*: v.l. *-XVII*, *-XXVIII*, *XXVIIII*, *CCCXXVIII* 6 *clidas* (§ 130) A *dinas* (*-ar*) r 8 *cerasim* DFE^1a *arpeliam* FRa 9 *amathusiam* D (?) v *amat(h)usam* r *macariam* E^3 *-caram*, *-coram*, *-cram* r *cripton* AFa *scripton* R *colinian* AR^2 *colonian* (*-ia*) r 11 ἀθηνέων P -ναίων **ad** 14 Κεραστίαν? εἰς ἣν αἰὸς ὁ υἱὸς Αἰγυπτίου ᾤκησεν I Αἰγύπτιος: cf. Istros (F 1 a)? κέλτης: *Celes* **b** Κέττης Movers 15 Ἀῷον Bernhardy ἑῷον ο Ἠοίης Panyassis (Hesych. s.v.) 17 Θυμαρέτην v Ὀξύπορον (*Bibl.* 3, 182) Bernhardy 27 Κεραστίδα Steph. Byz. (s.v. Σφήκεια) κεραστίαν ο Σάτραχον (cf. Catull. 95, 5): τὸ δὲ Σάτραχόν φασι πόλιν καὶ ποταμὸν Κύπρου· τινὲς δὲ διὰ τοῦ ē γράφουσι Σέτραχον (cf. 758 F 7; Nonnos *Dion.* 13, 459) Schol σάτροχον (Pal σέτροχον RV σέτραχον P) Steph. Byz. s.v. Ὕλη 28 ὑλατωτέγην Steph. Byz.; cf. Ὕλη πόλις Κύπρις, ἐν ἧι Ἀπόλλων τιμᾶται Ὑλάτης Schol 28 ζηρινθίαν A τροιζηνίαν P (cf. Schol)

πατρὸς μομφαῖσιν ἠλαστρημένος / Κυχρεῖος ἄντρων Βωκάρου τε ναμάτων / ...... (479) ὁ δεύτερος (*i.e.* Agapenor aus Arkadien) δὲ νῆσον ἀγρότης μολὼν / ...... (484) χαλκωρυχήσει καὶ τὸν ἐκ βόθρου σπάσει / βῶλον, δικέλλῃ πᾶν μεταλλεύων γνύθος / ...... (494) τρίτος (*i.e.* Akamas) δὲ τοῦ μάρψαντος ἐκ κοίλης πέτρας / κέλωρ γίγαντος ὅπλα .... (586) Κηφεὺς δὲ καὶ Πράξανδρος, οὐ ναυκληρίας / λαῶν ἄνακτες, ἀλλ' ἀνώνυμοι σποραί, / πέμπτοι τέταρτοι γαῖαν ἵξονται θεᾶς / Γολγῶν ἀνάσσης, ὧν ὁ μὲν Λάκων' ὄχλον / ἄγων Θεράπνης, θάτερος δ' ἀπ' 'Ωλένου / Δύμης τε Βουραίοισιν ἡγεμὼν στρατοῦ.

6 SCHOL. EURIP. *Andr.* 898: Λυσίμαχος (382 F 12) καὶ ἄλλοι τινὲς ἱστοροῦσιν γενέσθαι ἐξ 'Ελένης καὶ Νικόστρατον. ὁ δὲ τὰς Κυπριακὰς ἱστορίας συντάξας (F 9 Allen) Πλεισθένην φησί, μεθ' οὗ εἰς Κύπρον ἀφῖχθαι καὶ τὸν ἐξ αὐτῆς τεχθέντα 'Αλεξάνδρωι ῎Αγανον.

7 ET. GEN. s.v. 'Αῶος (ET. M. p. 117, 33): ποταμὸς τῆς Κύπρου. 'Αῶος γὰρ ὁ ῎Αδωνις ὠνομάζετο, καὶ ἀπ' αὐτοῦ οἱ Κύπριοι βασιλεύσαντες (?). Ζωΐλος δὲ ὁ Κεδρασεὺς (VI) καὶ αὐτὸν ἀπὸ τῆς ἑαυτοῦ μητρὸς κληθῆναι· τὴν γὰρ Θείαντος θυγατέρα οὐ Σμύρναν ἀλλ' 'Αῶαν καλεῖσθαι. Φιλέας (V) δὲ πρῶτον βασιλεῦσαι 'Αῶον, 'Ηοῦς ὄντα καὶ Κεφάλου, ἀφ' οὗ καὶ ὄρος τι ὠνομάσθη 'Αώιον, ἐξ οὗ β̄ ποταμῶν φερομένων, Σεράχου καὶ 'Απλιέως, τὸν ἕνα τούτων ὁ Παρθένιος (F 24 Mart.) 'Αῶον κέκληκεν. [[ἢ διὰ τὸ πρὸς τὴν ἠῶ τετραμμένην ἔχειν τὴν ῥύσιν, καθά φησιν ὁ Παρθένιος· «Κωρυκίων σεύμενος ἐξ ὀρέων», ἀνατολικῶν ὄντων]].

8 SCHOL. LYKOPHR. *Al.* 831: Γαύας δὲ ὁ ῎Αδωνις παρὰ Κυπρίοις καλεῖται.

9 HESYCH. s.v. ἀοῖα· δένδρα κοπτόμενα καὶ ἀνατιθέμενα τῆι 'Αφροδίτηι, ὡς ἱστορεῖ Νάσσανδρος (?), πρὸς ταῖς εἰσόδοις.

10 a) HERODT. 1, 105, 2: (Skythen zerstören den tempel der Aphrodite Urania in Askalon) (3) ἔστι δὲ τοῦτο τὸ ἱρόν, ὡς ἐγὼ πυνθανόμενος εὑρίσκω, πάντων ἀρχαιότατον ἱρῶν, ὅσα ταύτης τῆς θεοῦ· καὶ γὰρ τὸ ἐν Κύπρωι ἱρὸν ἐνθεῦτεν ἐγένετο, ὡς αὐτοὶ Κύπριοι λέγουσι, καὶ τὸ ἐν Κυθήροισι Φοίνικές εἰσι οἱ ἱδρυσάμενοι ἐκ ταύτης τῆς Συρίης ἐόντες. **b)** TACIT. *A.* 3, 62, 4 (a. 22p): *exim Cyprii tribus <de> delubris* (*scil. exposuere*), *quorum vetustissimum Paphiae Veneri auctor Aerias, post filius eius Amathus Veneri Amathusiae et Jovi Salaminio Teucer, Telamonis patris ira profugus, posuissent.* **c)** TACIT. *Hist.* 2, 2, 2 (a. 69p): *atque illum* (scil. Titus) *cupido incessit adeundi visendique templum Paphiae Veneris,*

---

1 *v.l.* κεχρῆος, κυ(γ)χρῆος, κυγχρεῖος 4-5: Schol. 495 p. 179, 31 Sch τρίτον δὲ λέγει ἀπελθεῖν τὸν 'Ακάμαντα ... ἐν Κύπρωι, ἀφ' οὗ καὶ ὄρος καλεῖται 'Ακάμας. φασὶ δέ τινες ... καὶ Δημοφῶντα τὸν ἀδελφὸν αὐτοῦ ἀπελθεῖν ἐν Κύπρωι 5-8: Schol. 586 p. 201, 16 ἦν δὲ ὁ μὲν Κηφεὺς ἐξ 'Αχαίας, ὁ δὲ Πράξανδρος ἐκ Λακεδαίμονος· καὶ οὗτοι παρεγένοντο εἰς Κύπρον, ὥς φησι Φιλοστέφανος (IV) 7-8 βουραί(ε)οισιν E Schol. 590 βουραίεισιν C 10 νικοστράτεον N -ταιον O συγγράψας A 11 πλεισθένει NO 12 ἄγανον MA ἀγανόν NO 'Αγαυόν Cobet 'Αγλαόν Schwartz 13 ἀῶ γὰρ Et. M. (richtig?) 14 οἱ Κύπριοι (Κύπρου?) βασιλεύσαντες Mei οἱ K. βασιλεύσαντος Et. gen. οἱ K. βασιλεῖς Et. M. οἱ K. ἀπὸ βασιλεύσαντος Reitzenstein, Martini 14-17 Ζωΐλος – Κεφάλου om. B 14-15 κεδασεὺς ? Mei 15 θυγατέρα: μητέρα Et. M. 18 Σετράχου? Haupt, Martini; cf. 758 F 5 ἀπλιέως A πλιέως B (?) Et. M. 18-20 [[ ]] 'de Ciliciae flumine intelligenda' Mei; cf. Hesych. s.v. 'Αῶοι; Et. M. p. 117, 45 f. 23 Νάσσανδρος: Νίκανδρος? M. Schmidt 'Ηγήσανδρος Latte Κάσσανδρος (VI)? 28 <*de*> Bezzenberger

inclitum per indigenas advenasque. haud fuerit longum initia religionis, templi ritum, formam deae (neque enim alibi sic habetur) paucis disserere. (3) *conditorem templi regem Aeriam* v e t u s m e m o r i a, *quidam ipsius deae nomen id perhibent. fama* r e c e n t i o r *tradit a Cinyra sacratum templum, deamque ipsam conceptam mari huc adpulsam; sed scientiam artemque haruspicum accitam et Cilicem Tamiram intulisse, atque ita pactum, ut familiae utriusque posteri caerimoniis praesiderent. mox ne honore nullo regium genus peregrinam stirpem antecelleret, ipsa quam intulerant scientia hospites cessere: tantum Cinyrades sacerdos consulitur.* (2) *hostiae ut quisque vovit, sed mares deliguntur; certissima fides haedorum fibris. sanguinem arae obfundere vetitum: precibus et igne puro altaria adolentur; nec ullis imbribus, quamquam in aperto, madescunt. simulacrum deae non effigie humana, continuus orbis latiore initio tenuem in ambitum metae modo exsurgens; et ratio in obscuro.* **d**) HESYCH. s.v. Ταμιράδαι· ἱερεῖς τινες ἐν Κύπρωι.

11 **a**) PSI XI 1221, 13 ff.: ὁ δὲ Κύπριος λεγό[μενος] / αἶνος ὄνομα τ̣ο̣ιο[ῦτον] / ἤνεγκεν, ὡς ἔφη [*διὰ τὸ] / παρὰ Κυπρίοις ἐ̣π̣[ιχώρι/ο]ς λέγεσθαι. κέχρη[ται δὲ τού/τωι] Τιμοκρέων (*Anth. Lyr.*[2] II p. 150 D) ἐν [ἄισματι κατὰ / Θε]μιστοκλ[έ]ους ἐκ[πεσόν/τος] ἐκ τῆς [῾Ελ]λάδος ἐ[φη/δό]μενος αὐτοῦ τῆι φ[υγῆι· οὕτω / δὲ λέ]γει· «λόγον δέ σοι λ̣ε̣ κτλ.» **b**) DIOGENIAN. Π. παροιμ. I p. 180 L – Schn: ὁ δὲ Κύπριος (*scil.* αἶνος) προσηγόρευται διὰ τὸ παρὰ Κυπρίοις λέγεσθαι ὡς ἐπιχώριος. κέχρηται δὲ καὶ τούτωι Τιμοκρέων, ἐμφαίνων ὡς οἱ ἄδικα πράσσοντες καὶ ἐς ὕστερον τῶν προσηκόντων τυγχάνουσι· καὶ γὰρ τῶι ᾿Αδώνιδι ἐν Κύπρωι τιμηθέντι ὑπὸ τῆς ᾿Αφροδίτης μετὰ τὴν τελευτὴν οἱ Κύπριοι ζώσας ἐνίεσαν περιστεράς, αἱ δ' ἀποπτᾶσαι καὶ διαφυγοῦσαι αὖθις ἀδοκήτως εἰς ἄλλην ἐμπεσοῦσαι πυρὰν διεφθάρησαν. **c**) SCHOL. APHTHON. (*Rhet. Gr.* II) p. 12, 3 Walz: οἱ δὲ Κίλικες καὶ Κύπριοι ἐμπορευόμενοι καὶ τόπους ἀγνώστους διερχόμενοι ἐνεπλάσαντο τοὺς ἐξ ἀλόγων ζώων μύθους, ὡς ἑωρακότες ἐν τόποις τισὶ ξένην μορφὴν ἔχοντα ζῶα. **d**) THEON *Progymn.* (*Rhet. Gr.* II) p. 73, 1 Sp: καλοῦνται δὲ Αἰσώπειοι (*scil.* μῦθοι) καὶ Λιβυστικοὶ ἢ Συβαριτικοί τε καὶ Φρύγιοι καὶ Κιλίκιοι καὶ Καρικοὶ <καὶ> Αἰγύπτιοι καὶ Κύπριοι. τούτων δὲ πάντων μία ἐστὶ πρὸς ἀλλήλους διαφορὰ τὸ προσκείμενον αὐτῶν ἑκάστωι ἴδιον γένος, οἷον Αἴσωπος εἶπεν ἢ Λίβυς ἀνὴρ ἢ Συβαρίτης ἢ Κυπρία γυνή.

12 [DION CHRYSOST.] *Or.* 64, 2: ἐρῶ δὲ ὑμῖν τινα καὶ Κύπριον λόγον, εἰ βούλεσθε. ἤνεγκεν ὁ παλαιὸς βίος καὶ ἐνδόξους γυναῖκας· ῾Ροδογούνην πολεμικήν, Σεμίραμιν βασιλικήν, Σαπφὼ μουσικήν, Τιμάνδραν καλήν. οὕτω καὶ ἐν Κύπρωι Δημώνασσα ἐγένετο, πολιτική τε ὁμοῦ γυνὴ καὶ νομοθετική. (3) τρεῖς ἔθηκεν αὕτη τοῖς Κυπρίοις νόμους· τὴν μοιχευθεῖσαν κειραμένην πορνεύεσθαι· θυγάτηρ αὐτῆς ἐμοιχεύθη, καὶ τὴν κόμην ἀπεκείρατο κατὰ τὸν νόμον, καὶ ἐπορνεύετο. τὸν αὑτὸν ἀποκτείναντα ἄταφον ῥίπτεσθαι· δεύτερος οὗτος Δημωνάσσης νόμος· τρίτος ὥστε μὴ ἀποκτεῖναι βοῦν ἀρότριον. δυοῖν δὲ αὐτῆι παίδων ἀρρένων ὄντων, ὁ μὲν ἐπὶ τῶι βοῦν ἀποκτεῖναι ἀπέθανε, τὸν δὲ αὑτὸν ἀποκτείναντα οὐκ ἔθαψεν. (4) ἡ δὲ τέως μὲν ἐκαρτέρει καὶ ἄπαις οὖσα καὶ νομοθετοῦσα, ἰδοῦσα δὲ βοῦν ἐπὶ μόσχωι ἀπολλυμένωι μυκωμένην καὶ τὴν ἑαυτῆς ἐν ἄλλωι

---

1 *ritum* Dureau de Lamalle *situm* M   3 *Aeriam* Rhenanus *uerian* M *Aerian* J. Gronov   5 *et Cilicem* Rhenanus *et cilicen* M *e Cilicia* Put   7 *intulerant* Put *-rat* M   12 *meta – set* Wurm   28 <καὶ> Jac   29 αὐτῶν ἑκάστωι Spengel αὐτῶι ἕκαστον ο αὐτῶν ἑκάστου (Doxopat. II p. 165 W) Finckh   33 (37) δημόνασσα UB(P)   35 κειρομένην UM(P)   37 ἀρότην PHU[c]   39 ἔθαψαν PH   39-40 καὶ <αὐτὴ ταῦτα> νομοθετήσασα? v. Arnim

συμφορὰν γνωρίσασα, τήξασα χαλκὸν εἰς αὐτὸν ἥλατο. καὶ ἦν ἐκεῖ πύργος ἀρχαῖος ἀνδριάντα χάλκεον ἔχων, χαλκῶι ἐντετηκότα καὶ πρὸς ἀσφάλειαν τοῦ ἱδρύματος καὶ πρὸς μίμημα τοῦ διηγήματος· ἐπιγραφὴ δὲ ἐπί τινος στήλης πλησίον· «σοφὴ μὲν ἤμην, ἀλλὰ πάντ' οὐκ εὐτυχής».

13 **a**) VITA HOMER. ROM. p. 31, 1 Wil: κατὰ Καλλικλέα δὲ τῆς ἐν Κύπρωι Σαλαμῖνος (*scil.* Ὅμηρος ἦν; 754 F 2) **b**) SCHOL. T EUST. HOM. *Il.* Φ 12: ὡς δ' ὅθ' ὑπὸ ῥιπῆς πυρὸς ἀκρίδες ἠερέθονται / φευγέμεναι ποταμόνδε] ἐντεῦθέν τινες Κύπριόν φασι τὸν ποιητήν· κατά τινας γὰρ χρόνους ὀχλεῖται ἡ Κύπρος ὑπὸ ἀκρίδων, ὡς ‹ἡ› Κυρήνη καὶ ἡ Βάρκη. **c**) CERTAM. HOM. ET HES. 3 p. 35, 12 ff. Wil: περὶ δὲ τῶν γονέων αὐτοῦ πάλιν πολλὴ διαφωνία ..... Καλλικλῆς δὲ Μ‹ν›ασαγόραν (?) ..... μητέρα .... οἱ δὲ Θεμίστην ...... ὀνομασθῆναι αὐτόν φασί τινες Ὅμηρον διὰ τὸ τὸν πατέρα αὐτοῦ ὅμηρον δοθῆναι ὑπὸ Κυπρίων Πέρσαις .... **d**) PAUSAN. 10, 24, 3: Κύπριοι δέ – οἰκειοῦνται γὰρ δὴ καὶ οὗτοι Ὅμηρον – Θεμιστώ τε αὐτῶι μητέρα εἶναι τῶν τινα ἐπιχωρίων γυναικῶν λέγουσι, καὶ ὑπὸ Εὔκλου προθεσπισθῆναι τὰ ἐς τὴν γένεσιν τὴν Ὁμήρου φασὶν ἐν τοῖσδε· «καὶ τότ' ἐν εἰναλίηι Κύπρωι μέγας ἔσσετ' ἀοιδός, / ὅν τε Θεμιστὼ τέξει ἐπ' ἀγροῦ δῖα γυναικῶν / νόσφι πολυκτεάνοιο πολύκλειτον Σαλαμῖνος. / Κύπρον δὲ προλιπὼν διερός θ' ὑπὸ κύμασιν ἀρθεὶς / Ἑλλάδος εὐρυχόρου μοῦνος κακὰ πρῶτος ἀείσας / ἔσσεται ἀθάνατος καὶ ἀγήραος ἤματα πάντα».

XIX. LIBYEN

—. CHARON VON LAMPSAKOS

Um 400a

ΛΙΒΥΚΑ

262 T 1.

759. ARISTIPPOS VON KYRENE

s. IV 1a

T

1 (II 79) DIOG. LAERT. 2, 83: γεγόνασι δ' Ἀρίστιπποι τέσσαρες· περὶ οὗ τε ὁ λόγος καὶ δεύτερος ὁ τὰ περὶ Ἀρκαδίας γεγραφώς (317 T 1)· τρίτος ὁ μητροδίδακτος, θυγατριδοῦς τοῦ πρώτου· τέταρτος ὁ ἐκ τῆς νεωτέρας Ἀκαδημίας. τοῦ δὲ Κυρηναικοῦ φιλοσόφου φέρεται βιβλία τρία μὲν ἱστορίας τῶν κατὰ Λιβύην, ἀπεσταλμένα Διονυσίωι, ἓν δὲ ἐν ὧι διάλογοι πέντε καὶ εἴκοσιν .....

ΙΣΤΟΡΙΑ ΤΩΝ ΚΑΤΑ ΛΙΒΥΗΝ ΠΡΟΣ ΔΙΟΝΥΣΟΝ

—

2 χάλκεον PHM -ειον UB χαλκοῦν Ddf 3 πρὸς μνήμην UB 8 ποιητήν Eust ποταμόν T ‹ἡ› add. Eust 10 Μνασαγόραν Rohde μασαγόῤ (?) F μασσαγόραν Tzetz. *Alleg. Hom. Il.* 60 Δμασαγόραν (Eust. *Od.* μ 65 p. 1713, 17 ff.) Barnes (aber dieser vater Homers ist Aegypter, und der gewährsmann Alexandros von Paphos ist erschwindelt) 11 Θεμίστην: Θεμιστώ d 17 διερός: δ' ἱρος P θ': δ' L κακὰ: κλέα Herw

760. THEOKRITOS VON CHIOS

s. IV 2ᵃ

T

1 (II 86) Suda s.v. Θεόκριτος Χῖος· ῥήτωρ· μαθητὴς Μητροδώρου τοῦ Ἰσοκρατικοῦ. ἔγραψε Χρείας. ἀντεπολιτεύσατο δὲ Θεοπόμπωι τῶι ἱστορικῶι (115 T 9). φέρεται αὐτοῦ Ἱστορία Λιβύης καὶ Ἐπιστολαὶ θαυμάσιαι. ἔστι καὶ ἕτερος Θεόκριτος .... Συρακούσιος ....

1. ΙΣΤΟΡΙΑ ΛΙΒΥΗΣ 2. ΕΠΙΣΤΟΛΑΙ ΘΑΥΜΑΣΙΑΙ

—

761. THEOCHRESTOS <VON KYRENE>

Hellenist. Zeit

T

Plin. *N.H.* 1, 37: *origo gemmarum ..... ex auctoribus ... externis ... Pythea, Timaeo Siculo, Nicia, Theochresto, Asaruba, Mnasea, Theomene, Ctesia ....*

F

ΛΙΒΥΚΑ Α̅ – ?

1 (II 87) a) Schol. Apoll. Rhod. 4, 1750/7: Εὔφημος ᾤκει τὴν Λακωνικὴν παρὰ τὸν αἰγιαλόν· εἷς δέ τις αὐτοῦ τῶν ἀπογόνων Σάμος ᾤκισεν Θήραν, οὗ ἀπόγονος γέγονεν Ἀριστοτέλης, ὃς τῆς περὶ Κυρήνην ἀποικίας ἡγήσατο. ἱστορεῖται ταῦτα παρὰ Πινδάρωι ἐν Πυθιονίκαις (4; 5), ἐπιμελέστερον δὲ παρὰ Θεοχρήστωι ἐν ᾱ Λιβυκῶν καὶ παρὰ Ἀκεσάνδρωι ἐν ᾱ Περὶ Κυρήνης (469 F 5). b) – – 4, 1552: καὶ Πίνδαρος ἐν Πυθιονίκαις ἐν τῆι εἰς Ἀρκεσίλαον ὠιδῆι (4, 20 ff.) τὴν τοῦ Τρίτωνος ἐπιφάνειαν λέγει· ἔστι δὲ παρὰ τοῖς γεγραφόσι τὰ περὶ Κυρήνης καὶ Λιβύης.

OHNE BUCHTITEL. UNSICHERES

2 (II 87) Plin. *N.H.* 37, 37 (1, 37): *Theochrestus oceano id* (scil. *electrum*) *exaestuante ad Pyrenaei promunturia depelli, quod et Xenocrates*

5-6 φέρεται – θαυμάσιαι: 'nomen ‹in T 1 oder bei Fulgent. *Myth.* 1, 21 Helm (VI s.v. Theoknidus)?› procul dubio corruptum est ex Θεόχρηστος' Mue, Laqueur θαυμάσιοι VGIM θ. καὶ λόγοι πανηγυρικοί Eudok 17 Σάμος (Schol. Pindar. *Pyth.* 4, 88 b; 455 e) Wendel σήσαμος ο ᾤκισεν Jac ᾤκησεν L ἀπῴκησεν εἰς P 21 Περὶ om. L 23 Κυρήνης (a) O. Müller κύπρου ο 25 *theochrestus* B (und 1, 37 ohne *v.l.*) *-crestus* F *-phrastus* L 26 *promunturia* B *-ium* FL *depelli* B *eici* FLv *adpelli* Mayhoff *et*: *est* B

(IV?) *credidit, qui de his nuperrime scripsit vivitque adhuc. Asarubas* (764 F 3) . . .

3 (–) SCHOL. PINDAR. *Pyth.* 4, 10 f.: χρῆσεν οἰκιστῆρα Βάττον καρποφόρου Λιβύας, ἱερὰν νᾶσον ὡς ἤδη λιπών] 'ἱερὰν νᾶσον' τὴν Θήραν οὐχ ἁπλῶς ὀνομάζει, ἀλλ' ὅτι Κάδμος κατὰ ζήτησιν Εὐρώπης τῆς ἀδελφῆς στελλόμενος, προσορμισθεὶς τῆι νήσωι ἀνέκτισε Ποσειδῶνος καὶ Ἀθηνᾶς ἱερὸν αὐτόθι, ὡς ἱστορεῖ Θεόφραστος.

—. AKESANDROS <VON KYRENE>

Hellenist. Zeit (o. früher?)

ΠΕΡΙ ΛΙΒΥΗΣ

469 F 7.

—. LYKOS VON RHEGION

Zeit des Agathokles?

ΙΣΤΟΡΙΑ ΛΙΒΥΗΣ

No. 570.

762. AGROITAS

Hellenist. Zeit (o. früher?)

ΛΙΒΥΚΑ Ᾱ–Γ̄ (?)

1 (IV 294, 2) SCHOL. APOLL. RHOD. 2, 498/527 a: Ἀγροίτας δὲ ἐν ᾱ Λιβυκῶν ὑπὸ Ἀπόλλωνος εἰς Κρήτην αὐτὴν (*scil.* Κυρήνην) κομισθῆναι, ἐκεῖθεν δὲ εἰς Λιβύην. Cf. 316 F 3.

***2** (1) HERODIAN. Π. μον. λέξ. p. 11, 20: . . . . Ψύλλος· Ἀγροίτας ᾱ Λιβυκῶν· <<ἀνδρωθέντα δὲ τὸν Ἀμφίθεμιν πλησιάσαι ταῖς νύμφαις, καὶ γεννῆσαι παῖδας Ἀδυρμαχίδαν, Ἀραραύκηλα, Ἀσβύταν, Βάκαλα, Μάκαν, Ψύλλον>>, ἀφ' οὗ Ψύλλοι τὸ ἔθνος. Cf. 764 F 17.

3 (3) **a**) SCHOL. APOLL. RHOD. 4, 1396/9 a: ἷξον (die Argonauten) δ' ἱερὸν πέδον, ὧι ἔνι Λάδων / εἰσέτι που χθιζὸν παγχρύσεα ῥύετο μῆλα / χώρωι ἐν Ἄτλαντος, χθόνιος ὄφις· ἀμφὶ δὲ νύμφαι / Ἑσπερίδες ποίπνυον, ἐφίμερον ἀείδουσαι. / δὴ τότε δ' ἤδη τῆμος ὑφ' Ἡρακλῆι δαιχθεὶς / μήλειον βέβλητο ποτὶ στύπος κτλ.] Πείσανδρος (16 F 8) τὸν δράκοντα ὑπείληφεν ἀπὸ τῆς Γῆς γεγε-

---

1 *credidit, qui de his* BF (s. Buecheler *Rh. M.* 40, 1885, p. 304 ff.) *credidit. is vero qui* L *vivitque* B *vivit* FL *Asarubas*: s. 764 F 3 app. 6 'an Θεόχρηστος?' Drachmann 18-19 Ψύλλος – Λιβυκῶν Ddf, Lobeck ψάλλος ἀγροιώτας ἀπὸ Λιβυκῶν H 20-21 παῖδας – Ψύλλον Ddf, Lobeck, Lehrs παῖδα μυρμαδάναρ· αὐδακήνας· βυγάνμα· καλομάκαν ψῦλλον H παῖδας Ἀδυρμαχίδαν (o. Μαρμαρίδαν), Ἀραραυκήλαν, Βύζαν (o. eher Ἀσβύταν o. -ύσταν), Μαχλύα, Μάκαν, Ψύλλον Mue 21 ἀφ' – ἔθνος: 'Herodiani potius videntur quam Agroetae. fortasse post Psyllum, in quo pro rationibus suis substitit Herodianus . . ., apud Agroetam etiam alii quidam Amphithemidis filii populorum conditores recensebantur, ut Nasamo' Lehrs; cf. 764 F 9

νῆσθαι, Ἡσίοδος <δὲ ἐκ Κητοῦς καὶ Φόρκυνος (*Th.* 333/6)· Φερεκύδης (3 F 16 b)> δὲ ἐκ Τυφῶνός φησιν. Ἀγροίτας δὲ ἐν γ̄ Λιβυκῶν φησι μὴ μῆλα ἀλλὰ πρόβατα κάλλιστα, ἃ χρυσᾶ ὠνομάσθη· ἔχειν δὲ ταῦτα ποιμένα ἄγριον, ὃν διὰ τὸ ἀνήμερον Δράκοντα ὠνομάσθαι.

b) Diodor. 4, 26, 2: τελευταῖον δ' ἆθλον λαβὼν (Herakles) ἐνεγκεῖν τὰ τῶν Ἑσπερίδων χρυσᾶ μῆλα, πάλιν ἔπλευσεν εἰς τὴν Λιβύην. περὶ δὲ τῶν μήλων τούτων διαπεφωνήκασιν οἱ μυθογράφοι· καί τινες μέν φασιν ἔν τισι κήποις τῶν Ἑσπερίδων ὑπάρξαι κατὰ τὴν Λιβύην μῆλα χρυσᾶ, τηρούμενα συνεχῶς ὑπό τινος δράκοντος φοβερωτάτου, τινὲς δὲ λέγουσι ποίμνας προβάτων κάλλει διαφερούσας κεκτῆσθαι τὰς Ἑσπερίδας, χρυσᾶ δὲ μῆλα ἀπὸ τοῦ κάλλους ὠνομάσθαι ποιητικῶς, ὥσπερ καὶ τὴν Ἀφροδίτην χρυσῆν καλεῖσθαι διὰ τὴν εὐπρέπειαν. (3) ἔνιοι δὲ λέγουσιν [ὅτι] τὰ πρόβατα τὴν χρόαν ἰδιάζουσαν ἔχοντα καὶ παρόμοιον χρυσῶι τετευχέναι ταύτης τῆς προσηγορίας, Δράκοντα δὲ τῶν ποιμνῶν ἐπιμελητὴν καθεσταμένον, καὶ ῥώμηι σώματος καὶ ἀλκῆι διαφέροντα, τηρεῖν τὰ πρόβατα, καὶ τοὺς ληιστεύειν αὐτὰ τολμῶντας ἀποκτείνειν .... (4) ὁ δ' Ἡρακλῆς τὸν φύλακα τῶν μήλων ἀνελὼν .....

***4** (6) Schol. Apoll. Rhod. 2, 1248/50 a: ὁ Προμηθεὺς ἐδέδετο ἐν τῶι Καυκάσωι, καὶ ὁ ἀετὸς τὸ ἧπαρ αὐτοῦ κατήσθιεν. Ἀγροίτας δὲ ἐν τῆι [ι]γ̄ τῶν Λιβυκῶν δαπανᾶσθαί φησι τὸ ἧπαρ Προμηθέως δόξαι ὑπὸ τοῦ ἀετοῦ διὰ τὸ τὴν κρατίστην τοῦ Προμηθέως χώραν τὸν ποταμὸν τὸν καλούμενον Ἀετὸν φθείρειν, ἧπαρ δὲ παρὰ πολλοῖς τὴν εὔκαρπον λέγεσθαι γῆν· Ἡρακλέους δὲ ἐξοχετεύσαντος διώρυξι τὸν ποταμόν, τόν τε ἀετὸν δόξαι ὑπ' αὐτοῦ κεχωρίσθαι καὶ τὸν Προμηθέα λελύσθαι τῶν δεσμῶν.

5 (5) Steph. Byz. s.v. Ἄμπελος· .... ἔστι καὶ ἑτέρα ἄκρα τῆς Σάμου· καὶ ἄλλη ἐν Κυρήνηι. Ἀγροίτας δὲ δύο πόλεις εἶναί φησι, τὴν μὲν ἄνω τὴν δὲ κάτω.

—. MENEKLES VON BARKA

Um 150

ΛΙΒΥΚΑΙ ΙΣΤΟΡΙΑΙ

270 F 5-6.

—. PHILISTOS (VON NAUKRATIS)

(ΠΕΡΙ ΣΥΡΙΑΣ ΚΑΙ ΛΙΒΥΗΣ ?)

No. 615.

—. ALEXANDROS POLYHISTOR

c. 80/35

ΛΙΒΥΚΑ Ā – Γ̄

273 F 32-47.

1-2 < > Wendel 9 διαφερόντων? 11 [ὅτι] τὰ Ddf ὅτι τὰ D ὅτι C 13 ποιμνίων C 17-22: Et. gen. s.v. ἀλυκτοπέδῃσι (ohne autornamen); cf. Diodor. 1, 19, 3 (s. Komm.)? 17 [ι]γ̄ Mue 18 λιβυκῶν L σκυθικῶν (e coni.) P δαπανᾶσθαι: δειπνεῖσθαι Wendel 20 ἧπαρ L Et οὖθαρ καὶ ἧπαρ P πολλοῖς L Et ποιηταῖς (οἱ ποιηταὶ καλεῖν εἰώθασιν P) Wellauer 21 διώρυξι (Lasc) Keil διορύξαι L διωρυχαῖς P κεχειρῶσθαι Keil 23-25: Κυρηναίας δὲ αἰγιαλός Hesych. s.v. Ἄμπελος; τῶν δὲ χωρίων ... κατὰ τὸν κῆπον (*scil.* τῶν Ἑσπερίδων) Ἄμπελος Skylax 108

—. JUBA VON MAURETANIEN

Nach 2^{p}?

ΛΙΒΥΚΑ Ᾱ - Γ̄ (?)

275 F 5-6; (7-8).

—. POSEIDONIOS VON OLBIA

(s. II^{p}?)

ΛΙΒΥΚΑ Ᾱ - ΙΑ̅ (?)

279 T 1.

763. HESIANAX

ΛΙΒΥΚΑ

1 (III 70, 11) [Plutarch.] *Parall. min.* 23 B p. 311 CD: Καλπούρνιος Κράσσος, ἀνὴρ τῶν ἐπισήμων Ῥηγούλωι συστρατευόμενος, ἐπέμφθη εἰς Μεσόλους πορθήσων φρούριόν τι δυσάλωτον τοὔνομα Γαραίτιον. αἰχμάλωτος δὲ ληφθεὶς ἔμελλε θύεσθαι τῶι Κρόνωι. Βισαλτία δὲ τοῦ βασιλέως θυγάτηρ ἐρασθεῖσα προύδωκε τὸν πατέρα, καὶ νικηφόρον ἐκεῖνον ἐποίησεν. ἀναστρέψαντος δ' αὐτοῦ, ἡ κόρη κατέσφαξεν ἑαυτήν, ὡς Ἡσιάναξ ἐν τρίτωι Λιβυκῶν.

764. ANHANG

1 Aelian. *N.A.* 17, 6: Θεοκλῆς δὲ ἐν τῆι τετάρτηι περὶ τὴν Σύρτιν λέγει γίνεσθαι κήτη τριήρων μείζονα.

2 Plin. *N.H.* 37, 38 (1, 37): *Theomenes Syrtim iuxta Magnam hortum Hesperidon esse et stagnum Electrum; ibi arbores populos, quarum e cacuminibus in stagnum cadat* (der bernstein), *colligi autem ab virginibus Hesperidum.*

3 Plin. *N.H.* 37, 37 (1, 37): (Theochrestus 761 F 2) *Asarubas tradit iuxta Atlanticum mare esse lacum Cephisida, quem Mauri vocent Electrum; hunc sole excalfactum e limo reddere electrum fluitans.*

[**4** (IV 295, 4) Schol. Apoll. Rhod. 4, 1490/4 d: ἄδηλον, πότερον ἀπὸ τοῦ Γαράμαντος τούτου (F 17) οἱ ἐν τῆι Λιβύηι Γαράμαντες ὠνομάσθησαν ἢ οὗτος ἀπὸ τοῦ ἔθνους. ἔστι δὲ καὶ ναὸς παρ' αὐτοῖς, καὶ †Γαράμας μνημονεύει τοῦ ἔθνους.]

[**5** Plin. *N.H.* 8, 31: *magnitudo dentium videtur quidem in templis praecipua. sed tamen in extremis Africae, qua confinis Aethiopiae est, postium vicem in domiciliis praebere saepesque in his et pecorum stabulis pro palis elephantorum dentibus fieri, Polybius* (34, 16, 1 B-W) *tradidit auctore Gulusa regulo.*]

---

9 χαρπώνιος ΦΣg 10 εἰς (om. ΦΠ) Μεσόλους: εἰς Μασσύλους Guarino, v 13 ὑποστρέψαντος εἰς ῥώμην Σg 13-14 ἡσιάναξ ΦΠ om. Σg Ἡγησιάναξ Amyot Ἑρμησιάναξ Anon 18 *Theomenes* o *syrtim iuxta* B *i.s.* r 19 *esse* BF om. L^{1} *ex quo* L^{2} 19-21 *et – Hesperidum* om. F *et – cacuminibus* om. L 19 *stagnum* L^{2}v *stagnat* B^{1} *stagna* B^{2} 22 *asarubas* (und 1, 37 ohne *v.l.*) BL *narubus* F *Asdrubas* Harduin, Buecheler *tradit* B *tradidit* r 23 *cephisiada* d (Harduin) *chepesidam* F 24 *reddere* B *dare* r 27 Γαράμας: Ἀγροίτας Bernhardy, Mue μνημονεύει τοῦ ἔθνους L ἱστορεῖ P μνημονεύεται θεός Wil, Wendel 30 *palis*: *paliolis* RTd

6 Lydus *De mens.* 4, 107 p. 147, 7 Wü: (doxographie über die gründe der Nilschwelle p. 144, 11-147, 6) Χρῆστος δὲ ὁ Ῥωμαῖός φησιν· «ἐπὶ τῆς δύσεως ὄρη μέγιστα καὶ ὑψηλότατά εἰσιν, ἃ τὴν Λιβύην ἀπὸ τῆς Αἰθιοπίας χωρίζουσι· τούτων ταῖς ἐσχάταις ῥίζαις τὸ Ἀτλαντικὸν ἐπιπῖπτον πέλαγος, ἔνθεν τὴν ἀρχὴν Αἰθιοπία ἀπὸ τῆς δύσεως λαμβάνει. ὑπὸ τοίνυν τούτοις τοῖς ὄρεσι λίμναι εἰσὶν εἰς ἄπειρον πλατύτητος ἡπλωμέναι· παροικεῖ δὲ αὐτὰς γένος ἀνθρώπων τῶν λεγομένων Ἰχθυοφάγων, ὅπερ ἀπὸ πρώτης ὥρας ἄχρι δυσμῶν ἡλίου ἐν τῶι ὕδατι διατρίβει, καὶ τοῖς ἰχθύσι τρέφεται. τούτοις ὁμοροῦσιν οἱ λεγόμενοι Ἀνθρωποφάγοι, γένος ἀνθρώπων ἀνδρειότατον, ῥισὶ στρογγύλαις χρώμενον, προσώποις ἐπικαμπέσιν, ὄνυξιν ἐγγὺς λέουσιν ὁμοίοις. ἐκ τῶν λιμνῶν οὖν ἐκείνων τὰς ἀφορμὰς ὁ ποταμὸς λαμβάνει· προιόντα γὰρ ἐξ αὐτῶν τὰ ῥεύματα συνηρεφῆ ἀποτελοῦσιν. ἐκ τούτων δὴ τῶν λιμνῶν, ἃς καλοῦσιν ἐκεῖνοι Χαάς, ἐκρεῖ λεπτότατόν τι ῥεῦμα καὶ μόλις ὁρώμενον, ὅπερ εἰς στενοὺς τόπους καὶ κατὰ μέρος ἐκ διαφόρων μερῶν εἰς κοίτην ἰδίαν καταπῖπτον ὄψιν ποταμοῦ λαμβάνει. οὗτος δ' ἂν εἴη ὁ Νεῖλος, ὅστις ἐπὶ διαφόρων κλιμάτων εἰλούμενος γίνεται διὰ τόπων δασέων καὶ ἀνοδεύτων, ὧν τὰ * * ἐκεῖθεν εἰς ὁμαλὸν ἐκχεῖται, καὶ πάλιν εἰς ποταμοῦ κοίτην συνάγεται, καὶ ναυσίπορος λοιπὸν ἐπὶ τὴν Μερόην διὰ τῶν ἀοικήτων τοῦ νότου μερῶν φέρεται, καὶ ταύτην περιρρέων νῆσον ἀποτελεῖ· ἔστι γὰρ πᾶσα ὁμαλή. κἀκεῖθεν τὸ λοιπὸν ὁ πᾶς ἐγκλειόμενος ἐπὶ τὴν ἀνατολὴν ῥέπει καὶ ἐπὶ τὴν Αἴγυπτον, κἀκεῖθεν εἰς θάλασσαν σφοδροτέρου πνεύματος καταπνέοντος· ἐκ τῆς βίας γάρ, ὡς εἴρηται, τοῦ βορείου πνεύματος ἀνακλώμενος ὁ ποταμὸς καὶ μᾶλλον ἀνεκχεόμενος πᾶσαν καταλιμνάζει τὴν Αἴγυπτον. εὔρου δὲ ἐκ τῆς ἀνατολῆς τοῖς ἐτησίοις ἀντιπνέοντος ἢ νότου ἀπὸ μεσημβρίας ἐξωθοῦντος τὸν Νεῖλον, εἰκότως ὁ ποταμὸς ἐπὶ τὴν θάλασσαν λωφήσαντος ἠρέμα τοῦ βορρᾶ κατατρέχει. κἀκεῖνο δὲ τεκμήριόν ἐστι τοῦ μὴ ἀπὸ τήξεως χιόνων αὔξεσθαι αὐτόν, ὅτι οὐ ψυχρός ἐστιν ἀλλὰ θερμός· καὶ διὰ τοῦτο ὑπονοστοῦντος τοῦ ὕδατος εὑρίσκεται ἐπὶ τῆς ἰλύος ζῶά τινα ἐκ μέρους διαπεπλασμένα καὶ ἐκ μέρους κνώδαλα. πέφυκε δὲ τὰ τοιαῦτα θερμότητι καὶ ὑγρότητι ζωογονεῖσθαι, ὅπερ ἐπὶ τῶν ἄλλων ὑδάτων οὐκ ἔστιν· ἰχθύας γὰρ καὶ μόνους ἔχουσι.

καὶ οἱ μὲν ἄλλοι στοχαζόμενοι λέγουσιν, ἐγὼ δέ» φησὶν ὁ Χρῆστος «γενόμενος ἐν τῶι ἀκρωτηρίωι τῆς Μαυρουσίας ἐν τῶι στομίωι τοῦ Ὠκεανοῦ».

Um 350 F 19

7 Aristot. *Pol.* 2, 1, 13 p. 1262 a 18: ὅπερ φασὶ καὶ συμβαίνειν τινὲς τῶν τὰς τῆς γῆς περιόδους πραγματευομένων· εἶναι γάρ τισι τῶν F 10

2 χρῆστος BT αἴχρη A[ac] χρηστὸς A[2] 3 μέγιστα: μεγάλα B 6 εἰς om. BT ἄπειροι T βαθύτητος? 10 ἀγριώτατον? 11 ἐπικαρπέσιν B λιμένων B 13 συνηρεφεῖς AT 18 ὧν τὰ * * Wünsch ὄντων Roether ὁμαλὸν: ἰσομαλῶν T 19 καὶ ναυσίπορος: ἐναυτη πόρος A 20 φέρεται Hase φαίνεται o καὶ ταύτην om. T 21-22 τὸ λοιπὸν – κἀκεῖθεν om. B 21 ὁ πᾶς AT ὅτι πλεῖστον Roether 23 βαρείου A 24 ἀνεχεόμενος A 25 εὔρου: εὖρος T 26 ἐξωθοῦντα T 27 βαρρᾶ A 28 τοῦ μὴ Roether τὸ μὴ o 29 ἀπονοστοῦντος T 32 ὑδάτων om. T ποταμῶν? 34 χρηστὸς T

ἄνω Λιβύων κοινὰς τὰς γυναῖκας, τὰ μέντοι γενόμενα τέκνα διαιρεῖσθαι κατὰ τὰς ὁμοιότητας.

8 STRABON 17, 3, 3 p. 826: πλεῖστα δὲ πλάσματα τῆι Λιβυκῆι παραλίαι τῆι ἐκτὸς προσεψεύσαντο οἱ συγγραφεῖς, ἀρξάμενοι ἀπὸ τοῦ Ὀφέλα Περίπλου (V), περὶ ὧν ἐμνήσθημέν που καὶ πρότερον, καὶ νῦν δὲ λέγομεν, συγγνώμην αἰτούμενοι τῆς τερατολογίας, ἐάν που βιασθῶμεν ἐκπεσεῖν εἴς τι τοιοῦτο, φεύγοντες τὸ πάντα σιγῆι παραπέμπειν καὶ τρόπον τινὰ πηροῦν τὴν ἱστορίαν. φασὶ δ' οὖν τὸν Ἐμπορικὸν κόλπον ἄντρον ἔχειν εἴσω δεχόμενον τὴν θάλατταν ἐν ταῖς πλημμυρίσι μέχρι καὶ ἑπτὰ σταδίων, προκείμενον δὲ τούτου ταπεινὸν καὶ ὁμαλὸν χωρίον ἔχον Ἡρακλέους βωμόν, ὃν οὐκ ἐπικλύζεσθαί φασιν ὑπὸ τῆς πλημμυρίδος. ἓν δὲ δή τι τῶν πλασμάτων νομίζω τοῦτο· ἐγγὺς δὲ τούτωι τὸ ἐν τοῖς ἑξῆς κόλποις κατοικίας λέγεσθαι παλαιὰς Τυρίων, ἃς ἐρήμους εἶναι νῦν, οὐκ ἐλαττόνων ἢ τριακοσίων πόλεων, ἃς οἱ Φαρούσιοι καὶ οἱ Νιγρῖται ἐξεπόρθησαν· διέχειν δὲ τούτους τῆς Λυγγός φασιν ἡμερῶν τριάκοντα ὁδόν.

9 HERODT. 4, 173: Νασαμῶσι δὲ προσόμουροί εἰσι Ψύλλοι. οὗτοι ἐξαπολώλασι τρόπωι τοιῶιδε· ὁ νότος σφι πνέων ἄνεμος τὰ ἔλυτρα τῶν ὑδάτων ἐξηύηνε, ἡ δὲ χώρη σφι πᾶσα ἐντὸς ἐοῦσα τῆς Σύρτιος ἦν ἄνυδρος· οἱ δὲ βουλευσάμενοι κοινῶι λόγωι ἐστρατεύοντο ἐπὶ τὸν νότον — λέγω δὲ ταῦτα τὰ λέγουσι Λίβυες —, καὶ ἐπείτε ἐγίνοντο ἐν τῆι ψάμμωι, πνεύσας ὁ νότος κατέχωσέ σφεας. ἐξαπολομένων δὲ τούτων ἔχουσι τὴν χώρην οἱ Νασαμῶνες.

10 HERODT. 4, 180: τούτων δὲ ἔχονται [τῶν Μαχλύων] Αὐσῆς. οὗτοι δὲ καὶ οἱ Μάχλυες πέριξ τὴν Τριτωνίδα λίμνην οἰκέουσι, τὸ μέσον δέ σφι οὐρίζει ὁ Τρίτων .... (2) ὀρτῆι δ' ἐνιαυσίηι ['Ἀθηναίης] αἱ παρθένοι αὐτῶν δίχα διαστᾶσαι μάχονται πρὸς ἀλλήλας λίθοισί τε καὶ ξύλοισι, τῆι αὐθιγενέι θεῶι λέγουσαι τὰ πάτρια ἀποτελέειν, τὴν Ἀθηναίην καλέουσι (?)· τὰς δὲ ἀποθνῃσκούσας τῶν παρθένων ἐκ τῶν τρωμάτων ψευδοπαρθένους καλέουσι ...... (5) τὴν δὲ Ἀθηναίην φασὶ Ποσειδέωνος θυγατέρα καὶ τῆς Τριτωνίδος λίμνης, καί μιν μεμφθεῖσάν τι τῶι πατρὶ δοῦναι ἑωυτὴν τῶι Διί, τὸν δὲ Δία ἑωυτοῦ μιν ποιήσασθαι θυγατέρα. ταῦτα μὲν λέγουσι, μεῖξιν δὲ ἐπίκοινον τῶν γυναικῶν ποιέονται, οὔτε συνοικέοντες κτηνηδόν τε μισγόμενοι. (6) ἐπεὰν δὲ γυναικὶ τὸ παιδίον F 7
ἁδρὸν γένηται, συμφοιτῶσι ἐς τὠυτὸ οἱ ἄνδρες τρίτου μηνός, καὶ τῶι ἂν οἴκηι τῶν ἀνδρῶν τὸ παιδίον, τούτου παῖς νομίζεται.

11 HERODT. 4, 184, 3: μετὰ δὲ (nach den Atarantes) δι' ἀλλέων δέκα ἡμερέων [ὁδοῦ] ἄλλος κολωνὸς ἁλὸς καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν οἰκέουσι. ἔχεται δὲ τοῦ ἁλὸς τούτου ὄρος, τῶι οὔνομά ἐστι Ἄτλας. ἔστι δὲ στεινὸν καὶ κυκλοτερὲς πάντηι, ὑψηλὸν

1 γινόμενα Richards 5 Ὀφέλα: Ἀπέλλα Tyrwhitt 7 πηροῦν E πληροῦν r 11 ὑπὸ τῶν πλημμυρίδων E ἓν μὲν ς 13 φαυρούσιοι E 14 νιγρῖται E νηγρῖται D νιγρῆται r λιγγός x 16 (21) νασάμωσι aD[1] δμουροι ἦσαν Herw 18 ἅπασα a 22 [τ. Μ.] Jac αὐσῆ(ι)ς (αὐσεῖς S αὐσεῖ R): Αὐσέες Struve, v 24 ['Ἀθ.] Jac 26 καλέουσι (ἐπιτελέειν καλέουσαι τὴν Ἀ. S) d καλέομεν av ἀποθνῃσκούσας παρθένους d 30 τε a δὲ d 31 ἁδρὸν a ἀνδρὸν D[1] ἀνδρῶν RSV † τρίτου μηνός † Powell τρίτου ἔτεος (cf. F 12 § 2?)? 34 ὁδοῦ om. ABd 35 ἐστι om. d

δὲ οὕτω δή τι λέγεται, ὡς τὰς κορυφὰς αὐτοῦ οὐχ οἷά τε εἶναι ἰδέσθαι· οὐδέκοτε γὰρ αὐτὰς ἀπολείπειν νέφεα οὔτε θέρεος οὔτε χειμῶνος. τοῦτον τὸν κίονα τοῦ οὐρανοῦ λέγουσι οἱ ἐπιχώριοι εἶναι. (4) ἐπὶ τούτου τοῦ ὄρεος οἱ ἄνθρωποι οὗτοι ἐπώνυμοι ἐγένοντο· καλέονται γὰρ δὴ Ἄτλαντες. λέγονται δὲ οὔτε ἔμψυχον οὐδὲν σιτέεσθαι οὔτε ἐνύπνια ὁρᾶν.

12 Herodt. 4, 187, 2: οἱ γὰρ δὴ τῶν Λιβύων νομάδες, εἰ μὲν πάντες οὐκ ἔχω ἀτρεκέως τοῦτο εἰπεῖν, ποιεῦσι δὲ αὐτῶν συχνοὶ τοιάδε· τῶν παιδίων τῶν σφετέρων ἐπεὰν τετραέτεα γένηται, οἰσύπηι προβάτων καίουσι τὰς ἐν τῆισι κορυφῆισι φλέβας, μετεξέτεροι δὲ αὐτῶν τὰς ἐν τοῖσι κροτάφοισι, τοῦδε εἵνεκα ὡς μή σφεας ἐς τὸν πάντα χρόνον καταρρέον φλέγμα ἐκ τῆς κεφαλῆς δηλῆται. (3) καὶ διὰ τοῦτό σφεας λέγουσι εἶναι ὑγιηροτάτους. εἰσὶ γὰρ ὡς ἀληθέως οἱ Λίβυες ἀνθρώπων πάντων ὑγιηρότατοι τῶν ἡμεῖς ἴδμεν· εἰ μὲν διὰ τοῦτο, οὐκ ἔχω ἀτρεκέως εἰπεῖν· ὑγιηρότατοι δ' ὦν εἰσί. ἢν δὲ καίουσι τὰ παιδία σπασμὸς ἐπιγένηται, ἐξεύρηταί σφι ἄκος· τράγου γὰρ οὖρον σπείσαντες ῥύονταί σφεα. λέγω δὲ τὰ λέγουσι αὐτοὶ Λίβυες.

13 Herodt. 4, 191, 1: φασὶ δὲ οὗτοι (*scil.* οἱ Μάξυες) εἶναι τῶν ἐκ Τροίης ἀνδρῶν.

14 Herodt. 4, 191, 3: ἡ μὲν γὰρ δὴ πρὸς τὴν ἠῶ τῆς Λιβύης, τὴν οἱ νομάδες νέμουσι, ἐστὶ ταπεινή τε καὶ ψαμμώδης μέχρι τοῦ Τρίτωνος ποταμοῦ, ἡ δὲ ἀπὸ τούτου τὸ πρὸς ἑσπέρης, ἡ τῶν ἀροτήρων, ὀρεινή τε κάρτα καὶ δασέα καὶ θηριώδης. (4) καὶ γὰρ οἱ ὄφιες οἱ ὑπερμεγάθεες καὶ οἱ λέοντες κατὰ τούτους εἰσὶ καὶ οἱ ἐλέφαντές τε καὶ ἄρκτοι καὶ ἀσπίδες τε καὶ ὄνοι οἱ τὰ κέρεα ἔχοντες καὶ οἱ κυνοκέφαλοι καὶ οἱ ἀκέφαλοι οἱ ἐν τοῖσι στήθεσι τοὺς ὀφθαλμοὺς ἔχοντες, ὡς δὴ λέγονταί γε ὑπὸ Λιβύων, καὶ οἱ ἄγριοι ἄνδρες καὶ γυναῖκες ἄγριαι καὶ ἄλλα πλήθει πολλὰ θηρία ἀκατάψευστα.

15 Diodor. 3, 74, 1: τὸν μὲν οὖν [[πρῶτον]] Διόνυσον ἐξ Ἄμμωνος καὶ Ἀμαλθείας γενόμενον τοιαύτας οἱ Λίβυες ἱστοροῦσιν ἐπιτελέσασθαι πράξεις (= Dionys. Skythobr. 32 F 8)· τὸν δὲ δεύτερόν φασιν ἐξ Ἰοῦς τῆς Ἰνάχου Διὶ γενόμενον βασιλεῦσαι μὲν τῆς Αἰγύπτου, καταδεῖξαι δὲ τὰς τελετάς· τελευταῖον δὲ τὸν ἐκ Διὸς καὶ Σεμέλης τεκνωθέντα παρὰ τοῖς Ἕλλησι ζηλωτὴν γενέσθαι τῶν προτέρων κτλ.

16 Plutarch. *Sertor.* 9, 6: (Sertorius erobert Tingis) ἐνταῦθα τὸν Ἀνταῖον οἱ Λίβυες ἱστοροῦσι κεῖσθαι. καὶ τὸν τάφον αὐτοῦ Σερτώριος διέσκαψε, τοῖς βαρβάροις ἀπιστῶν διὰ μέγεθος· (7) ἐντυχὼν δὲ τῶι σώματι πηχῶν ἑξήκοντα μῆκος, ὥς φασι, κατεπλάγη, καὶ σφάγιον ἐντεμὼν συνέχωσε τὸ μνῆμα, καὶ τὴν περὶ αὐτοῦ τιμήν τε καὶ φήμην συνηύξησε. (8) Τιγγῖται δὲ μυθολογοῦσιν Ἀνταίου τελευτήσαντος τὴν γυναῖκα Τίγγην Ἡρακλεῖ συνελθεῖν, Σόφακα δ' ἐξ αὐτῶν γενόμενον βασιλεῦσαι τῆς

---

1 δή om. **a** 2 τοῦτον τὸν C τοῦτο τὸν r [τὸν] Ald 4 δὴ om. **a** 8 οἰσύπηι **d** οἴσπηι (u.ä.) **a** ἐν τῆ(ι)σι κροτάφοισι CSV 11 οἱ om. **a** 14 σφέας **a** 15 ‹ἀπόγονοι› εἶναι Herw 20 ἐλέφαντες δὲ **d** 21 ἀσπίδες καὶ ὄνοι D καὶ κυν. **d** 22 γε om. **d** 23 πλήθη **a**D[ac] 23 κατάψευστα Reiz 24 ff.: τὸν δὲ δεύτερον κτλ. nicht mehr aus Dionys. Skytobr. (Bethe, Schwartz) 29-33: καὶ Γαβίνιος (τανύσιος F; s. Münzer RE IV A col. 2232, 23 ff.) δὲ ὁ τῶν Ῥωμαίων συγγραφεὺς (v -φέων o) οὐκ ἀπέχεται τῆς τερατολογίας τῆς περὶ τὴν Μαυρουσίαν· πρὸς γὰρ τῆι Λυγγί (λιγγὶ Dx [cf. Plin. *N.H.* 5, 3] Τιγγὶ Tzschucke) Ἀνταίου μνῆμα ἱστορεῖ καὶ σκελετὸν πηχῶν ἑξήκοντα, ὃν Σερτώριον γυμνῶσαι καὶ πάλιν ἐπιβαλεῖν γῆν Strab. 17, 3, 8 31 [τῶι] Rei 32 σφάγιον: πλάγιον Q περὶ αὐτὸν Schaefer 33 ηὔξησε Q Τιγγῖται Cor τιγεννῖται (-ῖται) o Τιγγιτανοὶ Leopold 34 Τίγγην: τιγ(γ)ίην KL[ac]Q σώφακα (stets) C

χώρας, καὶ πόλιν ἐπώνυμον τῆς μητρὸς ˻ἀποδεῖξαι· (9) Σόφακος δὲ παῖδα γενέσθαι Διόδωρον, ὧι πολλὰ τῶν Λιβυκῶν ἐθνῶν ὑπήκουσεν, Ἑλληνικὸν ἔχοντι στράτευμα τῶν αὐτόθι κατωικισμένων ὑφ' Ἡρακλέους Ὀλβιανῶν καὶ Μυκηναίων. (10) ἀλλὰ ταῦτα μὲν ἀνακείσθω τῆι Ἰόβα χάριτι, τοῦ πάντων ἱστορικωτάτου βασιλέων· ἐκείνου γὰρ ἱστοροῦσι τοὺς προγόνους Διοδώρου καὶ Σόφακος ἀπογόνους εἶναι (275 T 10).

17 Apoll. Rhod. 4, 1490: υἱωνὸς Φοίβοιο Λυκωρείοιο Κάφαυρος / κούρης τ' αἰδοίης Ἀκακαλλίδος, ἥν ποτε Μίνως / ἐς Λιβύην ἀπένασσε θεοῦ βαρὺ κῦμα φέρουσαν, / θυγατέρα σφετέρην· ἡ δ' ἀγλαὸν υἱέα Φοίβωι / τίκτεν, ὃν Ἀμφίθεμιν Γαράμαντά τε κικλήσκουσιν. / Ἀμφίθεμις δ' ἄρ' ἔπειτα μίγη Τριτωνίδι νύμφηι· / ἡ δ' ἄρα οἱ Νασάμωνα τέκεν, κρατερόν τε Κάφαυρον, / ὃς τότε Κάνθον ἔπεφνεν ἐπὶ ῥήνεσσιν ἑοῖσιν. Cf. 762 F 2.

18 Sallust. *Iug.* 17, 7: *sed qui mortales initio Africam habuerint, quique* s. I[a]
postea adcesserint, aut quomodo inter se permixti sint, quamquam ab ea fama, quae plerosque optinet, divorsum est, tamen uti ex libris Punicis, qui regis Hiempsalis dicebantur, interpretatum nobis est, utique rem sese habere cultores eius terrae putant, quam paucissimis dicam. ceterum fides eius rei penes auctores erit.

(**18**) *Africam initio habuere Gaetuli et Libyes, asperi incultique, quis cibus erat caro ferina atque humi pabulum uti pecoribus.* (2) *ei neque moribus neque lege aut imperio cuiusquam regebantur: vagi palantes quas nox coegerat sedes habebant.* (3) *sed postquam in Hispania Hercules, sicuti Afri putant, interiit, exercitus eius conpositus ex variis gentibus amisso duce ac passim multis sibi quisque imperium petentibus brevi dilabitur.* (4) *ex eo numero Medi Persae et Armenii navibus in Africam transvecti proxumos nostro mari locos occupavere;* (5) *sed Persae intra Oceanum magis, eique alveos navium invorsos pro tuguriis habuere, quia neque materia in agris neque ab Hispanis emundi aut mutandi copia erat:* (6) *mare magnum et ignara lingua commercio prohibebant.* (7) *ei paulatim per conubia Gaetulos secum miscuere, et quia saepe temptantes agros alia deinde alia loca petiverant, semet ipsi Nomadas adpellavere.* (8) *ceterum adhuc aedificia Numidarum agrestium, quae mapalia illi vocant, oblonga incurvis lateribus tecta quasi navium carinae sunt.* (9) *Medis autem et Armeniis adcessere Libyes – nam ei propius mare Africum agitabant, Gaetuli sub sole magis, haud procul ab ardoribus – eique mature oppida habuere: nam freto divisi ab Hispania mutare res inter se instituerant.* (10) *nomen eorum paulatim Libyes conrupere, barbara lingua Mauros pro Medis adpellantes.* (11) *sed res Persarum brevi adolevit, ac postea nomine Numidae propter multitudinem a parentibus digressi possedere ea loca, quae proxuma Carthagine Numidia appellatur.* (12) *deinde utrique alteris freti finitumos armis aut metu sub imperium suum coegere, nomen gloriamque sibi addidere, magis ei qui ad nostrum mare processerant, quia Libyes quam Gaetuli minus bellicosi. denique Africae pars inferior pleraque ab Numidis possessa est, victi omnes in gentem nomenque imperantium concessere.* (**19**) *postea Phoenices, alii multitudinis domi minuendae gratia, pars imperi cupidine sollicitata plebe et aliis novarum rerum avidis, Hipponem Hadrumetum Leptim aliasque urbis in ora marituma condidere, eaeque brevi multum auctae pars originibus*

19 *quas*: v.l. *qua* 22 (30) *armeni* P 26 *commercio* P *commercia* r *secum* om. P 27 *ipsos* P[c] 28 *nomadas* P *numidas* P[c]C 35 *proxuma Carthagine* v *proxime Carthaginem* PC *proxima Carthagini* Diomed 36 *cogere* P[ac]

suis praesidio aliae decori fuere. (2) *nam de Carthagine silere melius puto quam parum dicere, quoniam alio properare tempus monet.*

19 **a**) Ammian. Marc. 22, 15, 8: *rex autem Juba* (275 F 38 b), *Punicorum confisus textu librorum, a monte quodam oriri eum* (den Nil) *exponit, qui situs in Mauritania despectat oceanum, hisque indiciis hoc proditum ait, quod pisces et herbae et beluae similes per eas paludes gignuntur.* **b**) Solin. *Coll.* 32, 2: *originem habet a monte inferioris Mauretaniae, qui oceano propinquat. hoc adfirmant Punici libri; hoc Jubam regem accipimus tradidisse.* F 6

XX. LYDIEN

—. HELLANIKOS VON LESBOS 430/00?

ΠΕΡΙ ΛΥΔΙΑΣ (?)

4 F 58.

765. XANTHOS DER LYDER Nach 425?

T

1 (I 36) **a**) Suda s.v. Ξάνθος Κανδαύλου· Λυδὸς ἐκ Σάρδεων, ἱστορικός, γεγονὼς ἐπὶ τῆς ἁλώσεως Σάρδεων (546/5). Λυδιακά, βιβλία δ. (Es folgen F 4 b; 19). **b**) – s.v. Αἴσωπος· Σάμιος ἢ Σαρδιανός . . . . . οἰκέτην δὲ γενέσθαι Ξάνθου τοῦ Λυδοῦ, ἄλλοι (Herodt. 2, 134, 3/4) ἀνδρός τινος Σαμίου Ἰάδμονος, οὗτινος καὶ ἡ Ῥοδῶπις δούλη ἦν . . . .

2 Strabon 13, 4, 9 p. 628: Ξάνθος δὲ ὁ παλαιὸς συγγραφεὺς Λυδὸς μὲν λέγεται, εἰ δὲ ἐκ Σάρδεων οὐκ ἴσμεν. Cf. F 13 p. 753, 15 f. u. ö.

3 Solin. *Coll.* 40, 6: *ingenia Asiatica inclita per gentes fuere . . . historiae conditores Xanthus, Hecataeus* (1), *Herodotus, cum quibus Ephorus* (70) *et Theopompus* (115).

4 Dion. Hal. *De Thuc.* 5: μέλλων δὲ ἄρχεσθαι τῆς περὶ Θουκυδίδου γραφῆς ὀλίγα βούλομαι περὶ τῶν ἄλλων συγγραφέων εἰπεῖν, τῶν τε πρεσβυτέρων καὶ τῶν κατὰ τοὺς αὐτοὺς ἀκμασάντων ἐκείνωι χρόνους . . . . . ἀρχαῖοι μὲν οὖν συγγραφεῖς πολλοὶ καὶ κατὰ πολλοὺς τόπους ἐγένοντο πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου . . . . ὀλίγωι δὲ πρεσβύτεροι τῶν Πελοποννησιακῶν καὶ μέχρι τῆς Θουκυδίδου παρεκτείναντες ἡλικίας Ἑλλάνικός τε ὁ Λέσβιος (4) καὶ Δαμάστης ὁ Σιγειεύς (5) καὶ Ξενομήδης ὁ Κεῖος (442) καὶ Ξάνθος ὁ Λυδὸς καὶ ἄλλοι συχνοί. οὗτοι κτλ. (1 T 17 a).

5 Athen. 12, 11 p. 515 DE: ὡς ἱστορεῖ Ξάνθος ὁ Λυδὸς (F 4) ἢ ὁ τὰς εἰς αὐτὸν ἀναφερομένας ἱστορίας συγγεγραφώς – Διονύσιος δ' ὁ Σκυτοβραχίων

7-8 *hoc – libri* zusatz Solins zu Plin. *N.H.* 5, 51 (= 275 F 38 a) 17 σαρδανὸς A σαρδυιανὸς M 23 *Xanthus*: *exanthus* LMG *decim xanthus* u.ä. SAP 31 Σιγειεὺς Krueger σιγεὺς Mf σισιγεὺς P Κεῖος Wil χῖος o 33-34 ὁ τὰς εἰς αὐτὸν Mei ὁ εἰς αὐτὸν τὰς A 34 δ' <ἐστιν> ὁ? Kaibel

(32 T 6), ὡς Ἀρτέμων φησὶν ὁ Κασανδρεὺς (IV) ἐν τῶι Περὶ συναγωγῆς βιβλίων, ἀγνοῶν ὅτι Ἔφορος ὁ συγγραφεὺς (70 F 180) μνημονεύει αὐτοῦ ὡς παλαιοτέρου ὄντος καὶ Ἡροδότωι τὰς ἀφορμὰς δεδωκότος.

6 Schol. Eurip. *Andron.* 10: s. F 21.

7 Diog. Laert. 6, 101: γεγόνασι δὲ Μένιπποι ἕξ· πρῶτος ὁ γράψας τὰ περὶ Λυδῶν καὶ Ξάνθον ἐπιτεμόμενος· δεύτερος αὐτὸς οὗτος (der Kyniker) ....

8 Dion. Hal. *A.R.* 1, 28, 2: Ξάνθος δ' ὁ Λυδός, ἱστορίας παλαιᾶς εἰ καί τις ἄλλος ἔμπειρος ὤν, τῆς δὲ πατρίου καὶ βεβαιωτὴς ἂν οὐδενὸς ὑποδεέστερος νομισθείς .... (F 16).

9 Plin. *N.H.* 1, 25; 26: *naturae herbarum* (*reliquae per genera medicinae*) .... *ex auctoribus* ... *externis Theophrasto, Apollodoro, Democrito, Juba, Orpheo, Pythagora* ... *Nicandro, Homero, Hesiodo, Musaeo, Sophocle, Xantho, Anaxilao.*

F

1. ΛΥΔΙΑΚΑ Ᾱ – Δ̄

Ᾱ

1 (14) Steph. Byz. s.v. Λυδία· ἡ χώρα· Ξάνθος ἐν Λυδιακῶν ᾱ. τὸ ἐθνικὸν Λυδὸς καὶ Λυδή (?).

2 (15) Steph. Byz. s.v. Λυκοσθένη· πόλις Λυδίας· Ξάνθος ᾱ Λυδιακῶν, ἣν καὶ Λυκοσθένειαν Νικόλαός φησιν (90 F 85). ὁ πολίτης Λυκοσθενεύς ... παρὰ δὲ Λυδοῖς Λυκοσθενίτης, ὡς Δικαιαρχίτης.

3 (16) Plin. *N.H.* 25, 14: *Xanthus historiarum auctor in prima earum tradit occisum draconis catulum revocatum ad vitam a parente herba, quam balim nominat, eademque Tylonem, quem draco occiderat, restitutum saluti.*

B

4 (19) **a**) Athen. 12, 11 p. 515 DE: Λυδοὶ δὲ εἰς τοσοῦτον ἦλθον τρυφῆς, ὡς καὶ πρῶτοι γυναῖκας εὐνουχίσαι .... (T 5). ὁ δ' οὖν Ξάνθος ἐν τῆι δευτέραι τῶν Λυδιακῶν Ἀδραμύτην φησὶ τὸν Λυδῶν βασιλέα πρῶτον γυναῖκας εὐνουχίσαντα χρῆσθαι αὐταῖς ἀντὶ ἀνδρῶν εὐνούχων. Κλέαρχος δ' ἐν τῆι τετάρτηι Περὶ βίων (IV: Omphale und der Γλυκὺς Ἀγκών). **b**) Suda s.v. Ξανθος·

---

9 ὑποδεέστερος: -στέρου A .-στέρον B 19 Λυδή: λ$\overset{δ}{υ}$ R λύδαι V λυδαιο ...... P Λυδαῖος Ald Λυδαί Mei 20 λυκοσθένης P 22 λυκοσθενίτης VP -νείτης R δικαιαρχείτης RV 24 *tradit* N *tradidit* r 25 *balim* NE *-li* V *-lum* d *ballim* (Et. gen. s.v.) Sillig *tylonem* Vd *thylonem* E(?) *Tylon* Head *H.N.*^{2} p. 657; Nonn. *Dion.* 25, 454 ö. (cf. 768 F 9; 90 F 45) *quam* E *salute* NV 29 Ἀδραμύτην Cas ἀνδραμύτην A τὸν Λυδῶν Kaibel τῶν λυδῶν A

(T 1) ἐν δὲ τῶι δευτέρωι τούτων ἱστορεῖ, ὡς πρῶτος Γύγης ὁ Λυδῶν βασιλεὺς γυναῖκας εὐνούχισεν, ὅπως αὐταῖς χρῶιτο ἀεὶ νεαζούσαις. c) Eust. Hom. *Il.* Π 702 p. 1082, 28: (Omphale und der Γλυκὺς 'Αγκών) αἱ δὲ ἱστορίαι αὗται Ξάνθου εἰσὶ τοῦ Λυδοῦ, ὥς φησιν 'Αθήναιος, ἱστορῶν καὶ τὸ Σάμιον Πολυκράτην ἄδικον ἐφ' ὁμοίοις κτλ.

5 (17) Steph. Byz. s.v. 'Αρδύνιον· πόλις ἐν Θήβης πεδίωι, ὡς Ξάνθος ἐν Λυδιακῶν β̄.

6 (18) Steph. Byz. s.v. Στρόγωλα· πόλις Λυδίας· Ξάνθος ἐν Λυδιακῶν β.

Γ̄

7 (20) Steph. Byz. s.v. Εὐπάτρια· πόλις Λυδῶν. οἱ πολῖται Εὐπατρίδαι, μᾶλλον δὲ Εὐπατρεῖς. Ξάνθος ἐν γ̄ Λυδιακῶν.

Δ̄

8 (23) Steph. Byz. s.v. 'Ασκάλων· πόλις Συρίας πρὸς τῆι 'Ιουδαίαι. Ξάνθος ἐν δ̄ Λυδιακῶν φησιν ὅτι Τάνταλος καὶ ῎Ασκαλος παῖδες <Τ>υμεναίου. τὸν δὲ ῎Ασκαλον ὑπὸ 'Ακιαμοῦ τοῦ Λυδῶν βασιλέως αἱρεθέντα στρατηγὸν εἰς Συρίαν στρατεῦσαι, κἀκεῖ παρθένου ἐρασθέντα πόλιν κτίσαι, ἣν ἀφ' ἑαυτοῦ οὕτως ὠνόμασε. τὰ αὐτὰ καὶ Νικόλαος ἐν δ̄ ἱστορίαι (90 F 18). λέγεται οὖν ῎Ασκαλος καὶ ἐξ αὐτοῦ 'Ασκάλης .... λέγεται καὶ 'Ασκαλώνιον ἡ πόλις. τὸ ἐθνικὸν 'Ασκαλωνίτης καὶ 'Ασκαλώνιος (παρὰ τὸ 'Ασκαλώνιον), ὡς Ξάνθος ὁ Λυδός, καὶ 'Ασκαλωνὶς θηλυκόν.

9 (21) Steph. Byz. s.v. 'Αστελέβη· πόλις Λυδίας· Ξάνθος ἐν δ̄ Λυδιακῶν. οἱ οἰκοῦντες 'Αστελεβαῖοι.

10 (22) Steph. Byz. s.v. 'Αστερία· πόλις Συρίας· Ξάνθος ἐν δ̄ Λυδιακῶν. λέγεται καὶ 'Αστερίς. ὁ πολίτης 'Αστεριώτης καὶ 'Αστέριος.

11 (24) Steph. Byz. s.v. Σιδήνη· πόλις Λυκίας, ὡς Ξάνθος ἐν Λυδιακῶν δ̄. τὸ ἐθνικὸν Σιδηνός.

OHNE BUCHZAHL (AUS ΛΥΔΙΑΚΑ)

12 (3) Strabon 1, 3, 4 p. 49: μάλιστα δέ φησι (Eratosthenes) ζήτησιν παρασχεῖν, πῶς ἐν δισχιλίοις καὶ τρισχιλίοις ἀπὸ θαλάττης σταδίοις κατὰ

3-5: flüchtiges und falsches excerpt 8-9: hinter Στρούθεια o 8 στρόγωνα P 8-9 λυδιακῶν R δυλιακῶν V δηλιακῶν P 9 β̄ R^c (aus δ m. 1) VP δ R^{ac} 11 Εὐπατρία Mei 11-12 Εὐπατρίδαι – δὲ om. RV 12 Εὐπατριεῖς? Mei λυδικῶν P 15 δ: Ā (cf. F 17) o. δευτέρωι? Τυμεναίου Gutschmid ὑμεναίου o; dahinter hat der excerptor gestrichen was X. von Tantalos erzählt hatte 16 'Ακιαμοῦ: F 19? 17 ἐρασθέντα Bochart ἐρασθεὶς o ἔκτισε? Mei 20 παρὰ τὸ ἀσκαλώνιος P 24 συρίας o (Eust. *Il.* B 735) Λυδίας Ald [Ξ. – Λυδιακῶν] (om. Eust) Mei 27 Σιδηνός om. R

τὴν μεσόγαιαν ὁρᾶται πολλαχοῦ κόγχων καὶ ὀστρέων καὶ χηραμύδων πλῆθος καὶ λιμνοθάλατται, καθάπερ φησὶ περὶ τὸ ἱερὸν τοῦ Ἄμμωνος καὶ τὴν ἐπ' αὐτῶι ὁδὸν τρισχιλίων σταδίων οὖσαν.... ταῦτα δ' εἰπὼν τὴν Στράτωνος ἐπαινεῖ δόξαν τοῦ φυσικοῦ (F 91 Wehrli) καὶ ἔτι Ξάνθου τοῦ Λυδοῦ, τοῦ μὲν Ξάνθου λέγοντος ἐπὶ Ἀρταξέρξου (465/25) γενέσθαι μέγαν αὐχμόν, ὥστ' ἐκλιπεῖν ποταμοὺς καὶ λίμνας καὶ φρέατα, αὐτὸν δὲ εἰδέναι πολλαχῆ πρόσω ἀπὸ τῆς θαλάττης λίθον τε κογχυλιώδη καὶ τὰ κτενώδεα καὶ χηραμύδων τυπώματα καὶ λιμνοθάλασσαν ἐν Ἀρμενίοις καὶ Ματιηνοῖς καὶ ἐν Φρυγίαι τῆι κάτω, ὧν ἕνεκα πείθεσθαι τὰ πεδία ποτὲ θάλατταν γενέσθαι. τοῦ δὲ Στράτωνος ἔτι μᾶλλον ἁπτομένου τῆς αἰτιολογίας.....

13 (4) a) STRABON 12, 8, 19 p. 579/80: (§ 17-18 über den vulkanischen charakter der περὶ τὸν Μαίανδρον χώρα und der Κατακεκαυμένη und seine folgen für die natur des landes, das ὑπόνομος πυρί τε καὶ ὕδατι μέχρι τῆς μεσογαίας ist) ἀκούειν δ' ἐστὶ καὶ τῶν παλαιῶν συγγραφέων, οἷά φησιν ὁ τὰ Λύδια συγγράψας Ξάνθος, διηγούμενος οἷαι μεταβολαὶ κατέσχον πολλάκις τὴν χώραν ταύτην, ὧν ἐμνήσθημέν που καὶ ἐν τοῖς πρόσθεν (F 12). καὶ δὴ καὶ τὰ περὶ τὸν Τυφῶνα πάθη ἐνταῦθα μυθεύουσι καὶ τοὺς Ἀρίμους, καὶ τὴν Κατακεκαυμένην ταύτην εἶναί φασιν. οὐκ ὀκνοῦσι δὲ καὶ τὰ μεταξὺ Μαιάνδρου καὶ Λυδῶν ἅπανθ' ὑπονοεῖν τοιαῦτα καὶ διὰ τὸ πλῆθος τῶν λιμνῶν καὶ ποταμῶν καὶ τοὺς πολλαχοῦ κευθμῶνας τῆς γῆς. ἡ δὲ μεταξὺ Λαοδικείας καὶ Ἀπαμείας λίμνη καὶ βορβορώδη καὶ ὑπόνομον τὴν ἀποφορὰν ἔχει, πελαγία οὖσα. φασὶ δὲ καὶ δίκας εἶναι τῶι Μαιάνδρωι μεταφέροντι τὰς χώρας, ὅταν περικρουσθῶσιν οἱ ἀγκῶνες· ἁλόντος δέ, τὰς ζημίας ἐκ τῶν πορθμικῶν διαλύεσθαι τελῶν. b) – 13, 4, 11 p. 628: ... ἡ Κατακεκαυμένη λεγομένη χώρα ... εἴτε Μυσίαν χρὴ καλεῖν εἴτε Μηιονίαν (λέγεται γὰρ ἀμφοτέρως) ... ἔστι δὲ ἡ ἐπιφάνεια τεφρώδης τῶν πεδίων, ἡ δ' ὀρεινὴ καὶ πετρώδης μέλαινα ὡς ἂν ἐξ ἐπικαύσεως. εἰκάζουσι μὲν οὖν τινες ἐκ κεραυνοβολιῶν καὶ πρηστήρων συμβῆναι τοῦτο, καὶ οὐκ ὀκνοῦσι τὰ περὶ τὸν Τυφῶνα ἐνταῦθα μυθολογεῖν. Ξάνθος δὲ καὶ Ἀριμοῦν τινα λέγει τῶν τόπων τούτων βασιλέα. οὐκ εὔλογον δὲ ὑπὸ τοιούτων παθῶν τὴν τοσαύτην χώραν ἐμπρησθῆναι ἀθρόως, ἀλλὰ μᾶλλον ὑπὸ γηγενοῦς πυρός, ἐκλιπεῖν δὲ νῦν τὰς πηγάς.

14 (5) STRABON 14, 5, 29 p. 680: ἔτι καὶ ταῦτα μέμψαιτο ἄν τις τοῦ F 15; 21

---

2 φασί AC   7 εἰδέναι: ἰδεῖν A (*s.l.* 'inde nogh')   λίθον τε καὶ κογχυλιώδη (s.l. λίθους τε κοχλιώδεις) A λίθους τε κογχυλιώδεις B(?)   9 Ματιηνοῖς Kramer ματτιηνοῖς o   18-25: zweifelhaft, ob X. mehr gehört als vv. 18-21 (καὶ δὴ καὶ – γῆς)   22 ὑπόβρωμον Scal ὑπόνοσον Cor ἐπίνοσον? Kramer   24 ἁλόντος Xyl ἁλόντες o

Ἀπολλοδώρου (244 F 170: über die wohnsitze der ἐκ τῆς Ἀσίας ἐπίκουροι τῶν Τρώων), ὅτι τῶν νεωτέρων καινοτομούντων πολλὰ παρὰ τὰς Ὁμηρικὰς ἀποφάσεις, εἰωθὼς ταῦτ' ἐλέγχειν ἐπὶ πλέον, ἐνταῦθα οὐκ ὠλιγώρηκε μόνον, ἀλλὰ καὶ τἀναντία εἰς ἓν συνάγει τὰ μὴ ὡσαύτως λεγόμενα. ὁ μὲν γὰρ Ξάνθος ὁ Λυδὸς μετὰ τὰ Τρωικά φησιν ἐλθεῖν τοὺς Φρύγας ἐκ τῆς Εὐρώπης καὶ τῶν ἀριστερῶν τοῦ Πόντου, ἀγαγεῖν δ' αὐτοὺς Σκαμάνδριον ἐκ Βερεκύντων καὶ Ἀσκανίας. ἐπιλέγει δὲ τούτοις ὁ Ἀπολλόδωρος, ὅτι τῆς Ἀσκανίας ταύτης μνημονεύει καὶ Ὅμηρος, ἧς ὁ Ξάνθος, «Φόρκυς δὲ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοειδὴς / τῆλ' ἐξ Ἀσκανίης» (*Il.* B 862 f.). ἀλλ' εἰ οὕτως ἔχει, ἡ μὲν μετανάστασις ὕστερον ἂν εἴη τῶν Τρωικῶν γεγονυῖα, ἐν δὲ τοῖς Τρωικοῖς τὸ λεγόμενον ὑπὸ τοῦ ποιητοῦ ἐπικουρικὸν ἧκεν ἐκ τῆς περαίας ἐκ τῶν Βερεκύντων καὶ τῆς Ἀσκανίας. τίνες οὖν Φρύγες ἦσαν «οἵ ῥα τότ' ἐστρατόωντο παρ' ὄχθας Σαγγαρίοιο» (Γ 187), ὅτε ὁ Πρίαμος «ἐπίκουρος ἐὼν μετὰ τοῖσιν ἐλέγμην» φησί; πῶς δὲ ἐκ μὲν Βερεκύντων μετεπέμπετο Φρύγας ὁ Πρίαμος, πρὸς οὓς οὐδὲν ἦν αὐτῶι συμβόλαιον, τοὺς δ' ὁμόρους καὶ οἷς αὐτὸς πρότερον ἐπεκούρησε παρέλιπεν; οὕτω δὲ περὶ τῶν Φρυγῶν εἰπὼν ἐπιφέρει καὶ τὰ περὶ τῶν Μυσῶν οὐχ ὁμολογούμενα τούτοις. λέγεσθαι γάρ φησι καὶ τῆς Μυσίας κώμην Ἀσκανίαν περὶ λίμνην ὁμώνυμον, ἐξ ἧς καὶ τὸν Ἀσκάνιον ποταμὸν ῥεῖν . . . . . εἰ οὖν οὕτως ἔχει ταῦτα . . ., τί ἐκώλυε τὸν Ὅμηρον ταύτης μεμνῆσθαι τῆς Ἀσκανίας, ἀλλὰ μὴ τῆς ὑπὸ Ξάνθου λεγομένης;

15 (8) STRABON 12, 8, 3 p. 572: καὶ οἱ Λυδοὶ καὶ οἱ Μαίονες, οὓς Ὅμηρος (*Il.* B 864/6) καλεῖ Μήιονας, ἐν συγχύσει πώς εἰσι καὶ πρὸς τούτους (die Myser) καὶ πρὸς ἀλλήλους· <πρὸς μὲν ἀλλήλους> ὅτι οἱ μὲν τοὺς αὐτούς, οἱ δ' ἑτέρους φασί, πρὸς δὲ τούτους ὅτι τοὺς Μυσοὺς οἱ μὲν Θρᾶικας, οἱ δὲ Λυδοὺς εἰρήκασι, κατ' αἰτίαν παλαιὰν ἱστοροῦντες, ἣν Ξάνθος ὁ Λυδὸς γράφει καὶ Μενεκράτης ὁ Ἐλαΐτης (IV), ἐτυμολογοῦντες καὶ τὸ ὄνομα τὸ τῶν Μυσῶν, ὅτι τὴν ὀξύην οὕτως ὀνομάζουσιν οἱ Λυδοί· πολλὴ δ' ἡ ὀξύη κατὰ τὸν Ὄλυμπον, ὅπου ἐκτεθῆναί φασι τοὺς δεκατευθέντας. ἐκείνων δὲ ἀπογόνους εἶναι τοὺς ὕστερον Μυσούς, ἀπὸ τῆς ὀξύης οὕτω προσαγορευθέντας. μαρτυρεῖν δὲ καὶ τὴν διάλεκτον· μιξολύδιον γάρ πως εἶναι καὶ μιξοφρύγιον. τέως μὲν γὰρ οἰκεῖν αὐτοὺς περὶ τὸν Ὄλυμπον, τῶν δὲ Φρυγῶν ἐκ τῆς Θρᾴκης περαιωθέντων ἀνελόντων τε τὸν τῆς Τροίας ἄρχοντα καὶ τῆς πλησίον γῆς, ἐκείνους μὲν ἐνταῦθα οἰκῆσαι, τοὺς δὲ Μυσοὺς ὑπὲρ τὰς τοῦ Καΐκου πηγὰς πλησίον Λυδῶν.

16 (1-2) DION. HAL. *A.R.* 1, 28, 2: Ξάνθος δὲ ὁ Λυδὸς (T 8) . . . οὔτε

12 καὶ τῶν E <οἱ> Φρύγες Cor 14 ἐλέχθην Hom 17 μὲν γὰρ F 20 Λυδοὶ <δὲ> Cor 22 <πρὸς μ. ἀ.> Kramer <πρὸς ἀ. μ.> Cor 23 τούτους Cor τούτοις o 24 εἰρήκασι Exc εἰ. δὲ r 24-34: eigentum des X. und Menekrates nicht zu sondern 32 ἀνελόντων (ἑλόντων Groskurd) τε τὸν Cor εἵλοντο τόν (del. Kramer) τε Cor 34 περὶ τὰς Mue

Τυρρηνὸν ὠνόμακεν οὐδαμοῦ τῆς γραφῆς δυνάστην Λυδῶν, οὔτε ἀποικίαν Μηιόνων εἰς Ἰταλίαν κατασχοῦσαν ἐπίσταται, Τυρρηνίας τε μνήμην ὡς Λυδῶν ἀποκτίσεως, ταπεινοτέρων ἄλλων μεμνημένος, οὐδεμίαν πεποίηται. Ἄτυος δὲ παῖδας γενέσθαι λέγει Λυδὸν καὶ Τόρηβον· τούτους δὲ μερισαμένους τὴν πατρώιαν ἀρχὴν ἐν Ἀσίαι καταμεῖναι ἀμφοτέρους, καὶ τοῖς ἔθνεσιν ὧν ἦρξαν ἐπ' ἐκείνων φησὶ τεθῆναι τὰς ὀνομασίας, λέγων ὧδε· «ἀπὸ Λυδοῦ μὲν γίνονται Λυδοί, ἀπὸ Τορήβου δὲ Τόρηβοι. τούτων ἡ γλῶσσα ὀλίγον παραφέρει, καὶ νῦν ἔτι σιλλοῦσιν ἀλλήλους ῥήματα οὐκ ὀλίγα, ὥσπερ Ἴωνες καὶ Δωριεῖς».

17 (11) a) ATHEN. 8, 37 p. 346 E: καὶ μικρὸν προελθὼν πάλιν φησὶν (Mnaseas)· «ἡ δέ γε Ἀταργάτις, ὥσπερ Ξάνθος λέγει ὁ Λυδός, ὑπὸ Μόξου τοῦ Λυδοῦ ἁλοῦσα κατεποντίσθη μετὰ Ἰχθύος τοῦ υἱοῦ ἐν τῆι περὶ Ἀσκάλωνα λίμνηι διὰ τὴν ὕβριν, καὶ ὑπὸ τῶν ἰχθύων κατεβρώθη». b) HESYCH. s.v. Ἀτταγάθη· Ἀθάρη παρὰ τῶι Ξάνθωι. F 8?

18 (12) ATHEN. 10, 8 p. 415 CD: Ξάνθος δ' ἐν τοῖς Λυδιακοῖς Κάμβλητά φησι τὸν βασιλεύσαντα Λυδῶν πολυφάγον γενέσθαι καὶ πολυπότην, ἔτι δὲ γαστρίμαργον. τοῦτον οὖν ποτε νυκτὸς τὴν ἑαυτοῦ γυναῖκα κατακρεουργήσαντα καταφαγεῖν, ἔπειτα πρωὶ εὑρόντα τὴν χεῖρα τῆς γυναικὸς ἐνοῦσαν ἐν τῶι στόματι ἑαυτὸν ἀποσφάξαι, περιβοήτου τῆς πράξεως γενομένης.

19 (10) SUDA s.v. Ξάνθος· (T 1; F 4 b) οὗτος ἱστορεῖ ὁ Ξάνθος, Ἄλκιμόν τινα βασιλεῦσαι τῆς ἐκεῖσε χώρας, εὐσεβέστατον καὶ πραότατον ἄνδρα, καὶ ἐπ' αὐτοῦ γενέσθαι εἰρήνην βαθεῖαν καὶ πλοῦτον πολύν, ἀδεῶς δὲ καὶ ἀνεπιβουλεύτως ζῆν ἕκαστον. εἶτα ἐπειδὴ ἑπτὰ (?) ἔτη ἦν τῶι Ἀλκίμωι, προελθόντας τοὺς Λυδοὺς παγγενῆ τε καὶ πανδημεὶ προσεύξασθαι καὶ αἰτῆσαι τῶι Ἀλκίμωι τοσαῦτα ἔτη δοθῆναι ἐς τὸ Λυδῶν ἀγαθόν. ὃ καὶ γέγονε· καὶ ἐν εὐποτμίαι τε καὶ εὐδαιμονίαι πολλῆι διῆγον.

20 (13) a) PARTHEN. *Narr. am.* 33: Περὶ Ἀσσάονος. ἱστορεῖ Ξάνθος Λυδιακοῖς καὶ Νεάνθης β̄ (84 F 6) καὶ Σιμίας ὁ Ῥόδιος (F 16 Frä).

Διαφόρως δὲ [καὶ] τοῖς πολλοῖς ἱστορεῖται καὶ τὰ Νιόβης· οὐ γὰρ Ταντάλου

---

2 τε: δὲ B 3 ἀποκτίσεως (cf. 1, 49, 1) Ba(?), Cobet ἀποικήσεως r 4 τόρημον B Τόρρηβος Steph. Byz. s.v. (= Nikol. Dam. 90 F 15) 7 ἡ om. A 8 σιλλοῦσιν A σίλλουσιν B ζηλοῦσιν ἀ. <εἰς> ῥ. Rei συλῶσιν Ritschl συνάιδουσιν C. Jacoby ἀλλήλοις Mei, Sintenis 10 προελθὼν ς προσ- A 12 Μόξου (Nikol. Dam. 90 F 16) Mue Μόψου Ath 14 Ἀθάρη: Ἀθάρα Strab. 16, 4, 27 (s. Ktesias 688 F 1 d). anders Latte Hesych. Lex. I p. 499 16 Κάμβλητα (Κάμβητα Aelian. *V.H.* 1, 27; Κάμβυσις Eust. *Od.* p. 1630, 15) Ath Καμβλίτας (?) Nikol. Dam. 90 F 22 21 Ἄλκιμον: (Ἀκιαμός F 8?) Ἀκίμιος Nikol. Dam. 90 F 44 § 10 ἐκεῖσε: ἐκεῖθεν A 23 ἑπτὰ: ἑβδομήκοντα (ο. ξ?) Wachsmuth 24: πανδημεὶ δὲ καὶ παγγενῆ ἦλθον οἱ Λυδοὶ παρακαλοῦντες Suda s.v. πανδημεί 25 τοσαῦτα Wachsmuth τοιαῦτα o 28 Νεάνθης Heyne νέανθος P Σιμίας Cobet σιμμίας P 29 [καὶ] Mei

(F 8) φασὶν γενέσθαι, ἀλλ' Ἀσσάονος μὲν θυγατέρα, Φιλόττου δὲ γυναῖκα. εἰς ἔριν δὲ ἀφικομένην Λητοῖ περὶ καλλιτεχνίας ὑποσχεῖν τίσιν τοιάνδε. (2) τὸν μὲν Φίλοττον ἐν κυνηγίαι διαφθαρῆναι, τὸν δὲ Ἀσσάονα τῆς θυγατρὸς πόθωι σχόμενον αὐτὴν αὐτῶι γήμασθαι· μὴ ἐνδιδούσης δὲ τῆς Νιόβης, τοὺς παῖδας αὐτῆς εἰς εὐωχίαν καλέσαντα καταπρῆσαι. (3) καὶ τὴν μὲν διὰ ταύτην τὴν συμφορὰν ἀπὸ πέτρας ὑψηλοτάτης αὐτὴν ῥῖψαι, ἔννοιαν δὲ λαβόντα τῶν σφετέρων ἁμαρτημάτων διαχρήσασθαι τὸν Ἀσσάονα ἑαυτόν. *b) Schol. B Eust. Hom. *Il.* Ω 617: ὁ δὲ Λυδός φησιν, ὅτι Ἀσωνίδης ἐρασθεὶς αὐτῆς, μὴ πεισθείσης τὸν οἶκον ἐνέπρησεν· ἡ δὲ φεύγουσα εὔξατο λιθωθῆναι, καὶ ἐλιθώθη. c) Schol. Eurip. *Phoen.* 159: Ξάνθος δὲ ὁ Λυδὸς δέκα καὶ δέκα (*scil.* παῖδας ἔχειν τὴν Νιόβην) ἐκ Φιλόττου τοῦ Ἀσσυρίου, ὃς ᾤκει ἐν Σιπύλωι, ὃς ἀνῃρέθη ἐν κυνηγεσίωι ὑπὸ ἄρκτου. *d) Schol. T Hom. *Il.* Ω 602: ἐκαλεῖτο (*scil.* ἡ Νιόβη) δὲ παρὰ Λυδοῖς Ἐλύμην.

21 (IV 628) Schol. Eurip. *Androm.* 10: ῥιφέντα πύργων Ἀστυάνακτα F 14/5
ἀπ' ὀρθίων, / ἐπεὶ τὸ Τροίας εἷλον Ἕλληνες πέδον] Λυσανίας κατηγορεῖ Εὐριπίδου, κακῶς λέγων αὐτὸν ἐξειληφέναι τὸ παρ' Ὁμήρωι (*Il.* Ω 734/5) λεχθὲν «ἤ τις Ἀχαιῶν ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου» οὐχ ὡς πάντως γενόμενον ἀλλ' εἰκαζόμενον, ὡσεὶ ἔλεγε κατακαυθήσεσθαι τὸν παῖδα ἤ τι ἄλλο. Ξάνθον δὲ τὸν τὰ Λυδιακὰ γράψαντα * * φασὶν ὅτι * * ὁ Εὐριπίδης Ξάνθωι προσέχειν περὶ τῶν Τρωικῶν μύθων, τοῖς δὲ χρησιμωτέροις καὶ ἀξιοπιστοτέροις· Στησίχορον (F 20 Bgk[4]) μὲν γὰρ ἱστορεῖν ὅτι τεθνήκοι, καὶ τὸν τὴν Περσίδα συντεταχότα κυκλικὸν ποιητὴν (F 2 Ki) ὅτι καὶ ἀπὸ τοῦ τείχους ῥιφθείη, ὧι ἠκολουθηκέναι Εὐριπίδην. εἰσί γε μὲν οἵ φασιν αὐτὸν καὶ πόλεις οἰκίσαι καὶ βασιλεῦσαι, ὧν τὰς δόξας Λυσίμαχος ἐν τῶι δευτέρωι τῶν Νόστων (382 F 9) ἀνέγραψεν . . . . .

22 (IV 629) Hesych. s.v. βουλεψίη· ἡ λέξις παρὰ Ξάνθωι. λέγει δὲ τὰς Ἀμαζόνας ἐπειδὰν τέκωσιν ἄρρεν, ἐξορύσσειν αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτοχειρίαι.

23 (IV 629) Lydus *De mens.* 3, 20: ὅτι δὲ τὸν ἐνιαυτὸν ὡς θεὸν ἐτίμησαν,

---

1 φασί <τινες> Rohde 4 ἐχόμενον Scal γήμασθαι <βούλεσθαι> Zangoiannes 6-7 λαβόντων (*scil.* τῶν Λυδῶν; cf. F 18) τῶν † σφετ.? 9 πειθομένης Eust 10 δὲ om. MT λύδιος A[1]B 10-11 καὶ δέκα om. MT 11 Φιλόττου θυ(γατέρα) οὖσαν Ἀσσάονος Valck φιλοξένου τοῦ ἀσσυρίου o 12 Σιπύλωι: 'post Σ. spatium fere 2 versuum' B 13 Ἐλυμηνή? Wil 17-18 γενησόμενον Cobet 18 εἰκαζόμενον O εἰ. ἐστὶν M ὡς εἰ. ἔστιν ἀπ' αὐτῆς A 19-21 Ξάνθον – ἀξιοπιστοτέροις om. A 19 ταλυδικὰ O γράψαντα * * Wil φασὶν (φησὶν O) ὅτι <οὐκ ἐβούλετο> Schwartz 20 ξάνθω O . . . θω M 21 γνησιμωτέροις καὶ ἀξιοπίστοις O Στησίχορον – ἱστορεῖν Cobet -ος -ἱστορεῖ o 23 ἠκολουθηκέναι Εὐριπίδην Schwartz -θησεν – πίδης (comp.) OM 24 οἰκίσαι M οἰκῆσαι O 25 ἀνέγραψεν Schwartz συγγράπται O συγγράψαι M συγγράφει Radtke 27 αὐτοῦ τοὺς Mus αὐτο ου τους M

δῆλον ἐξ αὐτῆς τῆς Λυδῶν βασιλίδος πόλεως· Σάρδιν γὰρ αὐτὴν καὶ Ξυάριν ὁ Ξάνθος καλεῖ. τὸ δὲ Σάρδιν ὄνομα εἴ τις κατὰ ἀριθμὸν ἀπολογίσεται, πέντε καὶ ἑξήκοντα καὶ τριακοσίας εὑρήσει συνάγων μονάδας, ὡς κἀντεῦθεν εἶναι δῆλον, πρὸς τιμὴν Ἡλίου τοῦ τοσαύταις ἡμέραις τὸν ἐνιαυτὸν συνάγοντος Σάρδιν ὠνομασθῆναι τὴν πόλιν. νέον δὲ σάρδιν τὸ νέον ἔτος ἔτι καὶ νῦν λέγεσθαι τῶι πλήθει συνομολογεῖται· εἰσὶ δὲ οἵ φασι τῆι Λυδῶν ἀρχαίαι φωνῆι τὸν ἐνιαυτὸν καλεῖσθαι σάρδιν.

24 (IV 629) HEPHAISTION *Enchir.* p. 5, 22 Consbr: Πάσνης καὶ Μάσνης, ἃ δὴ ὀνόματα <ποταμῶν?> παρὰ Ξάνθωι εἰσὶν ἐν τοῖς Λυδιακοῖς.

25 (26) STEPH. BYZ. s.v. Ἔλγος· πόλις Λυδίας, ὡς Ξάνθος ἐν Λυδιακοῖς. τὸ ἐθνικὸν Ἔλγιος καὶ Ἐλγαῖος.

26 (6) STEPH. BYZ. s.v. Λόκοζος· πόλις Φρυγίας, ἣν ᾤκουν Θρᾶικες Λοκόζιοι. κατεκλύσθη δέ, ὡς Ξάνθος <ὁ> Λυδός, ὃς καὶ διὰ τοῦ ξ γράφει † ἐν τόποις Λοκοξίτας τούτους καλῶν.

27 (25) STEPH. BYZ. s.v. Μελάμπεια· πόλις Λυδίας ἀπὸ Μελάμπου, ὡς Ξάνθος ἐν Λυδιακοῖς. τὸ ἐθνικὸν Μελαμπεύς.

28 (7) SCHOL. APOLL. RHOD. 2, 722: πλησίον δὲ αὐτοῦ (*scil.* τοῦ Σαγγαρίου ποταμοῦ) Ὀρείας Μητρὸς ἱερόν ἐστιν, ὥς φησι Ξάνθος.

29 (9) ET. M. p. 376, 1: Ἑρμαῖον· τὸν σωρὸν τῶν λίθων, καὶ συνόλως τοὺς ἐνοδίους λίθους. λέγει δὲ περὶ αὐτῶν Ξάνθος, ὅτι ἀποκτείναντος Ἑρμοῦ τὸν Ἄργον, καὶ δίκας εἰσπραττομένου καὶ ὑπέχοντος ἐν τοῖς θεοῖς διὰ τὸ πρῶτον ἅψασθαι, τοὺς λοιποὺς ἀφοσιουμένους τὸ ἄγος † καὶ ἀπολύοντας τοῦ φόνου προσβάλλειν αὐτῶι τὴν ψῆφον· ὅθεν διαμένειν ἔτι καὶ νῦν.

30 (27) CLEM. AL. *Strom.* 1, 131, 7: Ξάνθος δὲ ὁ Λυδὸς περὶ τὴν ὀκτωκαιδεκάτην ὀλυμπιάδα (708/5) – ὡς δὲ Διονύσιος (251 F 3) περὶ τὴν πεντεκαιδεκάτην (720/17) – Θάσον ἐκτίσθαι, ὡς εἶναι συμφανὲς τὸν Ἀρχίλοχον μετὰ τὴν εἰκοστὴν ἤδη γνωρίζεσθαι ὀλυμπιάδα (700/697).

2. ΜΑΓΙΚΑ

31 (28) CLEM. AL. *Strom.* 3, 11, 1: Ξάνθος δὲ ἐν τοῖς ἐπιγραφο-

---

4 ἡελίου B 5 νέον δὲ A νέου δὲ B 7-8: Et. M. p. 249, 17 καὶ Πάσνης καὶ Μάσνης ὀνόματα ποταμῶν 10 λυδίας o Λυχίας Xyl 10-11 Λυδιακοῖς Ddf λουκιανοῖς RP λευκτανοῖς V 12-13 Θρᾶικες Λοκόζιοι: cf. s.v. Λυχόζεια· πόλις Θράικης· τὸ ἐθνικὸν Λυκόζειοι, ὡς Πείσανδρος ιδ 13 <ὁ> v 13-14 ἐν τοῖς πατρίοις Holste ἐκτόπως Gutschmid ἐντοπίως o. ἐντοπίωι τύπωι Mue 14 κολοξίτας V 16 Λυδιακοῖς Berkel, Holste λυκιακοῖς o 18 Ὀρείας Μητρὸς Wendel ὀρείας δήμητρος o Ῥέας Μητρὸς Hecker 20-23: text verkürzt (aus der ἱστορία Antikleides 140 F 19?); fraglich, ob und was davon X. ist (s. Nik. Dam. 90 F 44 § 8-9?) 22 ἅψασθαι <ἀνθρωπείου φόνου> Syl θνητοῦ μιάσματος (140 F 19) o.ä.? τὸ ἄγος, <διὰ δὲ τὸν Δία> ἀπολύοντας Syl <ἅμα> ἀφοσ. o. καί <περ> ἀπολ.? 26 συμφανὲς Syl συμπαθὲς L 27 κατὰ τὴν Christ 28-p. 758, 16: Pseudepigrapha?

μένοις Μαγικοῖς «μίγνυνται δὲ» φησὶν «οἱ μάγοι μητράσι»· καὶ θυγατράσι καὶ ἀδελφαῖς μίγνυσθαι θεμιτὸν εἶναι, κοινάς τε εἶναι τὰς γυναῖκας, οὐ βίαι καὶ λάθραι ἀλλὰ συναινούντων ἀμφοτέρων, ὅταν θέληι γῆμαι ὁ ἕτερος τὴν τοῦ ἑτέρου.

* **32** (29) Diog. Laert. 1, 2: ἀπὸ δὲ τῶν μάγων, ὧν ἄρξαι Ζωροάστρην τὸν Πέρσην, Ἑρμόδωρος μὲν ὁ Πλατωνικὸς ἐν τῶι Περὶ μαθημάτων (IV) φησὶν εἰς τὴν Τροίας ἅλωσιν ἔτη γεγονέναι πεντακισχίλια – Ξάνθος δὲ ὁ Λυδὸς εἰς τὴν Ξέρξου διάβασιν ἀπὸ τοῦ Ζωροάστρου ἑξακισχίλιά φησι –, καὶ μετ' αὐτὸν γεγονέναι πολλούς τινας μάγους κατὰ διαδοχὴν (Ὀστάνας καὶ Ἀστραμψύχους καὶ Γωβρύας καὶ Παζάτας) μέχρι τῆς τῶν Περσῶν ὑπ' Ἀλεξάνδρου καταλύσεως.

3. ΠΕΡΙ ΕΜΠΕΔΟΚΛΕΟΥΣ

33 (30) Diog. Laert. 8, 63: φησὶ δ' αὐτὸν (*scil.* Ἐμπεδοκλέα) καὶ Ἀριστοτέλης (F 66 Ro: IV) ἐλεύθερον γεγονέναι καὶ πάσης ἀρχῆς ἀλλότριον, εἴ γε τὴν βασιλείαν αὐτῶι διδομένην παρῃτήσατο, καθάπερ Ξάνθος ἐν τοῖς περὶ αὐτοῦ λέγει, τὴν λιτότητα δηλονότι πλέον ἀγαπήσας.

766. MENIPPOS

Vor c. 100

ΤΑ ΠΕΡΙ ΛΥΔΩΝ

765 T 7.

767. XENOPHILOS

Hellenist. Zeit?

ΛΥΔΙΚΑΙ ΙΣΤΟΡΙΑΙ

1 (IV 530) Anon. De Mul. 9 p. 216 West.: Λύδη. ταύτην φησὶν Ξενόφιλος ὁ τὰς Λυδικὰς ἱστορίας γράψας γυναῖκά τε καὶ ἀδελφὴν εἶναι Ἀλυάτεω τοῦ Κροίσου προπάτορος. ταύτης υἱὸς Ἀλυάτης διαδεξάμενος τὴν τοῦ πατρὸς βασιλείαν ἐγένετο δεινῶς ὑβριστής, ὡς καὶ τὰ ἱμάτια ἀξιολόγων ἀνδρῶν περισχίσαι, καὶ προσπτύειν πολλοῖς· αὐτὴ δὲ τὸν υἱὸν ὅσον ἐδύνατο κατέστελλεν, τοὺς δὲ ὑβριζομένους καὶ λόγοις χρηστοῖς καὶ ἔργοις ἠμείβετο. πᾶσαν δὲ τῶι υἱῶι φιλοφροσύνην προσφέρουσα εἰς στοργὴν ἑαυτῆς πολλὴν αὐτὸν περιέτρεψε. νομίσασα δὲ αὐταρκῶς ἀγαπᾶσθαι, σκηψαμένη ἀσθένειαν σίτου καὶ τῶν λοιπῶν ἀπέσχετο, τὸν δὲ παρεδρεύοντα καὶ ὁμοίως ἀσιτοῦντα κατασταλῆναι, καὶ εἰς τοῦτο μεταβάλλεσθαι, ὥστε (φησίν) ὀρθότατον καὶ δικαιότατον αὐτὸν γενέσθαι.

1(-2) «μίγνυνται – μητράσι» Jac μίγνυνται – θυγατράσι· Mue ἀποφαίνονται (ἡγοῦνται Stählin) δὲ – θεμιτὸν εἶναι Schwartz 7-9 Ξάνθος – φησι 'parenthese' Gutschmid; eher zusatz des Diogenes als citat Hermodors 8-9 ἑξακισχίλια P ἑξακόσια SF 15-16 εἴ γε – λέγει: einschub in das Aristotelescitat? 24 Ἀλυάτεω: Σαδυάττεω (Herodt. 1, 16, 1; cf. Nikol. Dam. 90 F 63/4) Heeren 31 τοῦτο: τοσοῦτο?

—. DOSITHEOS
ΛΥΔΙΑΚΑ

290 F 5.

—. CHRISTODOROS VON KOPTOS 491/518[p]
ΛΥΔΙΑΚΑ

283 F 1.

768. ANHANG

1 Exc. De Virtut. I p. 343, 6 (= Nikol. Dam. 90 F 62): ὅτι Μάγνης ἦν ἀνὴρ Σμυρναῖος . . . ποιήσει τε καὶ μουσικῆι δόκιμος . . . . περιήιει τε τὰς πόλεις ἐπιδεικνύμενος τὴν ποίησιν. τούτου δὲ πολλοὶ μὲν καὶ ἄλλοι ἤρων, Γύγης δὲ καὶ μᾶλλόν τι ἐφλέγετο, καὶ αὐτὸν εἶχε παιδικά. γυναῖκάς γε μὴν πάσας ἐξέμηνεν . . . μάλιστα δὲ τὰς Μαγνητῶν . . . οἱ δὲ τούτων συγγενεῖς . . . . πρόφασιν ποιησάμενοι ὅτι ἐν τοῖς ἔπεσιν ἦισεν ὁ Μάγνης Λυδῶν ἀριστείαν ἐν ἱππομαχίαι πρὸς Ἀμαζόνας, αὐτῶν δὲ οὐδὲν ἐμνήσθη, . . . πᾶσαν λώβην προσέθεσαν. ἐφ' οἷς ἤλγησε μάλιστα Γύγης, καὶ πολλάκις μὲν ἐς τὴν Μαγνητῶν γῆν ἐνέβαλεν, τέλος δὲ καὶ χειροῦται τὴν πόλιν.

2 Suda s.v. (Μαρσύας Κριτοφήμου Φιλιππεύς· ἱστορικός, ὁ νεώτερος.) Μαρσύας Μάρσου Ταβηνός· ἱστορικός· (ἔγραψεν Ἀρχαιολογίαν ἐν βιβλίοις ιβ· Μυθικὰ ἐν βιβλίοις ζ· καὶ ἕτερά τινα) Περὶ τῆς ἰδίας πατρίδος (?).

3 P. Ox. XV 1802 fr. 3 col. II 46: Μερμνάδαι· οἱ τρίορχοι παρὰ Λυδοῖς· Ἄνδρων (?) ἐ[ν. τοῦ πολέ(?)] / μου τοῦ πρὸς τοὺς βαρβάρους.

4 Exc. De Insid. p. 12, 17 ff. (= Nikol. Dam. 90 F 44 § 7): Σπέρμης μὲν οὕτως ἐτελεύτησεν, βασιλεύσας ἔτη δύω· ἐν δὲ τοῖς βασιλείοις οὐκ ἀναγράφεται.

5 Herodt. 4, 45, 3: ἡ δὲ Ἀσίη ἐπὶ τῆς Προμηθέος γυναικὸς τὴν ἐπωνυμίην (*scil.* ἔχειν λέγεται ὑπὸ τῶν πολλῶν Ἑλλήνων)· καὶ τούτου μὲν μεταλαμβάνονται τοῦ οὐνόματος Λυδοί, φάμενοι ἐπὶ Ἀσίεω τοῦ Κότυος τοῦ Μάνεω κεκλῆσθαι τὴν Ἀσίην, ἀλλ' οὐκ ἐπὶ τῆς Προμηθέος Ἀσίης· ἐπ' ὅτευ καὶ τὴν ἐν Σάρδισι φυλὴν κεκλῆσθαι Ἀσιάδα.

6 Herodt. 1, 94, 1: πρῶτοι δὲ ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν νόμισμα χρυσοῦ καὶ ἀργύρου κοψάμενοι ἐχρήσαντο (die Lyder), πρῶτοι δὲ καὶ κάπηλοι ἐγένοντο. (2) φασὶ δὲ αὐτοὶ Λυδοὶ καὶ τὰς παιγνίας τὰς νῦν σφίσι τε καὶ Ἕλλησι κατεστεώσας ἑωυτῶν ἐξεύρημα γενέσθαι. ἅμα δὲ ταύτας τε ἐξευρεθῆναι παρὰ σφίσι λέγουσι καὶ Τυρσηνίην ἀποικίσαι, ὧδε περὶ αὐτῶν λέγοντες· (3) ἐπὶ Ἄτυος τοῦ Μάνεω βασιλέος führt sein sohn Tyrsenos bei einer grossen hungersnot, die viele jahre anhält, die hälfte des volkes ἐς Ὀμβρικούς, während Atys mit der anderen hälfte in Lydien bleibt (s. 706 F 21).

8 (12) μάγνης Sud s.v. μάγνις (u. μάρις) Exc 10 καὶ μᾶλλον Sud καὶ om. Exc 12 τούτων Val τούτου Exc Sud 14 ἐς Sud εἰς Exc 15 δὲ καὶ Sud καὶ om. Exc 16-18: s. zu 135/6 T 2 19-20 Hesych. s.v. μέρμνης· τρίορχος 19 Ἄνδρων ἐ[ν Hunt ανδρον.(?) P (Andronikos 'possible, but not attractive') 21 Σπέρμος (§ 4-6) Mue 24 (27) ἐπὶ **a** ἀπὸ **d** γυναικὸς o μητρὸς Eust. Dion. Per. 270 26 ἐπὶ ἀσίεω τοῦ κότυος (βότυος RSV) τοῦ μάνεω (μάν + εω D) o ἐπὶ ἀσίεω(ς) τοῦ ἄτυος Eust 27 ἐπ' **d** ἀπ' **a** 28 πρῶτοι δὲ **a** λυδοὶ γὰρ δὴ καὶ πρῶτοι **d** 32 ἀποικίσθαι Dobree ἄτυος (ἄστυος B) τοῦ μάνεω o

7 a) Herodt. 1, 93, 5: (beschreibung des grabes des Alyattes, vaters des Kroisos) λίμνη δὲ ἔχεται τοῦ σήματος μεγάλη, τὴν λέγουσι Λυδοὶ ἀείναον εἶναι· καλέεται δὲ αὕτη Γυγαίη. b) Strabon 13, 4, 7 p. 627: χειροποίητον δὲ τὴν λίμνην ἔνιοι ἱστοροῦσι τὴν Κολόην πρὸς τὰς ἐκδοχὰς τῶν πλημμυρίδων, αἳ συμβαίνουσι τῶν ποταμῶν πληρουμένων. c) – 13, 4, 5 p. 626: ἐν δὲ σταδίοις τετταράκοντα ἀπὸ τῆς πόλεώς (Sardes) ἐστιν ἡ Γυγαία μὲν ὑπὸ τοῦ ποιητοῦ (*Il.* B 865; Y 390 f.) λεγομένη <λίμνη>, Κολόη δ' ὕστερον μετονομασθεῖσα, ὅπου τὸ ἱερὸν τῆς Κολοηνῆς Ἀρτέμιδος, μεγάλην ἁγιστείαν ἔχον· φασὶ δ' ἐνταῦθα χορεύειν τοὺς καλάθους κατὰ τὰς ἑορτάς, οὐκ οἶδ' ὅπως ποτὲ παραδοξολογοῦντες μᾶλλον ἢ ἀληθεύοντες.

8 Herodt. 1, 87, 1: (Kyros' befehl den scheiterhaufen des Kroisos zu löschen) ἐνθαῦτα λέγεται ὑπὸ Λυδῶν Κροῖσον μαθόντα τὴν Κύρου μετάγνωσιν ὡς ὥρα πάντα μὲν ἄνδρα σβεννύντα τὸ πῦρ, δυναμένους δὲ οὐκέτι καταλαβεῖν, ἐπιβώσασθαι τὸν Ἀπόλλωνα ἐπικαλεόμενον, εἴ τί οἱ κεχαρισμένον ἐξ αὐτοῦ ἐδωρήθη, παραστῆναι καὶ ῥύσασθαί μιν ἐκ τοῦ παρεόντος κακοῦ. (2) τὸν μὲν δακρύοντα ἐπικαλέεσθαι τὸν θεόν, ἐκ δὲ αἰθρίης τε καὶ νηνεμίης συνδραμεῖν ἐξαπίνης νέφεα, καὶ χειμῶνά τε καταρραγῆναι, καὶ ὗσαι ὕδατι λαβροτάτωι, κατασβεσθῆναί τε τὴν πυρήν. οὕτω δὴ μαθόντα τὸν Κῦρον ὡς εἴη ὁ Κροῖσος καὶ θεοφιλὴς καὶ ἀνὴρ ἀγαθὸς κτλ.

9 Dion. Hal. *A.R.* 1, 27: οἱ δὲ μετανάστας μυθολογοῦντες αὐτοὺς (*scil.* τοὺς Τυρρηνούς; s. 706 F 20) ..... λέγοντες ἐκ Διὸς καὶ Γῆς Μάσνην γενέσθαι πρῶτον ἐν τῆι γῆι ταύτηι βασιλέα· τούτου δὲ καὶ Καλλιρόης τῆς Ὠκεανοῦ θυγατρὸς γεννηθῆναι Κότυν· τῶι δὲ Κότυι γήμαντι θυγατέρα Τύλου τοῦ γηγενοῦς Ἁλίην δύο γενέσθαι παῖδας Ἀσίην καὶ Ἄτυν· ἐκ δὲ Ἄτυος καὶ Καλλιθέας τῆς Χωραίου Λυδὸν φῦναι καὶ Τυρρηνόν.

10 Herodt. 1, 7: ἡ δὲ ἡγεμονίη οὕτω περιῆλθε, ἐοῦσα Ἡρακλειδέων, ἐς τὸ γένος τὸ Κροίσου, καλεομένους δὲ Μερμνάδας. (2) ἦν Κανδαύλης, τὸν οἱ Ἕλληνες Μυρσίλον ὀνομάζουσι, τύραννος Σαρδίων, ἀπόγονος δὲ Ἀλκαίου τοῦ Ἡρακλέος· Ἄγρων μὲν γὰρ ὁ Νίνου τοῦ Βήλου τοῦ Ἀλκαίου πρῶτος Ἡρακλειδέων βασιλεὺς ἐγένετο Σαρδίων, Κανδαύλης δὲ ὁ Μύρσου ὕστατος. (3) οἱ δὲ πρότερον Ἄγρωνος βασιλεύσαντες ταύτης τῆς χώρης ἦσαν ἀπόγονοι Λυδοῦ τοῦ Ἄτυος, ἀπ' ὅτευ ὁ δῆμος Λύδιος ἐκλήθη ὁ πᾶς οὗτος, πρότερον Μηίων καλεόμενος. (4) παρὰ τούτων Ἡρακλεῖδαι ἐπιτραφθέντες ἔσχον τὴν ἀρχὴν ἐκ θεοπροπίου, ἐκ δούλης τε τῆς Ἰαρδάνου γεγονότες καὶ Ἡρακλέος, ἄρξαντες μὲν ἐπὶ δύο τε καὶ εἴκοσι γενεὰς ἀνδρῶν, ἔτεα πέντε τε καὶ πεντακόσια, παῖς παρὰ πατρὸς ἐκδεκόμενος τὴν ἀρχήν, μέχρι Κανδαύλεω τοῦ Μύρσου. (8-13 die Gygesgeschichte).

---

2 ἀένναον Hude αἰείναον Legrand 7 <λίμνη> Cor 8 καλάθους: καθόλου, καλάμους, πιθήκους (πιθάκνας Lobeck) ς 14 μιν **d** αὐτὸν **a** Exc 19 μάσνην o 20 <ἐκ> τούτου Sauppe τούτωι δ' ἐκ Kiessling τούτου – γενέσθαι Grasberger 21 Τύλου (765 F 3) Wil τύλλου o Ἁλίην (ἀλίην B): Μυιώ Christodor. 283 F 1 26-27 ὁ νίνου – ἀλκαίου om. **d** 30 μήιων, μηιῶν u.ä. **a** D[1] μήων **d** τούτων δὲ **d** 31 μὲν om. **d** 32 δύο καὶ **d** ἔτεα δὲ Stein

XXI. LYKIEN

769. MENEKRATES VON XANTHOS

s. IV[a] (nach 424)?

ΛΥΚΙΑΚΑ Ᾱ Β̄ (?)

1 (II 343, 1) STEPH. BYZ. s.v. Ἀρτύμνησος· πόλις Λυκίας, ἄποικος Ξανθίων· τὸ ἐθνικὸν Ἀρτυμνησεύς. Μενεκράτης ἐν ᾱ τῶν Λυκιακῶν φησιν ὅτι πολυανθρωπήσασαν τὴν Ξάνθον τοὺς † πρεσβύτας εἰς τρία μέρη διελεῖν· τούτων δὲ τοὺς μὲν ἐπὶ τὸν Κράγον ἐλθεῖν, καὶ οἰκίσαι ἐν τῶι ὄρει λόφον στρογγύλον [κατοικίσαι], καὶ καλέσαι τὴν πόλιν Πινάραν, ἣν μεθερμηνεύεσθαι στρογγύλην· τὰ γὰρ στρογγύλα πάντα Λύκιοι πίναρα καλοῦσιν.

2 (2) ANTON. LIB. *Met.* 35: Βουκόλοι. ἱστορεῖ Μενεκράτης Ξάνθιος Λυκιακοῖς καὶ Νίκανδρος (271/2 F 23). Λητὼ ἐπεὶ ἔτεκεν Ἀπόλλωνα καὶ Ἄρτεμιν ἐν Ἀστερίαι τῆι νήσωι, ἀφίκετο εἰς Λυκίαν ἐπιφερομένη τοὺς παῖδας ἐπὶ τὰ λουτρὰ τοῦ Ξάνθου· καὶ ἐπεὶ τάχιστα ἐγένετο ἐν τῆι γῆι ταύτηι, ἐνέτυχε πρῶτα Μελίτηι κρήνηι, καὶ προεθυμεῖτο πρὶν ἐπὶ τὸν Ξάνθον ἐλθεῖν ἐνταυθοῖ τοὺς παῖδας ἀπολοῦσαι. (2) ἐπεὶ δὲ αὐτὴν ἐξήλασαν ἄνδρες βουκόλοι, ὅπως ἂν αὐτοῖς οἱ βόες ἐκ τῆς κρήνης πίωσιν, ἀπαλλάττεται καταλιποῦσα τὴν Μελίτην ἡ Λητώ, λύκοι δὲ συναντόμενοι καὶ σήναντες ὑφηγήσαντο τῆς ὁδοῦ, καὶ ἀπήγαγον ἄχρι πρὸς τὸν ποταμὸν αὐτὴν τὸν Ξάνθον. (3) ἡ δὲ πιοῦσα τοῦ ὕδατος καὶ ἀπολούσασα τοὺς παῖδας τὸν μὲν Ξάνθον ἱερὸν ἀπέδειξεν Ἀπόλλωνος, τὴν δὲ γῆν Τρεμιλίδα λεγομένην Λυκίαν μετωνόμασεν ἀπὸ τῶν καθηγησαμένων λύκων. (4) ἐπὶ δὲ τὴν κρήνην αὖτις ἐξίκετο δίκην ἐπιβαλοῦσα τοῖς ἀπελάσασιν αὐτὴν βουκόλοις. καὶ οἱ μὲν ἀπέλουον τότε παρὰ τὴν κρήνην τοὺς βοῦς, Λητὼ δὲ μεταβαλοῦσα πάντας ἐποίησε βατράχους, καὶ λίθωι τραχεῖ τύπτουσα τὰ νῶτα καὶ τοὺς ὤμους κατέβαλε πάντας εἰς τὴν κρήνην, καὶ βίον ἔδωκεν αὐτοῖς καθ' ὕδατος· οἱ δὲ ἄχρι νῦν παρὰ ποταμοὺς βοῶσι καὶ λίμνας.

3 (4) DION. HAL. *A.R.* 1, 48: ὁ μὲν οὖν πιστότατος τῶν λόγων, ὧι κέχρηται τῶν παλαιῶν συγγραφέων Ἑλλάνικος ἐν τοῖς Τρωικοῖς (4 F 31), περὶ τῆς Αἰνείου φυγῆς τοιόσδε ἐστίν, εἴρηνται δὲ καὶ ἄλλοις τισὶ περὶ τῶν αὐτῶν οὐ κατὰ ταὐτὰ ἔχοντες λόγοι .... (2) Σοφοκλῆς μὲν ... ἐν Λαοκόωντι δράματι (F 344 N[2]) μελλούσης ἁλίσκεσθαι τῆς

4-9: korrupt und lückenhaft; s. Komm. 5 ἀρτιμνησεύς R 6 πολυανθρωπῆσαν RV πρεσβύτας: πολίτας? 7 τοὺς μὲν Holste τὴν μὲν (μ. om. V) O οἰκίσαι Pal (Salm?) οἰκῆσαι RP οἰκῖσαι V 8 στροΐγυλον P [κατοικίσαι (-κῆσαι P)] Salm καὶ κτίσαι? Mei πίναραν R -ρὰν V Πίναρα (Steph. Byz. s.v.)? Mei 9 καλοῦσιν * * ('exciderunt ea quae ad Artymnesum spectant') Mei 10-11 <ὁ> Ξάνθιος Martini 14 Μελίτηι κρήνηι: *Melam fontem* Probus Vergil. *Ge.* 1, 378 19 πιοῦσα – καὶ: s. Komm. 20 Τρεμιλίδα (273 F 137) Berkel τριμιλίδα P 22 ἀπέλουον τότε Oder ἀπελούοντο ἔτι P ἀπέλουον ἔτι Nauck 23 [πάντας]? 29 εἴρηται ABa ταῦτα B

πόλεως πεποίηκε τὸν Αἰνείαν ἀνασκευαζόμενον εἰς τὴν Ἴδην, κελευσθέντα ὑπὸ τοῦ πατρὸς Ἀγχίσου κατὰ τὴν μνήμην ὧν Ἀφροδίτη ἐπέσκηψε καὶ ἀπὸ τῶν νεωστὶ γενομένων περὶ τοὺς Λαοκοωντίδας σημείων τὸν μέλλοντα ὄλεθρον τῆς πόλεως συντεκμηραμένου . . . . . (3) Μενεκράτης δὲ ὁ Ξάνθιος προδοῦναι τοῖς Ἀχαιοῖς αὐτὸν ἀποφαίνει τὴν πόλιν τῆς πρὸς Ἀλέξανδρον ἔχθρας ἕνεκα, καὶ διὰ τὴν εὐεργεσίαν ταύτην Ἀχαιοὺς αὐτῶι συγχωρῆσαι διασώσασθαι τὸν οἶκον. σύγκειται δὲ αὐτῶι ὁ λόγος ἀρξαμένωι ἀπὸ <τῆς> Ἀχιλλέως ταφῆς τὸν τρόπον τόνδε· «Ἀχαιοὺς δὲ ἀνίη εἶχε, καὶ ἐδόκεον τῆς στρατιῆς τὴν κεφαλὴν ἀπηράχθαι. ὅμως δὲ τάφον αὐτῶι δαίσαντες ἐπολέμεον βίηι πάσηι, ἄχρις Ἴλιος ἑάλω Αἰνείεω ἐνδόντος. Αἰνείης γὰρ ἄτιτος ἐὼν ὑπὸ Ἀλεξάνδρου καὶ ἀπὸ γερέων [ἱερῶν] ἐξειργόμενος ἀνέτρεψε Πρίαμον. ἐργασάμενος δὲ ταῦτα εἷς Ἀχαιῶν ἐγεγόνει». (4) ἄλλοι δέ τινες ἐπὶ τοῦ ναυστάθμου τοῦ Τρωικοῦ τυχεῖν αὐτὸν τηνικαῦτα διατρίβοντα λέγουσιν· οἱ δ' εἰς Φρυγίαν ἀπεσταλμένον ὑπὸ Πριάμου μετὰ δυνάμεως ἐπί τινα χρείαν στρατιωτικήν· εἰσὶ δ' οἳ μυθωδεστέραν αὐτοῦ ποιοῦσι τὴν ἔξοδον.

UNSICHERER ZUWEISUNG

4 (3) STEPH. BYZ. s.v. Βλαῦδος· πόλις Φρυγίας· ἀπὸ Βλαύδου τοῦ τὸν τόπον εὑρόντος, ὡς Μενεκράτης.

5 (7) SERV. DAN. VERGIL. *A.* 6, 14: (Phanodikos 397 F 3) *Menecrates Daedalum occiso patruele fratre Cretam petisse dicit; Icarum filium eius ab Atticis pulsum, dum patrem petit, naufragio perisse, unde mari nomen.*

770. POLYCHARMOS

s. II^a? (Vor Alex. Pol.

ΛΥΚΙΑΚΑ Ā B̄ (?)

1 (IV 479, 1) ATHEN. 8, 8 p. 333 D-F: οὐ κατασιωπήσομαι δὲ οὐδὲ τοὺς ἐν Λυκίαι ἰχθυομάντεις ἄνδρας, περὶ ὧν ἱστορεῖ Πολύχαρμος ἐν δευτέρωι Λυκιακῶν, γράφων οὕτως· «ὅταν γὰρ διέλθωσι πρὸς τὴν θάλασσαν, οὗ τὸ ἄλσος ἐστὶ πρὸς τῶι αἰγιαλῶι τοῦ Ἀπόλλωνος, ἐν ὧι ἐστιν ἡ δῖνα ἐπὶ τῆς ἀμάθου, παραγίνονται ἔχοντες οἱ μαντευόμενοι ὀβελίσκους δύο ξυλίνους, ἔχοντας ἐφ' ἑκατέρωι σάρκας ὀπτὰς ἀριθμῶι δέκα· καὶ ὁ μὲν ἱερεὺς κάθηται πρὸς τῶι ἄλσει σιωπῆι, ὁ δὲ μαντευόμενος ἐμβάλλει τοὺς ὀβελίσκους εἰς τὴν δῖναν, καὶ ἀποθεωρεῖ τὸ γινόμενον. μετὰ δὲ τὴν ἐμβολὴν τῶν ὀβελίσκων πληροῦται θαλάσσης ἡ δῖνα, καὶ παραγίνεται ἰχθύων πλῆθος

---

1 κελευσθέντα <τε> Rei 4 Ξάνθιος: ξανεῖος Ba ξάνιος A 6 αὐτῶι ὁ λόγος B ὁ λ. αὐ. r 7 <τῆς> Rei 9 βίηι Schaller γῆ ο τῆι Rei 11 [ἱερῶν] Kiessling ἐξεργόμενος B 14 οἱ A οἷα B 21 *mari* Daniel *mare* FG 27 τὸ Ἀπόλλωνος? Kaibel

τοσοῦτον καὶ τοιοῦτον, ὥστ' ἐκπλήττεσθαι τὸ ἀόρατον τοῦ πράγματος, τῶι δὲ μεγέθει ὥστε καὶ εὐλαβηθῆναι. ὅταν δὲ ἀπαγγείληι τὰ εἴδη τῶν ἰχθύων ὁ προφήτης, οὕτως τὸν χρησμὸν λαμβάνει παρὰ τοῦ ἱερέως ὁ μαντευόμενος περὶ ὧν ηὔξατο. φαίνονται δὲ ὀρφοί, γλαῦκοι, ἐνίοτε δὲ φάλλαιναι ἢ πρίστεις, πολλοὶ δὲ καὶ ἀόρατοι ἰχθῦς καὶ ξένοι τῆι ὄψει>>. Ἀρτεμίδωρος δ' ἐν τῶι δεκάτωι τῶν Γεωγραφουμένων (V) λέγεσθαί φησιν ὑπὸ τῶν ἐπιχωρίων πηγὴν ἀναδίδοσθαι γλυκέος ὕδατος, ὅθεν συμβαίνειν δίνας γίνεσθαι· γίνεσθαι δὲ καὶ ἰχθύας ἐν τῶι δινάζοντι τόπωι μεγάλους. τούτοις δὲ οἱ θυσιάζοντες ἐμβάλλουσιν ἀπαρχὰς τῶν θυσιαζομένων, ἐπὶ ξυλίνων ὀβελίσκων ἀναπείροντες κρέα ἑφθὰ καὶ ὀπτὰ καὶ μάζας καὶ ἄρτους. <<ὀνομάζεται δὲ ὁ λιμὴν καὶ ὁ τόπος οὗτος Δῖνος>>.

2 (2) **a**) Steph. Byz. s.v. Σοῦρα· μαντεῖον Λυκίας, περὶ οὗ Πολύχαρμός φησιν ἐν Λυκιακοῖς· <<ὅπου νῦν φρέαρ θαλάσσης τόπος Σούριος καλούμενος>>. **b**) Plutarch. *De soll. an.* 23 p. 976 C: ἐπεὶ καὶ περὶ Σοῦραν πυνθάνομαι κώμην ἐν τῆι Λυκίαι Φελλοῦ μεταξὺ καὶ Μύρων καθεζομένους ἐπ' ἰχθύσιν ὥσπερ οἰωνοῖς διαμαντεύεσθαι τέχνηι τινὶ καὶ λόγωι ἑλίξεις καὶ φυγὰς καὶ διώξεις αὐτῶν ἐπισκοποῦντας. **c**) Plin. *N.H.* 32, 17: *nam in Lycia Myris in fonte Apollinis, quem Surium appellant, ter fistula vocati veniunt* (scil. *pisces*) *ad augurium: diripere eos carnes obiectas laetum est consultantibus, caudis abigere dirum.* **d**) Aelian. *N.A.* 8, 5: πέπυσμαι δὲ καὶ κώμην τινὰ Λυκιακὴν μεταξὺ Μύρων καὶ Φελλοῦ, Σοῦραν ὄνομα, ἐν ἧι μαντεύονταί τινες ἐπ' ἰχθύσι καθήμενοι, καὶ ἴσασιν ὅ τι καὶ νοεῖ ἥ τε ἄφιξις αὐτῶν κληθέντων καὶ ἡ ἀναχώρησις· καὶ ὅταν μὴ ὑπακούσωσι, τί δηλοῦσι· καὶ ὅταν ἔλθωσι πολλοί, τί σημαίνουσιν. ἀκούσει δὲ τὰ μαντικὰ τῶν σοφῶν ταῦτα καὶ πηδήσαντος ἰχθύος καὶ ἀναπλεύσαντος ἐκ βυθοῦ καὶ τροφὴν προσεμένου καὶ αὖ πάλιν μὴ λαβόντος. **e**) – – 12, 1: Μυρέων τῶν ἐν Λυκίαι κόλπος ἐστί, καὶ ἔχει πηγήν, καὶ ἐνταῦθα νεὼς Ἀπόλλωνός ἐστι, καὶ ὁ τοῦδε τοῦ θεοῦ ἱερεὺς κρέα μόσχεια διασπείρει τῶν τῶι θεῶι τεθυμένων, ὀρφοί τε οἱ ἰχθύες ἀθρόοι προσνέουσι, καὶ τῶν κρεῶν ἐσθίουσιν οἷα δήπου καλούμενοι δαιτυμόνες. καὶ χαίρουσιν οἱ θύσαντες, καὶ τὴν τούτων δαῖτα πιστεύουσιν εἶναί σφισιν ὅτταν ἀγαθήν, καὶ λέγουσιν ἵλεων εἶναι τὸν θεόν, δι' ὃν οἱ ἰχθύες ἐνεπλήσθησαν τῶν κρεῶν· εἰ δὲ ταῖς οὐραῖς αὐτὰ ἐς τὴν γῆν ἐκβάλοιεν, ὥσπερ οὖν ἀτιμάσαντες καὶ μυσαρὰ κρίναντες, τοῦτο δὴ τοῦ θεοῦ μῆνις εἶναι πεπίστευται. γνωρίζουσι δὲ καὶ τὴν τοῦ ἱερέως φωνὴν οἱ ἰχθύες, καὶ ἐπακούσαντες μὲν εὐφραίνουσι τούτους δι' οὓς κέκληνται, τοὐναντίον δὲ δράσαντες λυποῦσιν.

---

1 [καὶ τοιοῦτον] Kaibel ἀόρατον Mei ὁρατὸν A 2 μεγέθει δὲ τοιούτων C μεγ. <τοιούτων> Kaibel μεγ. <τοσούτων>? 5 πριστις (so!) A πρηστίδων ('mutata structura') C 6 ἀόρατοι C(?) ἀνόρατοι A 10 ἀναπείροντες Mus -πηρ- A 13 σούρα PV 13-14 πολίαρχος R 14 θαλάσσης <πλησίον καὶ> τόπος? Mei 17 λόγωι ἑλίξεις Bryan λόγων λέξεις o λόγωι νήξεις Wyttenbach λ. ἀφίξεις (**d**)? 18 *lyciae* R *myris* RE(?) *myrris* dT *miris* V *muris* B cf. **b**; **e** 19 *Surium* Mei *curium* o *vocati* B *evocati* r 20 *obiectas* (R?) Caesarius *abiectas* r 22 Σοῦραν **ab** σύρραν Ael Σοῦρα He 25 βυθοῦ Schneider νεκροῦ Ael 28 ὀρφοί (u. ὀρφοίω) Ael ὀρφῶι He 30 δι' ὃν: διότι He 33 ὑπακούσαντες He [τούτους] He

3 (4) STEPH. BYZ. s.v. Φελλός· πόλις Παμφυλίας· Ἑκαταῖος Ἀσίαι (1 F 258). Ἀλέξανδρος ὁ Πολυίστωρ ἐν τῶι * περὶ Λυκίας (273 F 63) Φελλὸν καὶ Ἀντίφελλον Λυκίας εἶναι λέγει. ὁ πολίτης Φελλίτης καὶ Ἀντιφελλίτης, ὡς Ἀλέξανδρος ἐν τῆι εἰρημένηι καὶ Πολύχαρμος.

4 (3) STEPH. BYZ. s.v. Ἴλαρις· πόλις Λυκίας, ὡς Πολύχαρμος ἐν Λυκιακοῖς. τὸ ἐθνικὸν Ἰλαρεύς.

ANHANG

5 (–) TIT. AS. MIN. (ed. Kalinka) II 1 no. 174: A // * * σ * * . / * * στα * *. [μηνὸς / Ἀρτ]εμεισίου [. Πιναρέων καὶ] / Τλωέων πρυτά[νεσι καὶ βουλῆι (?), Σιδυ] [5] / μέων πρυτά[νεσι βουλῆι δήμωι (?) χαί] / ρειν. κατέστη[ν κατεναντίον ὑμῶν] / Ἱέρων β τοῦ Ἀπο[λλ * *] / ὁ καὶ Λυσίμαχος [πολείτης ὑμῶν] / καὶ Ξάνθιος, βου[λόμενος σαφῶς] [10] / ἐκγμαρτυρηθῆ[ναι τούτωι τῶι λόγωι] / πρὸς ὑμᾶς, ἐξ ὧν π[ρότερον ἐποίησα] / πρὸς μνήμην εὐ[σέβειάν τε τῆς θεοῦ] / ἀνανεώσεων συ[μπασῶν ἐπιφανει]ῶν καὶ ἱστοριῶν κα[ὶ παλαιῶν χρησ] [15] / μῶν, τὴν πρὸς ὑμᾶ[ς καὶ Τλωεῖς καὶ] / Πιναρεῖς γενεαλ[ογίαν τὴν B Τρεμί//λο]υ καὶ Πραξιδίκης, ἐξ ὧ[ν] Τλῶ[ο]ς καὶ / [Κ]ράγος καὶ Πίναλος ἀνῆκον δι-δα/λης (?) γενεαλο[γία]ς καὶ ὑπ' ἐμοῦ πολ/λάκις δεδηλωμένης κατὰ τὰς Πο [5] /[λ]υχάρμου καὶ ἑτέρων ἱστορίας, / [ο]ὐκ ὀλίγα εἰς τὸν περιεχόμε/νον ὄρεσιν καὶ θαλάσσηι θειό/τητος ἐχούσης θαύματα κόλπον, / ἔκτατον δὲ καὶ οὐ πολλῶν χρόνων [10] / ἀλλ[ὰ] τῆς ἀφ' ἡμῶν γενεᾶς ἀνα/φυούσης τῆς θ[εο]τόκου γῆς λαι/νέου<ς> μορφὰς ὁμοιοτυπεῖς τῆς / Λητοῦς διδύμοις φωστῆρσιν / ἐπουρανίοις ἐν Ἀ[ρά]ξοις κυηθεῖσιν, [15] / [Ἄ]ρτεμίν τε καὶ Ἀπόλλωνα, ἐν μὲν / [Π]ινάροις ὑπεράνω [το]ῦ τε C σεσα//[λευμένου Κράγου τῶν τε κρο] / τάφ[ων διανεωγμ]ένων γυναι/κὸς [ἰδούσης τινὸς] ὑπὸ πυέλο[υ] / λουο[μένην Ἄρτε]μιν τὸ γένος [5] / καὶ τὸ [μ̣ένος (?) ε]ἰς ὕψος καὶ κίνδυ/νον ἀρ[αμέ]νης, ἥτις τὰ μεταξὺ / σεβα[ζ]ομένη ἀμείβεται τοὺς / εἱλ[α]σκομένους· / ἐν δὲ Σιδύμοις κτίσματι Σιδύμου, [10] / υἱοῦ Τλώου καὶ Χελειδόνος τῆς / Κράγου, Ἀπόλλωνα τόπωι πρὸς / θαλάσσηι Λόπτοις σπηλαίωι / ἀποκρύφωι δυσεισόδωι, ἐκ κορυ/φῆς δὲ φωτοῦλκον ἄνοιγμα [15] / μεικρὸν ἔχοντι, μέσον εἰς ὃ κα/θοπτεῦσαι θελήσασά τις ἄφνως // Da ἀψοφητὶ

---

2 * (buchzahl) o. ἐν τοῖς Jac   3 φελείτης καὶ ἀντιφελλείτης V   5 Ἴλαρις Mei   6 Ἰλαριεύς? Mei   9 [Ξανθίων (?) Πιναρέων καὶ] Heb(erdey)   9-10 πρυτάνεσι – χαίρειν Heb   10 [κατεναντίον ὑμῶν] Zi(ngerle) κατέστη[ν πρὸ ὑμῶν ἐγὼ] Heb κατέστην [εἰς τὴν ἐκκλησίαν] Wi(lhelm)   11 Ἀπο[λλᾶ τοῦ . . . . . .] Wi [πολείτης ὑμῶν] Wi   11-12 βού[λομαι] Be(nndorf-Niemann *Reisen in Lykien u. Karien* I, 1884, p. 75 ff.) βου[λόμενος τῶι λόγωι τῶιδε] ἐκγμαρτυρηθῆ[ναι, μνημονεύων ἅμα] Heb 'a βου[λόμενος] pendet ἐκγμαρτ. τὴν γενεαλογίαν' Ka(linka)   12-13 πρότερον – θεοῦ Heb εὐ[σεβημένης θεοῦ] Be [τῶν μύθ]ων Be   13 συ[μπασῶν ἐπιφανει]ῶν Zi   14 ὑμᾶς: ἡμᾶς Heb   15 Πίναλος: cf. *T. As. Min.* I 25 (Ka)   15-16 διαδήλης Pe(tersen) διὰ δήλης Ra(dermacher) δι' ἄλλης Zi ἀνή(ρ) Κονδιδάλης? Ra   18 ἔκτατον: 'pro ἔσχατον dictum' Wi ἔκτα(κ)τον Heb   19 ἐφ' ἡμῶν Heb τῆς: τοῖς Heb, Zi   21-22 σεσαλ. – διαν. Zi   23 [μένος?] Ka τὸ [ἀξίωμα Heb   24 τὰ μεταξὺ: τὰ μέγιστα Wi 'venia data interea recepta in gratiam deae eiusque sacris praefecta ut vates reddit responsa' Ka

(vac. 5 lit.) τὸν θεὸν κατη/νέχθη, καὶ λίθος κεῖται πτῶμα / φόβου δεῖγμα κατασκόπων· / διὸ καὶ κροτεῖν ἀσ<ε>πάσματι [5] / 'χαῖρε Ἄπολλον ὁ ἐγ Λόπτων' / εἰσερχόμενοι φωνοῦμεν. / τῆ[ς] δὲ οὐ μόνον ἀπὸ θεῶν / καὶ κτιστῶν αὐτοχθόνων οὔσης, / ἀπ' ἀρχῆς ἡμεῖν πρὸς Σιδυμεῖς [10] / ὡς τέκνων πρὸς γονεῖς ἀδια/λείπτου ἐν παντὶ καιρῶι ἑνότη/τος καὶ ὁμονοίας μέχρι νῦν τετη/ρημένης καὶ ἐπιγαμίας, παρθέ/νων σεμνὰς νεοκορείας τῆς [15] / Db ἁγνοτάτης καὶ παρ' αὐτοῖς 'Αρτέ/μιδός τε εἰλη[φ]υιῶν, ἧι πρόσθεν // ἡιροῦτο γυναῖκες ἱέρει[αι], / ὕστερον δὲ κατ' ἐπισζή[τη]σι[ν] / καὶ θεοῦ λόγι[ο]ν μέχρι καὶ νῦν π[αρ/θ]ένοι, ἀνανεοῦμαι πρὸς μνήμην [5] / καὶ εὐσέβειαν καὶ δόξαν τῆς θεοῦ / καὶ τῶν παρ' ἡμεῖν γάμων θηλυτέ/κνων, <ὧν> ἐκ τῆς εὐσεβημένης θε/οῦ τετεύχομεν, τὸν ἐκπεσόντα / πρὸ ἐτῶν ρχθ̄ Σιδυμεῦσιν χρησμὸν [10] / περὶ νεωκόρου παρθένου τῆι 'Αρτέ/μιδι ἀναγεγραμμένο[ν] παρ' αὐτοῖς, κ[α]/θὼς ὑπογέγραπται, ἐπὶ ἱερέων τοῦ / μὲν κοινοῦ 'Αρτεμέους, τῆς δὲ πό/λεως Τελεσίου, μηνὸς Λώου κς̄, / Εὐπόλεμος 'Αριστωνύμου καὶ / Πτολεμαῖος E 'Αριστωνύμου // [Καλ]αβατιανοὶ πρυτάνεσιν ἀναφέρομεν πρὸς ὑμᾶς (vac. 5 lit.) [κατ]ὰ τὸ ψήφισμα / τὸν ἐκπεπτωκότα χρησμόμ, οὗ καί ἐστιν ἀντίγραφον τὸ ὑπογεγραμμένον· / «'Εσθλὰ δέχου Φοίβου πόλι συνγενὶ θέσφατα τρανῶς, / σύνφορον ὡς χθονὶ σῆι ναέταισί τε πᾶσιν ὃ πεύθηι [5] / ἔσσεται· ἀλλ' ἐπάκουε τά σοι θεὸς ὤπασε Φοῖβος. / ἁγνὰ θεᾶς ἀσινῆ τε πρέπει λυκάβαντο[ς] ἑκάστου / παρθενικαῖς παλάμαισι θυηπόλα τείμια τεύχειν. / ἔστι γάρ, ἔστι θεᾶι Λητωίδι τοῦτο προσηνές, / μὴ προσάγειν θαλάμοις ἱερηπόλον, ἣν ἀπὸ λέκτρων [10] / αἱρῆι, προσκαλέσασθαι ἀνυμφεύτους ἐπὶ σηκούς, / ἀλλὰ νέαν ἀδμῆτιν, † ομοδηλωτον, ἄθικτον. / τήνδε θέλει προκαθέσθ[ε] ὁσίον καὶ νηὸν ὑπ' αὐτῆς / ἁγνὸν ἀεὶ τηρεῖσθαι, ἵν' αἵρεσιν ἥνπερ ὑπέστη / φροντίδος ἀενάοισι βροτοὶ τειμῶσιν ἐν ὥραις. [15] / ταῦτά σοι αὐτὸς ἄναξ ἑκατηβόλος ὄλβια φαίνει / ἀγροτέρα τε θεὰ σκυλακοτρόφος, ἣν ἅμα Φοίβωι / * * *».

—. ALEXANDROS POLYHISTOR c. 80/35a

ΛΥΚΙΑΚΑ (ΠΕΡΙ ΛΥΚΙΑΣ) - ΛΥΚΙΑΣ ΠΕΡΙΠΛΟΥΣ

273 F 48-67.

—. LEON VON ALABANDA (Kaiserzeit?)

ΛΥΚΙΑΚΑ Ᾱ Β̄

No. 278.

—. KAPITON DER LYKIER 491/518p

ΠΕΡΙ ΛΥΚΙΑΣ ΚΑΙ ΠΑΜΦΥΛΙΑΣ

750 T 1.

---

1 <ἰδοῦσα> τὸν θεὸν Heb 2 ἀσεπάσματι Ka κροτοῦντες ἐπ' ἄσματι τι Be κροτεῖν <ἄσματι> ἐπ' ἄσματι Zi [ὁ] ἐγ Ka <ὁ> εἰσερχόμενοι Be 5 ἐπιγαμίας Tit. <τε> σεμνα<ῖ>ς νεοκορεία<ι>ς Heb 6 εἰλη[φ]υιῶν: τετελεχυιῶν Wi <καὶ> Εἰληθυιῶν Be 7 θεουλογίαν Be 9 <ὧν> Pe 13 πρυτάνεις Be 20 ὁμοῦ δ. Pe ὁμοῦ δὴ λῶιον Ra ὃ μοι (?) Ka ἀκηλίδωτον Zi

771. ARISTAINETOS

(Hellenist. Zeit?)

ΠΕΡΙ ΦΑΣΗΛΙΔΟΣ ᾱ β̄ (?)

1 (IV 319) Steph. Byz. s.v. Γέλα· .... Ἀρισταίνετος δ' ἐν ᾱ Τῶν περὶ Φασήλιδα, ὅτι Λάκιος καὶ Ἀντίφημος ἀδελφοὶ ἐλθόντες εἰς Δελφοὺς μαντεύσασθαι, τὴν δὲ Πυθίαν οὐδὲν περὶ ἐκείνων λέγουσαν προστάσσει<ν> τὸν Λάκιον πρὸς ἀνατολὰς ἡλίου πλεῖν. τοῦ δ' Ἀντιφήμου γελάσαντος, τὴν Πυθίαν εἰπεῖν πάλιν 'ἐφ' ἡλίου δυσμῶν', καὶ Γέλαν πόλιν οἰκίσαι.

—. ARISTOTELES

350/30

ΛΥΚΙΩΝ ΠΟΛΙΤΕΙΑ

IV.

XXII. MAKEDONIEN

772. NIKOMEDES VON AKANTHOS

s. IV^a (Zeit Philipps?)

* 1. ΜΑΚΕΔΟΝΙΚΑ

***1** (IV 464, 1) Schol. (MO) Eurip. *Androm.* 24: κἀγὼ (Andromache) δόμοις τοῖσδ' ἄρσεν' ἐντίκτω κόρον / πλαθεῖσ' Ἀχιλλέως παιδί, δεσπότηι γ' ἐμῶι] ἰδίως ἕνα φησὶ παῖδα γενέσθαι τῶι Νεοπτολέμωι, ἄλλων τρεῖς λεγόντων Πύρρον, Μολοσσόν, Αἰακίδην καὶ Τρωάδα. Λυσίμαχος δὲ ἐν τῶι δευτέρωι τῶν Νόστων (382 F 10 a) φησὶ Πρόξενον (703 F 2) <ἐν τῆι ᾱ τῶν Ἠπειρωτικῶν> καὶ τὸν Ἀκάνθιον Νικομήδην ἐν τοῖς Μακεδονικοῖς ἱστορεῖν ἐκ μὲν Ἀνδρομάχης γενέσθαι τοὺς προειρημένους, ἐκ δὲ Λεωνάσσης τῆς Κλεοδαίου Ἄργον, Πέργαμον, Πάνδαρον, Δωριέα, Γένυον, †δανάην, Εὐρύλοχον. φασὶ δὲ Πύρρωι μὲν ἐγχειρίσαι τὴν βασιλείαν τὸν πατέρα, Μολοσσῶι δὲ τὴν ἐκ τῆς προσηγορίας τιμὴν προστάξαντα τὴν χώραν Μολοσσίαν ὀνομάζειν.

***2** (1) Athen. 5, 58 p. 217 DE: Περδίκκας τοίνυν πρὸ Ἀρχελάου († 399) βασιλεύει, ὡς μὲν ὁ Ἀκάνθιός φησι Νικομήδης ἔτη μα, Θεόπομπος (115 F 279) δὲ λε, Ἀναξιμένης (72 F 27) μ, Ἱερώνυμος (154 F 1) κη, Μαρσύας (135/6 F 15) δὲ καὶ Φιλόχορος (328 F 126) κγ.

---

4 Λάκιος: 448 F 1 5 μαντεύσεσθαι P 'exciderunt ea de quibus Pythia interrogata erat' Mei οὐδὲν R οὐδ' ἂν VP προστάσσειν v 7 ἐφ' R ἀφ' VP Γέλαν Bochart ἣν ἂν ο οἰκίσαι Mei οἰκήση ο 16 τρεῖς Barnes τριῶν MO 17 δὲ om. O 18-19: Πρόξενον <ἐν τῆι ᾱ τῶν Ἠπειρωτικῶν> Schol. 32 19 Ἀκάνθιον Cobet -θινον MO Νικομήδην Mue λυκομήδην M -ίδην O Μακεδονικοῖς Mue λακεδαιμονικοῖς M -ιακοῖς O 20 δὲ om. O 21 κλαιοδάου MO Ἄργον om. Schol. 32 γένυον (cf. Γενυαῖος *SGDI* 1367) Schol. 32 ἔραον MO Γένοον (cf. Rhianos 265 F 14) Schwartz δανάην om. Schol. 32 Χαῦνον (cf. 265 F 17 b) Schwartz 22 μὲν πύρρω ἐγχειρίσθαι O 23 προστάξαντα v προτ- MO

2. ΠΕΡΙ ΟΡΦΕΩΣ

3 (2) ATHEN. 14, 40 p. 637 A: (zeugnisse über die μάγαδις, die nach Duris 76 F 28 ἀπὸ Μάγδιος Θραικὸς γένος heisst) οἶδα δὲ καὶ ἄλλο ὄργανον, ὧι τῶν Θραικῶν οἱ βασιλεῖς ἐν τοῖς δείπνοις χρῶνται, ὥς φησιν Νικομήδης ἐν τῶι Περὶ Ὀρφέως. φοίνικα δὲ τὸ ὄργανον Ἔφορος (70 F 4) καὶ Σκάμων (476 F 4) ἐν τοῖς Περὶ Εὑρημάτων ὑπὸ Φοινίκων εὑρεθὲν κτλ.

—. MARSYAS VON PELLA — c. 330/10

ΜΑΚΕΔΟΝΙΚΑ Ā – Ī

No. 135.

—. MARSYAS DER JÜNGERE VON PHILIPPI — s. III2ᵃ (vor 168)?

ΜΑΚΕΔΟΝΙΚΑΙ ΙΣΤΟΡΙΑΙ (Ā – ΙΒ ?)

No. 136.

—. HERAKLEITOS VON LESBOS — (Zeit Philipps V?)

ΙΣΤΟΡΙΑ ΜΑΚΕΔΟΝΙΚΗ

No. 167.

773. BALAGROS — Vor 168ᵃ?

T

1 IS. PERGAMON (Königzeit) no. 201: Βάλαχρος Μελεάγρου.

F

ΜΑΚΕΔΟΝΙΚΑ Ā – ?

1 (IV 346, 1) STEPH. BYZ. s.v. Ἄμολβος· πόλις Μαγνήτων, ὡς Βάλαγρος Μακεδονικῶν β̄. τὸ ἐθνικὸν Ἀμόλβιος.

2 (2) STEPH. BYZ. s.v. Δυρράχιον· . . . . . . Ἐρατοσθένης γ̄ Γεωγραφουμένων (V)· ‹‹ἐχόμενοι δ' οἰκοῦσι Ταυλάντιοι. πόλις δὲ Ἑλληνὶς Ἐπίδαμνος ἐπὶ χερρονήσου τῆς καλουμένης Δυρραχίου . . . .››. ὅμως δὲ νῦν Δυρραχηνοὶ λέγονται· οὕτω γὰρ καὶ Βάλαγρος ἐν Μακεδονικοῖς φησι· ‹‹καὶ τούτων δ' αἱ πόλεις Δυρραχηνοῖς τε καὶ Ἀπολλωνιάταις ἐπιδιήιρηνται››. καὶ Ἑρέννιος Φίλων (790 F 35) . . .

3 (3) STEPH. BYZ. s.v. Ὄλβηλος· πόλις Μακεδονίας. Βάλαγρος Μακεδονικοῖς. τὸ ἐθνικὸν Ὀλβήλιος.

---

3 'instrumenti nomen intercidit' Kaibel; steckt er in ἄλλο (vgl. auch Xenoph. *Anab.* 7, 3, 32)? 18: beziehung zweifelhaft 21-22: in o hinter Ἀμοργός 22 βάλαγρος (aus μα- R^ac?) o Βάλαχρος (stets) Mei; s. Komm. μακεδονικῶν R -κῶ V -κὴ P 26-28 οὕτω – ἐπιδιήιρηνται S om. RVP 26 Βάλαγρος S 29-30: in o zwischen Ὄχωλον u. Ὀλβία 29 πόλις: ὄρος? Mei; doch s. *RE* XVII col. 2403; Suppl. VII col. 791 30 Μακεδονικοῖς Jac -κῶν R -κὴ VP Μακεδονικῶν Mei

—. PHAISTOS

Hellenist. Zeit

No. 593. (ΜΑΚΕΔΟΝΙΚΑ?)

—. KALLISTHENES —. ARETADES VON KNIDOS

ΜΑΚΕΔΟΝΙΚΑ

124 F 57; 285 F 1.

774. THEAGENES

(s. III/IV?)

T

1 (IV 568) Phot. *Bibl.* 161 p. 104 b 13: ὁ δέκατος (*scil.* τῶν Σωπάτρου Ἐκλογῶν) δὲ συνηθροίσθη ἔκ τε τῆς Κεφαλίωνος (93) Ἐρατοῦς διαλαμβανούσης τὰ κατὰ Ἀλέξανδρον· καὶ δὴ καὶ ἐκ τῶν Ἀπολλωνίου τοῦ Στωικοῦ (IV) Ὅσαι γυναῖκες ἐφιλοσόφησαν, ἢ καὶ ἄλλως τι ἐπίδοξον διεπράξαντο, καὶ δι' ἃς οἰκίαι εἰς εὔνοιαν συνεκράθησαν· καὶ ἐκ τῶν Θεαγένους δὲ Μακεδονικῶν Πατρίων· ἔκ τε τῶν Πλουτάρχου Περὶ βίων . . . .

F

ΜΑΚΕΔΟΝΙΚΑ ΠΑΤΡΙΑ (ΜΑΚΕΔΟΝΙΚΑ?)

1 (1) Steph. Byz. s.v. Ἀκεσσαμεναί· . . . πόλις Μακεδονίας, ὡς Θεαγένης· κτίσμα Ἀκεσαμενοῦ, ἑνὸς τῶν ἐν Πιερίαι βασιλευσάντων.

2 (2) Steph. Byz. s.v. Ἀλτός· χωρίον πλησίον Θεσσαλονίκης, ὡς Θεαγένης ἐν Μακεδονικοῖς. τὸ ἐθνικὸν Ἄλτιος.

3 (3) Steph. Byz. s.v. Βάλλα· πόλις Μακεδονίας, ὡς Πέλλα. ὁ πολίτης Βαλλαῖος· Θεαγένης ἐν Μακεδονικοῖς «Βαλλαίους μεταγαγὼν εἰς τὸν νῦν λεγόμενον Πύθιον τόπον».

4 (4) Steph. Byz. s.v. Ἐλευθερίσκος· πόλις Μακεδονίας. Θεαγένης Μακεδονικοῖς.

5 (5) Steph. Byz. s.v. Κύδνα· πόλις Μακεδονίας· Θεαγένης ἐν Μακεδονικοῖς· ἢ κατὰ παραφθορὰν Πύδνα λέγεται.

6 (6) Steph. Byz. s.v. Λήτη· πόλις Μακεδονίας, ἀπὸ τοῦ πλησίον ἱδρυμένου Λητοῦς ἱεροῦ, ὡς Θεαγένης Μακεδονικοῖς.

---

17 ἀκεσσαμεναί P ἀκασσ- RV Ἀκεσα- v 18 ἀκεσαμένου P ἐν Πιερίαι v ἐν (s. l.) πιέρίαι P ἐν (om. V) πιενίαι RV 19 Ἄλτος (cf. Herodian. I p. 216, 11 ff. L) Mei χωρίον om. P 20 Μακεδονικοῖς Mei μακεδονία o Μακεδονικοῖς Jac μακεδο R -δονία VP Μακεδονικῶν ᾱ? Mei 22 θεογένης R καταγαγὼν P[ac] 25 Μακεδονικοῖς Xyl -νιϰ̃ R -νικὸς VP 26 Κύδνα: Kretschmer *Glotta* 22, 1933, p. 115 n. 2 28 λήτη RV λητή P

7 (7) Steph. Byz. s.v. Μίεζα· πόλις Μακεδονίας, ἡ Στρυμόνιον ἐκαλεῖτο· ἀπὸ Μιέζης θυγατρὸς Βέρητος τοῦ Μακεδόνος, ὡς Θεαγένης ἐν Μακεδονικοῖς. Βέρης γὰρ τρεῖς ἐγέννησεν, Μίεζαν Βέροιαν Ὄλγανον, ἀφ' ὧν ποταμὸς ὁμώνυμος καὶ πόλις Βέροια καὶ τόπος Στρυμόνος.

8 (8) Steph. Byz. s.v. Μισητός· πόλις Μακεδονίας· Θεαγένης Μακεδονικοῖς.

9 (9) Steph. Byz. s.v. Ὀλόβογρα (?)· πόλις Μακεδονίας· Θεαγένης ἐν Μακεδονικοῖς. τὸ ἐθνικὸν † Ὀλόβαγρος.

10 (10) Steph. Byz. s.v. Ὀρέσται· Μολοσσικὸν ἔθνος· Ἑκαταῖος Εὐρώπηι (1 F 107). Θεαγένης ἐν Μακεδονικοῖς φησιν ὅτι ἐπεὶ ἀφείθη τῆς μανίας Ὀρέστης, φεύγων διὰ τὴν αἰδῶ μετὰ τῆς Ἑρμιόνης εἰς ταύτην ἦλθε τὴν γῆν, καὶ παῖδα ἔσχεν Ὀρέστην, οὗ ἄρξαντος ἐκλήθησαν Ὀρέσται. αὐτὸς δὲ ὑπὸ ἐχίδνης δηχθεὶς θνήσκει, εἰς χωρίον <ἐλθὼν?> τῆς Ἀρκαδίας τὸ λεγόμενον Ὀρέστιον. λέγεται καὶ θηλυκὸν Ὀρεστὶς καὶ Ὀρεστιάς, ὡς αὐτὸς Θεαγένης <καὶ> Διονύσιος β̅ Γιγαντιάδος.

11 (11) Steph. Byz. s.v. Παλλήνη· πόλις Θράικης· ἀπὸ Παλλήνης τῆς F 17?
Σίθωνος μὲν θυγατρός, Κλείτου δὲ γυναικός, ὡς Ἡγήσιππος ἐν τοῖς Παλληνιακοῖς (391 F 1)· «Παλλήνη δ' ἐστὶ χερρόνησος τρίγωνος, τὴν βάσιν ἔχουσα † καὶ μεσημβρίαν ἐστραμμένην. ἐκαλεῖτο δὲ Φλέγρα τὸ παλαιόν, καὶ ὠικεῖτο ὑπὸ τῶν Γιγάντων· καὶ ἡ τῶν θεῶν καὶ Γιγάντων μάχη ἐνταῦθα μυθεύεται γενέσθαι». Θεαγένης ἐν Μακεδονικοῖς· «οὐκ ἐνταῦθα δὲ ὁ περὶ Παλλήνης ἔστηκε λόγος. φασὶ γὰρ τὴν μὲν γῆν ταύτην κεκλῆσθαι Φλέγραν, τοὺς δ' ἐνοικοῦντας Γίγαντας, εἰς οὓς Ἡρακλέα καταχθέντα τήν τε ὕβριν αὐτῶν καὶ τὴν μισανθρωπίαν ἐκπλαγῆναι. ἐπεὶ δὲ καὶ μάχης ἤρξαντο, τὰ συνήθη ὅπλα μετὰ χεῖρας λαβόντα ἕπεσθαι παντὶ σθένει, κτείνοντα τοὺς πόλεμον αὐτῶι

1-4: lückenhaft und korrupt 1 στρυμώνιον (aus -όνιον) χαλεῖτο R[c] (m. 1) Στρυμώνιον ἄστυ κ.? 3 βέροιαν RV φέροιαν P Ὄλγανον: Ὄλκιμον Holste ἀφ' ὧν Mei ἀφ' οὗ o 4 ἐπώνυμος (aus ὁμώ-) R[c] (m. 2?) βέρονα P Στρυμόνιος? Mue 7 ὀλόβογρα o Ὀλόβαγρα Xyl, v 8 μακεδονικῶ V ὀλόβαγρος o Ὀλοβάγριος Berkel Ὀλοβαγρεύς Holste 10 ἐν μακεδονικοῖς R ἐν -κῶν VP ε̄ -ῶν Salm 11 ἀφέθη R αἰδὸν R αἰδὼ V 13 οὗ om. V (?) οὗ . . P 13-15 αὐτὸς – Ὀρέστιον: fraglich, ob Th. 14 θνήσκειν V <ἐλθὼν>? Mei 15 Ὀρέστειον Mei; doch s. Steph. Byz. s.v. Ὀρεστία ὀρεστὶς καὶ V ὀρέστης καὶ R om. P ὡς αὐτὸς Mei ὡσαύτως o 16 <καὶ> v 19-22 Παλλήνη – γενέσθαι: Hegesippos (vor der geschichte von Pallene und Kleitos 391 F 2) oder ein geograph? 19 χερόννησος τρίγωνον τ. β. ἔχουσαν R 20 καὶ μεσημβρίαν o πρὸς μ. v 21 καὶ ἡ τῶν γιγάντων V 22-p. 770, 3 οὐκ – μεμυθολόγηται: citat aus Th. (Mei); γενέσθαι. Θεαγ. ἐν Μακεδονικοῖς. v 23 ἔστηκε VP 24 εἰς οὓς P καὶ οὓς RV 25 τε om. V 27 λαβόντα Mei λαβὼν (λ. μετὰ χ. R) o

ξένια τοῦ κατάπλου παρασχόντας. γενέσθαι δ' ἐν τῆι μάχηι βροντάς τινας καὶ πρηστῆρας, ἀφ' ὧν ἡ τῶν θεῶν μάχη πρὸς αὐτοὺς μεμυθολόγηται».

12 (12) Steph. Byz. s.v. Παρθενόπολις· Μακεδονίας πόλις· ἀπὸ τῶν θυγατέρων Γραστοῦ τοῦ Μύγδονος παιδός, ὡς Θεαγένης ἐν Μακεδονικοῖς· «ἀπὸ δὲ τῶν θυγατέρων διὰ τὸ ἄγροικον αὐτῶν τῆς διαίτης καὶ τὸ ἄμικτον ἔκτισε πόλιν, ἥ τις ἔτι καὶ νῦν δι' ἐκείνας Παρθενόπολις κέκληται».

13 (14) Steph. Byz. s.v. Τίρσαι· πόλις Μυγδονίας τῆς ἐν Μακεδονίαι· ἀπὸ Τίρσης, μιᾶς τῶν γυναικῶν <Γρασ>τοῦ παιδὸς Μύγδονος, ὡς Θεαγένης φησί.

14 (13) Steph. Byz. s.v. Σχύδρα· Μακεδονικὴ πόλις, ὡς Θεαγένης ἐν Μακεδονικοῖς.

15 (15) Steph. Byz. s.v. Φύσκος· πόλις Λοκρίδος . . . . ἔστι καὶ ἄλλη Μακεδονίας, ἧς μέμνηται Θεαγένης ἐν Μακεδονικοῖς.

ZWEIFELHAFTES

16 (16) Steph. Byz. s.v. Κασταλία· πόλις Κιλικίας· Θεαγένης ἐν Καρικοῖς. τὸ ἐθνικὸν Κασταλιώτης.

17 (11) Parthen. *Narr. am.* 6: Περὶ Παλλήνης. ἱστορεῖ Διογένης καὶ Ἡγήσιππος ἐν Παλληνιακοῖς (391 F 2) . . . . . F 11

18 (–) Nat. Com. *Myth.* 3, 16 p. 246 ed. Genev.: *scriptum reliquit Theagenes et Apollodorus Cyrenaicus in libro I De diis* (IV) *Jovem ad placandum Proserpinam ipsi Siciliam donasse.*

775. ANTIGONOS

Vor Herodian (s. II•?)

ΜΑΚΕΔΟΝΙΚΗ ΠΕΡΙΗΓΗΣΙΣ

1 (IV 306, 3) Steph. Byz. s.v. Ἀβαντίς· ἡ Εὔβοια . . . . τὸ ἐθνικὸν ὁμωνυμεῖ τῶι ἥρωι . . . . μαρτυρεῖ δὲ τῶι προτέρωι λόγωι – ἀπὸ τοῦ Ἀβάντιος Ἀβαντιάς – τὸ Ἀβαντία θηλυκόν, ὅπερ κατὰ βαρβαρικὴν τροπὴν τοῦ β̄ εἰς μ̄ Ἀμαντία ἐλέχθη παρὰ τῶι Ἀντιγόνωι ἐν Μακεδονικῆι περιηγήσει. Καλλίμαχος (F 12, 5 Pf) δὲ <Ἀ>μαντίνην . . . αὐτὴν ἔφη «καὶ Ἄμαντίνην ὤικισαν Ὠρικίην».

---

2 τινὰς aus πρνὰς R^c(m. 1) 5 θυγατέρων * * * Mei 9 μυγδοκίας V 10 γυναικῶν ο θυγατέρων? Mei <Γρασ>τοῦ Mei 13 μακεδονικοῖς R -κῆ VP 17 ὁ Θεαγγελεὺς ἐν Καρικοῖς Hecker, Wil <Φίλιππος ὁ> Θεαγγελεὺς ἐν K. (741 F 5)? 19 Διογένης: Θεαγένης Gale, v Διονύσιος (s. F 10)? 28 ὅπερ VP ὅπου R 29 τῶι om. P 30 Ἀμαντίνην Xyl μαντίνην ο 31 ὤικισαν Holste -ησαν ο ὠρικὴν R

—. KRITON DER PIERIOTE
s. II[p]

ΠΕΡΙ ΤΗΣ ΑΡΧΗΣ ΤΩΝ ΜΑΚΕΔΟΝΩΝ

No. 277.

—. POLYAINOS (DER MAKEDONE?)
s. II2[p]

ΥΠΕΡ ΤΟΥ ΚΟΙΝΟΥ (ΣΥΝΕΔΡΙΟΥ) ΤΩΝ ΜΑΚΕΔΟΝΩΝ

639 F 4-6.

—. LUKILLOS VON TARRHA
Um 50[p]

ΠΕΡΙ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

IV.

—. CHRISTODOROS VON KOPTOS
491/518[p]

ΠΑΤΡΙΑ ΘΕΣΣΑΛΟΝΙΚΗΣ Ā - ΚΕ̄

283 T 1.

776. ANHANG

1 (–) Satyros *P. Ox.* 1176 fr. 39 col. 20, 22 (Vita Eurip. p. 4, 12 Schwartz): ζῶντι μὲν δὴ ταῦθ' ὑπῆρξεν Εὐριπίδηι, τελευτῆς δὲ μάλα δυσχεροῦς καὶ ἰδίας ἔτυχεν, ὡς οἱ λόγιοί τε καὶ γεραίτατοι μυθολογοῦσι Μακεδόνων. –πῶς λέ[γουσιν;] – ἔστιν ἐν τῆι [Μακεδονίαι] / (κώμη ἐστὶ καλουμένη Θραικῶν διὰ τό [ποτε] κατωικηκέναι ἐν ταύτηι Θρᾶικας. ἐν ταύτηι ποτὲ τοῦ Ἀρχελάου Μολοττικὴ κύων ἦλθεν ἀποπλανηθεῖσα· ταύτην Θρᾶικες, ὡς ἔθος, θύσαντες ἔφαγον· καὶ δὴ ὁ Ἀρχέλαος ἐζημίωσεν αὐτοὺς ταλάντωι. ἐπεὶ οὖν οὐκ εἶχον, Εὐριπίδου ἐδεήθησαν ἀπολύσεως τυχεῖν, δεηθέντος τοῦ βασιλέως)· // ὁ δὲ παρῃτήσατο. χρόνωι δ' ὕστερον ὁ μὲν Εὐριπίδης ἔτυχεν ἀπωτέρω τῆς πόλεως ἐν ἄλσει τινὶ καθ' αὑτὸν ἐρημαζόμενος, ὁ δ' Ἀρχέλαος ἐπὶ κυνηγίαν ἐξήιει. γενόμενοι δ' ἔξω τῶν πυλῶν οἱ θηρευταὶ λύσαντες τοὺς σκύλακας προαφῆκαν, αὐτοὶ δ' ἀπελείποντο κατόπιν. ἐπιτυχόντες οὖν οἱ κύνες τῶι Εὐριπίδηι μονουμένωι διέφθειραν αὐτόν, οἱ δ' ἐπιπαρεγενήθησαν ὕστερον. ὅθεν ἔτι καὶ νῦν λέγεσθαί φασιν τὴν παροιμίαν ἐν τοῖς Μακεδόσιν ὡς «ἔστι καὶ κυνὸς δίκη». καὶ γά[ρ ἐκ] τῶν σκυ̣[λάκων] (ἦσαν δὲ ἔκγονοι οἱ σκύλακες τῆς ὑπὸ Θραικῶν ἀναιρηθείσης κυνός).

2 (IV 486, 2) Schol. Lykophr. *Al.* 1439: ἕως ἂν αἴθων] ἕως ἂν ὁ Μακεδὼν Ἀλέξανδρος ἐλθὼν καταπαύσηι τὸν πόλεμον κυριεύσας καὶ μοναρχήσας. ἡ δὲ Ὀλυμπιὰς ἡ μήτηρ αὐτοῦ εἰς Πύρρον τὸν Ἀχιλλέως καὶ Ἕλενον τὸν Πριάμου τὸ γένος τὸ ἀνέκαθεν ἀνέφερεν, ὥς φησι Θεόπομπος (115 F 355) καὶ Πύρανδρος (VI). ἀναφέρεται δὲ ὁ Πύρρος εἰς Αἰακόν, ὁ δὲ Ἕλενος εἰς Δάρδανον.

—. MYSIEN

(44 T 1 bis: Add. I)

14-27: die selbstverständlichen oder durch die Vita gegebenen ergänzungen sind nicht bezeichnet; (   ) aus der Vita 17-18: Steph. Byz. s.v. Θραικῶν κώμη· πλησίον Ἀντιοχείας? 17 [ποτε] Jac ταῦτ . . . H ταύτηι ποτὲ r 17-18 ἐν ταύτηι G αὐτόθι HU 18 μολοτικὴ H αὐτόμολος U 19 ταύτην δὲ H τ. οἱ? 25-26 ὅθεν καὶ παροιμία ἐστὶ παρὰ τοῖς Μακεδόσι 'κυνὸς δίκη' Vit 26-27 σκυ̣[λάκων.]. ο * * * P σκυλ[άκων ἀπ]ό[γονοί τινες ἦσαν τῆς κυνὸς . . . .] ο. ἀ]πώ[λετο, ἐκγόνων ὄντων τῆς κυνός Gr – H 31 Πύρρανδρος Mue

XXIII. PAMPHYLIEN

777. DEMETRIOS

s. II^{a}?

ΠΕΡΙ ΠΑΜΦΥΛΙΑΣ Ᾱ – ?

1 (IV 382) SCHOL. LYKOPHR. *Al.* 444: δοιοὶ δὲ ῥείθρων Πυράμου πρὸς ἐκβολαῖς / αὐτοκτόνοις σφαγαῖσι Δηραίνου κύνες / δμηθέντες αἰχμάσουσι λοισθίαν βοὴν / πύργων ὑπὸ πτέρναισι Παμφύλου κόρης. / αἰπὺς δ' ἀλιβρὼς ὄχμος ἐν μεταιχμίωι / Μάγαρσος ἀγνῶν ἠρίων σταθήσεται, / ὡς μὴ βλέπωσι μηδὲ νερτέρων ἕδρας / δύντες, φόνωι λουθέντας ἀλλήλων τάφους] Μάγαρσος δὲ πόλις Κιλικίας μέσον τοῦ τάφου Μόψου καὶ Ἀμφιλόχου, ἔνθα καὶ Μαγαρσίας Ἀθηνᾶς ἱερόν. Δημήτριος δὲ ἐν τῶι ᾱ Περὶ Παμφυλίας φησὶ θυγατέρα Παμφύλου, ἀφ' ἧς τὴν πόλιν ὀνομασθῆναι.

—. KAPITON DER LYKIER

491/518?

ΠΕΡΙ ΛΥΚΙΑΣ ΚΑΙ ΠΑΜΦΥΛΙΑΣ

750 T 1.

XXIV. PAPHLAGONIEN

778. NIKOSTRATOS

Vor Alex. Pol.

‹ΠΕΡΙ ΠΑΦΛΑΓΟΝΙΑΣ ?›

1 (IV 466) STEPH. BYZ. s.v. Γάγγρα· πόλις ‹Παφλαγονίας›, θηλυκῶς, ἣν Ἀλέξανδρος ἐν τῶι Περὶ Παφλαγονίας (273 F 68) ἀναγράφει, λέγων οὕτως ὅτι «Νικόστρατός φησιν αἰπόλον νέμειν περὶ τοὺς τόπους αἶγας· μίαν δὲ χωριζομένην, ἀπορῶν ὁ αἰπόλος, ὅτι ἐν μὲν τῶι οἴκωι ἐνδεᾶ ηὕρισκεν, ἐπὶ τῆς νομῆς δὲ πλήρη, ὡμολόγησε τῶι δεσπότηι· ὁ δὲ ἔφη ἐπιτηρῆσαι τὴν χωριζομένην. ἐπιτηρήσας οὖν εἶδεν ἐπί τινα ὑψηλὸν ὄχθον ἀναβαίνουσαν καὶ πρός τιν' ἀπρόσβατον πέτραν πορευομένην, καὶ κάτωθεν ἐρίφων βληχὴν ἤκουσεν· ἐκεῖ συμβέβηκεν ἐντετοκέναι τὴν αἶγα. ἰδὼν οὖν ἐπιτήδειον τόπον πόλιν ἔκτισε, καὶ Γάγγραν ὠνόμασεν, ὅτι τοῦτο ἦν ὄνομα τῆι αἰγί».

---

7 μάγαρσος (cl. I; D^{ac}): μάργασος C μέγαρσος ED^{c} 8 λουθέντας Scheer λουσθέντας (-τες D) o Μέγαρσος Tzetz (Π) 9 πόλις: μέγιστος ὄχθος ἐν Κιλικίαι πρὸς τῆι Μαλλῶι Steph. Byz. s.v. Ἀμφιλόχου: ἀντιλόχου Schol ἔνθα s om. s^{3} μεγαρσίας Tzetz (Π) 10 Παμφυλίας Robert παμφύλου (s -ίλου s^{3}) Schol κατὰ Δημήτριον τὸν τὰ Παμφυλικὰ συγγράψαντα Tzetz 18 ‹Παφλ.› Mei 20-26: verkürzt interpoliert s.v. Ἄγκυρα (p. 17, 15 Mei) 20 ὅτι: ὅτε V^{c}(?) 24-25 τιν' ἀπρόσβατον Mei τινα πρόσβατον o τινα βάτον Xyl 26 ἰδὼν: *scil.* ὁ δεσπότης? 27 ‹τὸν› τόπον? Mei σάγγραν V γάγραν P

—. ALEXANDROS POLYHISTOR

c. 80/35[a]

ΠΕΡΙ ΠΑΦΛΑΓΟΝΙΑΣ Ᾱ

273 F 68/9.

XXV. PARTHER

779. APOLLODOROS VON ARTEMITA

Erstes Drittel s. I[a]

ΠΑΡΘΙΚΑ Ᾱ - ?

1 (IV 308, 7) ATHEN. 15, 29 p. 682 CD: Ἀπολλόδωρος δ' ἐν δ̄ Παρθικῶν ἄνθος τι ἀναγράφει καλούμενον φιλάδελφον κατὰ τὴν Παρθικὴν χώραν, περὶ οὗ τάδε φησίν· <<καὶ μυρσίνης γένη ποικίλα μῖλάξ τε καὶ τὸ καλούμενον φιλάδελφον, ὃ τὴν ἐπωνυμίαν ἔλαβε τῆι φύσει πρόσφορον. ἐπειδὰν γὰρ ἐκ διαστήματος αὐτομάτως κράδαι συμπέσωσι, ἐμψύχων περιπλοκὴν ἐν ταὐτῶι μένουσιν ἡνωμέναι καθάπερ ἀπὸ ῥίζης μιᾶς, καὶ τὸ λοιπὸν ἀνατρέχουσιν καὶ ζωοφυτοῦσιν. διὸ καὶ τοῖς ἡμέροις φυλακὴν ἀπ' αὐτῶν κατασκευάζουσιν· ἀφαιροῦντες γὰρ τῶν ῥάβδων τὰς λεπτοτάτας καὶ διαπλέξαντες [τε] δικτύου τρόπωι φυτεύουσιν κύκλωι τῶν κηπευμάτων, καὶ ταῦτα συμπλεκόμενα περιβόλου παρέχεται δυσπάροδον ἀσφάλειαν>>.

2 (–) STRABON 1, 3, 21 p. 61: Ἰβήρων .... οὓς <οὐχ> ὁ Ἀράξης, ὥς φησιν Ἀπολλόδωρος, ἀπὸ τῆς Ἀρμενίας ὁρίζει, Κῦρος δὲ μᾶλλον καὶ τὰ ὄρη τὰ Μοσχικά.

3 (1) a) STRABON 2, 5, 12 p. 117/8: μάλιστα δ' οἱ νῦν ἄμεινον ἔχοιεν ἄν τι λέγειν περὶ τῶν κατὰ Βρεττανοὺς καὶ Γερμανοὺς καὶ τοὺς περὶ τὸν Ἴστρον .... ἔτι δὲ τοὺς περὶ τὸν Καύκασον, οἷον Ἀλβανοὺς καὶ Ἴβηρας. ἀπήγγελται δ' ἡμῖν καὶ ὑπὸ τῶν τὰ Παρθικὰ συγγραψάντων τῶν περὶ Ἀπολλόδωρον τὸν Ἀρτεμιτηνόν, ἃ πολλῶι (?) ἐκεῖνοι μᾶλλον ἀφώρισαν, τὰ περὶ τὴν Ὑρκανίαν καὶ τὴν Βακτριανήν. b) – 1, 2, 1 p. 14: οἱ δὲ Παρθυαῖοι τὰ περὶ τὴν Ὑρκανίαν καὶ τὴν Βακτριανὴν καὶ τοὺς ὑπὲρ τούτων Σκύθας γνωριμωτέρους ἡμῖν ἐποίησαν ἧττον γνωριζομένους ὑπὸ τῶν πρότερον, ὥστε ἔχοιμεν ἄν τι λέγειν πλέον τῶν πρὸ ἡμῶν. c) – 11, 6, 4 p. 508: οὐδὲ τοῖς περὶ Ἀλεξάνδρου δὲ συγγράψασιν [οὐ] ῥάιδιον πιστεύειν τοῖς πολλοῖς (über die völker am Hyrkanischen meer)· καὶ γὰρ οὗτοι

---

12 περιπλοκὴν ἐν ταὐτῶι Canter περιπλοκὴν ἐν τῶι A -κῆι (om. ἐν τῶι) CE -κὴν ἐν τῶι ἐγγυτάτω? Mue -κὴν ἐν τῶι ... <μιμούμεναι> Kaibel 13 <καὶ> καθάπερ – [καὶ] τὸ λοιπόν Kaibel 16 [τε] Anon [καὶ] δ. τε? Kaibel 19 οὓς χοαράξης ABC οὓς οὐχ ὁ ἀράξης r (Cor) οὓς καὶ ὁ Ἀ. Cas οὓς ὁ Ἀ. Kramer, Mei 26 Ἀρτεμιτηνόν (F 5 b; 7 a) Holste ἀρτεμείτην o πολλῶι? Jac πολλῶν o τῶν ἄλλων Cas πολλῶν ἄλλων Cor πολλῶι ἐκείνων Behr τῶν παλαιῶν (F 4) Schwartz 29 προτέρων A[c] 30 δὲ om. ς [οὐ] ς v

ῥαιδιουργοῦσι διά τε τὴν δόξαν τὴν Ἀλεξάνδρου καὶ διὰ τὸ τὴν στρατείαν πρὸς τὰς ἐσχατιὰς γεγονέναι τῆς Ἀσίας πόρρω ἀφ' ἡμῶν· τὸ δὲ πόρρω δυσέλεγκτον. ἡ δὲ τῶν Ῥωμαίων ἐπικράτεια καὶ ἡ τῶν Παρθυαίων πλεῖόν τι προσεκκαλύπτει τῶν παραδεδομένων πρότερον· οἱ γὰρ περὶ ἐκείνων συγγράφοντες καὶ τὰ χωρία καὶ τὰ ἔθνη, ἐν οἷς αἱ πράξεις, πιστότερον λέγουσιν ἢ οἱ πρὸ αὐτῶν· μᾶλλον γὰρ κατωπτεύκασι.

4 (2) Strabon 11, 7, 3 p. 509: διαρρεῖται δὲ καὶ ποταμοῖς ἡ Ὑρκανία τῶι τε Ὤχωι καὶ τῶι Ὤξωι μέχρι τῆς εἰς θάλατταν ἐκβολῆς, ὧν ὁ Ὦχος καὶ διὰ τῆς Νησαίας ῥεῖ· ἔνιοι δὲ τὸν Ὦχον εἰς τὸν Ὦξον ἐμβάλλειν φασίν. Ἀριστόβουλος (139 F 20) δὲ καὶ μέγιστον ἀποφαίνει τὸν Ὦξον ... καὶ εὔπλουν εἶναι καὶ οὗτος καὶ Ἐρατοσθένης παρὰ Πατροκλέους (712 F 5) λαβών .... οὐ πάνυ δὲ ὑπὸ τῶν παλαιῶν ὁ Ὦχος ὀνομάζεται, Ἀπολλόδωρος μέντοι ὁ τὰ Παρθικὰ γράψας συνεχῶς αὐτὸν ὀνομάζει ὡς ἐγγυτάτω τοῖς Παρθυαίοις ῥέοντα.

5 (4) **a)** Strabon 11, 9, 1 p. 514/5: ἡ δὲ Παρθυαία πολλὴ μὲν οὐκ ἔστι· συνετέλει γοῦν μετὰ τῶν Ὑρκανῶν <κατὰ> τὰ Περσικὰ καὶ μετὰ ταῦτα, τῶν Μακεδόνων κρατούντων ἐπὶ χρόνον πολύν. πρὸς δὲ τῆι σμικρότητι δασεῖα καὶ ὀρεινή ἐστι καὶ ἄπορος, ὥστε διὰ τοῦτο δρόμωι διεξιᾶσι τὸν ἑαυτῶν οἱ βασιλεῖς ὄχλον, οὐ δυναμένης τρέφειν τῆς χώρας οὐδ' ἐπὶ μικρόν. ἀλλὰ νῦν ηὔξηται· μέρη δ' ἐστὶ τῆς Παρθυηνῆς ἥ τε Κωμισηνὴ καὶ ἡ Χωρηνή, σχεδὸν δέ τι καὶ τὰ μέχρι πυλῶν Κασπίων καὶ Ῥαγῶν καὶ Ταπύρων, ὄντα τῆς Μηδίας πρότερον· ἔστι δ' Ἀπάμεια καὶ Ἡράκλεια πόλεις περὶ τὰς Ῥάγας. εἰσὶ δ' ἀπὸ Κασπίων πυλῶν εἰς μὲν Ῥάγας στάδιοι πεντακόσιοι, ὥς φησιν Ἀπολλόδωρος, εἰς δ' Ἑκατόμπυλον τὸ τῶν Παρθυαίων βασίλειον χίλιοι διακόσιοι ἑξήκοντα. τοὔνομα δὲ ταῖς Ῥάγαις ἀπὸ τῶν γενομένων σεισμῶν γενέσθαι φασίν, ὑφ' ὧν πόλεις τε συχναὶ καὶ κῶμαι δισχίλιαι, ὡς Ποσειδώνιός (87 F 87 a) φησι, ἀνετράπησαν. τοὺς δὲ Ταπύρους οἰκεῖν φασι μεταξὺ Δερβίκων τε καὶ Ὑρκανῶν. ἱστοροῦσι δὲ περὶ τῶν Ταπύρων, ὅτι αὐτοῖς εἴη νόμιμον τὰς γυναῖκας ἐκδιδόναι τὰς γαμετὰς ἑτέροις ἀνδράσιν, ἐπειδὰν ἐξ αὐτῶν ἀνέλωνται δύο ἢ τρία τέκνα, καθάπερ καὶ Κάτων Ὁρτησίωι δεηθέντι ἐξέδωκε τὴν Μαρκίαν ἐφ' ἡμῶν κατὰ παλαιὸν Ῥωμαίων ἔθος. (Es folgt 782 F 3). **b)** – 11, 13, 6 p. 524: (die grenzen Mediens) εἰσὶ δὲ καὶ Ἑλληνίδες πόλεις, κτίσματα τῶν Μακεδόνων ἐν τῆι Μηδίαι, ὧν Λαοδίκειά τε καὶ Ἀπάμεια καὶ ἡ πρὸς Ῥάγαις <Ἡράκλεια> καὶ αὐτὴ Ῥάγα, τὸ τοῦ Νικάτορος κτίσμα, ὃ ἐκεῖνος μὲν Εὔρωπὸν ὠνόμασε, Πάρθοι δὲ Ἀρσακίαν, νοτιωτέραν οὖσαν τῶν Κασπίων πυλῶν πεντακοσίοις που σταδίοις, ὥς φησιν Ἀπολλόδωρος <ὁ> Ἀρτεμιτηνός.

6 (3) Strabon 11, 11, 7 p. 519: (über den meridian durch das Hyr-

1 τὰς: τῆς x   4 ἐκείνου Dx   6 διαρρεῖται (*irrigatur* Guar.) Cas διαιρεῖται o   7 (u.ö.) ὤξωι C (E Epit) ὄξωι r   11 συγγράψας x   14 <κατὰ> Cas   16 ὥστε x ὥσπερ r (om. E)   διὰ τούτων Cor   δρόμωι om. x   διεξιᾶσι Kramer διεξίασι o   18 Κωμισηνὴ Tzschucke κωμεισηνὴ CD καμεισηνὴ r καμβυσηνὴ y   χωρινή CD Χωαρηνή Salm   δέ τι E δέ τοι Par. 1394 δ' ἔτι r   ῥαγῶν E ἀραγῶν r   20 (22) Ῥάγας Kramer ῥαγάς o (?)   20 εἰς: ἐπὶ E   22 γινομένων E   25 τῶν om. x   30 <Ἡράκλεια> Kramer καὶ Ἡ<ράκλεια> πρὸς Ῥάγαις Groskurd   Ῥάγα (Steph. Byz. s.v.) Cas ῥάγεια o   33 <ὁ> Behr   Ἀρτεμιτηνός v ἀρταμιτηνὸς Par. 1394 ἀρτεμισηνός CD ἀρτεμησινός x

kanische und Persische meer) εἰ οὖν ἀπὸ τῆς Ὑρκανίας ἐπὶ Ἀρτεμίταν τὴν ἐν τῆι Βαβυλωνίαι στάδιοί εἰσιν ὀκτακισχίλιοι, καθάπερ εἴρηκεν Ἀπολλόδωρος <ὁ> ἐκ τῆς Ἀρτεμίτας, ἐκεῖθεν δ' ἐπὶ τὸ στόμα τῆς κατὰ Πέρσας θαλάττης ἄλλο τοσοῦτόν ἐστι....

7 (5-6) a) STRABON 11, 11, 1 p. 516/7: τῆς δὲ Βακτρίας μέρη μέν τινα τῆι Ἀρίαι παραβέβληται πρὸς ἄρκτον, τὰ πολλὰ δ' ὑπέρκειται πρὸς ἕω· πολλὴ δ' ἐστὶ καὶ πάμφορος πλὴν ἐλαίου.

τοσοῦτον δ' ἴσχυσαν οἱ ἀποστήσαντες Ἕλληνες αὐτὴν διὰ τὴν ἀρετὴν τῆς χώρας, ὥστε τῆς τε Ἀριανῆς ἐπεκράτουν καὶ τῶν Ἰνδῶν, ὥς φησιν Ἀπολλόδωρος ὁ Ἀρταμιτηνός, καὶ πλείω ἔθνη κατεστρέψαντο ἢ Ἀλέξανδρος· καὶ μάλιστα Μένανδρος – εἴ γε καὶ τὸν Ὕπανιν διέβη πρὸς ἕω καὶ μέχρι τοῦ Ἰσάμου (?) προῆλθε –, τὰ μὲν [γὰρ] αὐτός, τὰ δὲ Δημήτριος ὁ Εὐθυδήμου υἱὸς τοῦ Βακτρίων βασιλέως. οὐ μόνον δὲ τὴν Παταληνὴν κατέσχον, ἀλλὰ καὶ τῆς ἄλλης παραλίας τήν τε Σαραόστου καλουμένην καὶ τὴν Σιγέρδιδος βασιλείαν· καθ' ὅλου δέ φησιν ἐκεῖνος τῆς συμπάσης Ἀριανῆς πρόσχημα εἶναι τὴν Βακτριανήν· καὶ δὴ καὶ μέχρι Σηρῶν καὶ Φρυνῶν (?) ἐξέτεινον τὴν ἀρχήν.

b) – 15, 1, 3 p. 685/6: καὶ μὴν οὐδ' οἱ [πολλοὶ] πολλοῖς χρόνοις ὕστερον συγγράψαντές τι περὶ τούτων (über Indien: 721 F 5) οὐδ' οἱ νῦν πλέοντες ἐκεῖσε ἀποφαίνονταί τι ἀκριβές. Ἀπολλόδωρος γοῦν ὁ τὰ Παρθικὰ ποιήσας, μεμνημένος καὶ τῶν τὴν Βακτριανὴν ἀποστησάντων Ἑλλήνων παρὰ τῶν Συριακῶν βασιλέων τῶν ἀπὸ Σελεύκου τοῦ Νικάτορος, φησὶ μὲν αὐτοὺς αὐξηθέντας ἐπιθέσθαι καὶ τῆι Ἰνδικῆι, οὐδὲν δὲ προσανακαλύπτει <πλέον> τῶν πρότερον ἐγνωσμένων, ἀλλὰ καὶ ἐναντιολογεῖ πλείω τῆς Ἰνδικῆς ἐκείνους ἢ Μακεδόνας καταστρέψασθαι λέγων· Εὐκρατίδαν γοῦν πόλεις χιλίας ὑφ' ἑαυτῶι

1 Ἀρτεμίταν Xyl ἀρτεμίσταν (ἀρετεμισίαν E) o 3 <ὁ> Cor Ἀρτεμίτας Xyl ἀρτεμησίας Cx ἀρτεμισίας r 5-7: Strab. 2, 1, 14 p. 73

12 Ἀρταμιτηνός (F 8): ἀτραμυτινός Par. 1394 16 Ἰσάμου (vgl. Altheim *Weltgesch. Asiens* I p. 325 f.; II p. 74): Ἰμάου Cas Ἰομάνου (Plin. *N.H.* 6, 63; 69; 73 = Jumna) Mannert Σοάνου (Arrian. *Ind.* 4, 12) Cuningham Σάμβου (*ebd.* 4, 4) Gutschmid 17 [γὰρ] Kramer 19 παταλληνὴν CDh παταληνὴν r 22 σιγέριδος x 25 σηρώνων C 25-26 Φρυνῶν Vaillant φαυνῶν o; cf. Dion. Per. 752; Plin. *N.H.* 6, 55 26 ἐξέτειναν edd. vor Kramer

9 [πολλοὶ] Cor οἱ ἄλλοι Ald 19 οὐδὲν δὲ <πλεῖον> Behr 20 <πλέον> Jac * * Mei 20-21 τοῖς πρ. ἐγνωσμένοις? Kramer 23-p. 776, 1: Justin. 41, 4, 5 (vgl. 41, 1, 8) *Theodotus* (τι *diodotus* πC) *mille urbium Bactrianarum praefectus*

ἔχειν, † ἐκεῖνοι δέ γε αὐτὰ τὰ μεταξὺ ἔθνη τοῦ τε Ὑδάσπου καὶ τοῦ Ὑπάνιος τὸν ἀριθμὸν ἐννέα πόλεις τε σχεῖν πεντακισχιλίας, ὧν μηδεμίαν εἶναι Κῶ τῆς Μεροπίδος ἐλάττω.

(2) πόλεις δ' εἶχον τά τε Βάκτρα, ἥνπερ καὶ Ζαριάσπαν καλοῦσιν, ἣν διαρρεῖ ὁμώνυμος ποταμὸς ἐκβάλλων εἰς τὸν Ὦξον, καὶ Δάραψα καὶ ἄλλας πλείους· τούτων δ' ἦν καὶ ἡ Εὐκρατίδεια τοῦ ἄρξαντος ἐπώνυμος. οἱ δὲ κατασχόντες αὐτὴν Ἕλληνες καὶ εἰς σατραπείας διῃρήκασιν, ὧν τήν τε Ἀσπιώνου καὶ τὴν Τουριούαν ἀφῄρηντο Εὐκρατίδην οἱ Παρθυαῖοι. ἔσχον δὲ καὶ τὴν Σογδιανὴν ὑπερκειμένην πρὸς ἕω τῆς Βακτριανῆς μεταξὺ τοῦ τε Ὤξου ποταμοῦ, ὃς ὁρίζει τήν τε τῶν Βακτρίων καὶ τὴν τῶν Σογδίων, καὶ τοῦ Ἰαξάρτου· οὗτος δὲ καὶ τοὺς Σογδίους ὁρίζει καὶ τοὺς Νομάδας.

8 (3) Steph. Byz. s.v. Ἀρτεμίτα· . . . ὡς δὲ Στράβων (16, 1, 17) πόλις Παρθυαίων . . . ἡ γενικὴ Ἀρτεμίτας. τὸ ἐθνικὸν Ἀρτεμιτηνός· Ἀ π ο λ λ ό δ ω ρ ο ς δὲ Ἀρταμιτηνός φησι διὰ τοῦ ᾱ.

—. ARRIANOS VON NIKOMEDEIA — Nach 137

ΠΑΡΘΙΚΑ Ᾱ – ΙΖ

156 F 30-51; A. G. Roos *Arriani quae exstant* II, 1928, p. 224 ff.

—. (C.) ASINIUS QUADRATUS — c. 222/35

ΠΑΡΘΙΚΑ Ᾱ – Θ

No. 97.

1-5: nicht mehr A (Behr p. 42 f.; s. Komm.); cf. Strab. 15, 1, 33 (Onesikritos: Vogel; Aristobulos: Tarn *The Greeks* p. 144 n. 3; *Alex. The Great* II p. 32 n. 2) ἡ μὲν οὖν μεταξὺ τοῦ Ὑπάνιος καὶ τοῦ Ὑδάσπου λέγεται ἐννέα ἔχειν ἔθνη, πόλεις δὲ εἰς πεντακισχιλίας οὐκ ἐλάττους Κῶ τῆς Μεροπίδος (δοκεῖ δὲ πρὸς ὑπερβολὴν εἰρῆσθαι τὸ πλῆθος) 1 ἐκείνους δέ [γε] Xyl ἐκεῖνοι δὲ λέγουσιν? Kramer ἐκεῖνοι δὲ λέγοντα·? 6 ζαριάσπην CDx 7 δάραψα o (?) ἄδραψα 15, 1, 10 Δράψακα Arrian. *Anab.* 3, 29, 1 Δρέψα Ptolem. 6, 12, 6; Ammian. Marc. 23, 6, 59 8 Εὐκρατίδεια Mei εὐκρατιδία (εὐκρατίδα Steph. Byz. s.v.) o 10 Τουριούαν (vgl. Altheim I p. 219; II p. 56): Ταπουρίαν Du Theil, v (vgl. Tarn *Seleucid-Parthian Studies*, 1930, p. 20 ff.) ἔσχον: *scil.* οἱ Ἕλληνες 12 σουγδίων CE σογδιανῶν D[1] 13 σουγδίους CD[2] 14 Ἀρτεμίτα Mei ἀρτέμιτα VP ἀρτεμήτα R 16 ἀρταμιτηνός RP (cf. F 7 a; 781 F 2 § 2) ἀρτε- V

—. C. JULIUS POLYAINOS 38ª

ΘΡΙΑΜΒΟΥ ΠΑΡΘΙΚΟΥ Ā – Γ̄

No. 196.

—. Q. DELLIUS 36/5ª

(PARTHERKRIEG DES ANTONIUS?)

No. 197.

—. HISTORIKER ÜBER L. VERUS' PARTHERKRIEG 162/5ᵖ

No. 203-210.

780. SELEUKOS VON EMESA

T

1 (IV 491) SUDA s.v. Σέλευκος Ἐμισηνός· γραμματικός. Ἀσπαλιευτικὰ δι' ἐπῶν βιβλία δ̄· Εἰς τοὺς λυρικοὺς ὑπόμνημα· Παρθικὰ β̄. καὶ ἄλλον δέ τινα Σέλευκον εὗρον ἐμπαράθετον· βιβλία δὲ οὐκ εἶχε.

ΠΑΡΘΙΚΑ Ā B̄

—

781. ISIDOROS VON CHARAX (SPASINU) Augusteische Zeit

T

*1 (*G.G.Min.* I p. 244 ff.) PLIN. *N.H.* 6, 141: *hoc in loco* (scil. *Charax, oppidum Persici sinus intimum*) *genitum esse Isidorum, terrarum orbis situs recentissimum auctorem, quem ad commentanda omnia in Orientem praemiserit Divus Augustus* (a. 2ª?) *ituro in Armeniam ad Parthicas Arabicasque res maiore filio, non me praeteriit, nec sum oblitus sui quemque situs diligentissimum auctorem visum nobis introitu operis; in hac tamen parte arma Romana sequi placet nobis Jubamque regem, ad eundem Gaium Caesarem scriptis voluminibus de eadem expeditione Arabica* (275 F 1).

2 MARCIAN. *Epit. Peripl. Men.* 2: οἱ γὰρ δὴ δοκοῦντες ταῦτα μετὰ λόγων ἐξητακέναι Τιμοσθένης ὁ Ῥόδιός (V) ἐστιν . . . καὶ μετ' ἐκεῖνον Ἐρατοσθένης (V) . . ., πρὸς δὲ τούτοις Πυθέας τε ὁ Μασσαλιώτης (V) καὶ Ἰσίδωρος ὁ Χαρακηνὸς καὶ Σώσανδρος ὁ κυβερνήτης (714) . . . . . . οἱ μὲν μερῶν τινων, οἱ δὲ τῆς ἐντὸς πάσης θαλάττης, οἱ δὲ τῆς ἐκτὸς περίπλουν ἀναγράψαντες. οὐ

---

11 γραμματικός und (12) Εἰς – ὑπόμνημα aus der Vita des Alexandriners S. (M. Schmidt; v. Gutschmid)? 12 παρθενικὰ G Παρθονικικὰ M. Schmidt 13 ἐμπαράθετον (Sud. s.v.) V^cp GM ἐν παραθτ A^cp ἐν παραθήκηι? Bernhardy εὕρομεν παρ' Ἀθ(ηναίωι) [15, 23 p. 697 D?] Rohde εἶχε: εἶπεν? Rohde 18 *loco*: *longo* FR 20 *Isidorum* (T 3) Bernhardy *dionysium* o; s. Komm. 19 *ingenitum* DR 23 *introitu* E^a F^2 *-tus* r *in* E^a D(?) *ad* r 22 *preteriit* E^a *-rit* r sū E^a *sit* r

μὴν ἀλλὰ καὶ Σκύλαξ ὁ Καρυανδεὺς (709) καὶ † Βωτθαῖος· οὗτοι δὲ ἑκάτεροι διὰ τῶν ἡμερησίων πλῶν, οὐ διὰ τῶν σταδίων τὰ διαστήματα τῆς θαλάσσης ἐδήλωσαν. S. 709 T 6.

3 **a**) Plin. *N.H.* 1, 2: . . . . . *ex auctoribus* . . . *externis* . . . . . *Artemidoro Ephesio* (V), *Isidoro Characeno, Theopompo.* **b**) – – 1, 3-6: *situs, gentes* . . . . . *externis* . . . *Isidoro* . . . . .

F

1. ΠΑΡΘΙΑΣ ΠΕΡΙΗΓΗΤΙΚΟΝ. ΣΤΑΘΜΟΙ ΠΑΡΘΙΚΟΙ

(F 19?)

1 (20) Athen. 3, 46 p. 93 E – 94 B: Ἰσίδωρος δ᾽ ὁ Χαρακηνὸς ἐν τῶι τῆς Παρθίας Περιηγητικῶι κατὰ τὸ Περσικὸν πέλαγος νῆσόν φησιν εἶναί τινα, ἔνθα πλείστην μαργαρῖτιν εὑρίσκεσθαι. διόπερ σχεδίας καλαμίνας πέριξ εἶναι τῆς νήσου, ἐξ ὧν καθαλλομένους εἰς τὴν θάλασσαν ἐπ᾽ ὀργυιὰς εἴκοσιν ἀναφέρειν διπλοῦς κόγχους. φασὶ δ᾽ ὅταν βρονταὶ συνεχεῖς ὦσι καὶ ὄμβρων ἐκχύσεις, τότε μᾶλλον τὴν πίνναν κύειν, καὶ πλείστην γίγνεσθαι μαργαρῖτιν καὶ εὐμεγέθη. τοῦ δὲ χειμῶνος εἰς τὰς ἐμβυθίους θαλάμας δύνειν εἰώθασιν αἱ πίνναι· θέρους δὲ τὰς μὲν νύκτας κεχήνασι διανηχόμεναι, ἡμέρας δὲ μύουσιν. «ὅσαι δ᾽ ἂν πέτραις ἢ σπιλάσι προσφυῶσι, ῥιζοβολοῦσι, κἀνταῦθα ἐνοῦσαι τὴν μαργαρῖτιν γεννῶσι. ζωιογονοῦνται δὲ καὶ τρέφονται διὰ τοῦ προσπεφυκότος τῆι σαρκὶ μέρους· τοῦτο δὲ συμπέφυκε τῶι τοῦ κόγχου στόματι χηλὰς ἔχον καὶ νομὴν εἰσφέρον· ὃ δή ἐστιν ἐοικὸς καρκίνωι μικρῶι καλούμενον πινοφύλαξ. διήκει δ᾽ ἐκ τούτου ἡ σὰρξ μέχρι μέσου τοῦ κόγχου οἱονεὶ ῥίζα, παρ᾽ ἣν ἡ μαργαρῖτις γεννωμένη αὔξεται διὰ τοῦ στερεοῦ τῆς κόγχης, καὶ τρέφεται ὅσον ἂν ἦι προσπεφυκυῖα χρόνον· ἐπειδὰν δὲ παρὰ τὴν ἔκφυσιν ὑποδυομένη ἡ σὰρξ καὶ μαλακῶς ἐντέμνουσα χωρίσηι τὴν μαργαρῖτιν ἀπὸ τοῦ κόγχου, ἀμπέχουσα μὲν οὐκέτι τρέφει, λειοτέραν δ᾽ αὐτὴν καὶ διαυγεστέραν ποιεῖ καὶ καθαρωτέραν. ἡ μὲν οὖν ἐμβύθιος πίννα διαυγεστάτην [ποιεῖ καὶ καθαρωτέραν] καὶ μεγάλην γεννᾶι μαργαρῖτιν, ἡ δὲ ἐπιπολάζουσα καὶ ἀνωφερὴς διὰ τὸ ὑπὸ τοῦ ἡλίου ἀκτινοβολεῖσθαι δύσχρους καὶ ἥσσων. κινδυνεύουσι δ᾽ οἱ θηρῶντες τοὺς μαργαρίτας, ὅταν εἰς κεχηνότα κόγχον κατ᾽ εὐθὺ ἐκτείνωσι τὴν χεῖρα (μύει

2 πλῶν Letronne ἠχῶν P 14 διπλοῦς: 'suspectum' Kaibel 14-16: Aelian. *N.A.* 10, 13 μαργαρίτης θρέμμα . . . τῆς Ἐρυθρᾶς θαλάττης . . . καὶ τίκτεσθαί γε αὐτὸν τερατολογοῦσιν, ὅταν ταῖς κόγχαις ἀνεωιγμέναις ἐπιλάμψωσιν αἱ ἀστραπαί 19 ἐνοῦσαι: μένουσαι Kaibel 27 ἀμπέχουσα (om. CE): ἀμπίσχουσα Wil 29-30 [ποεῖ καὶ καθαρωτέραν (-τάτην ς v)] Kaibel

γὰρ τότε, καὶ πολλάκις οἱ δάκτυλοι αὐτῶν ἀποπρίονται· ἔνιοι δὲ καὶ παραχρῆμα ἀποθνήισκουσιν)· ὅσοι δ' ἂν ἐκ πλαγίου ὑποθέντες τὴν χεῖρα τύχωσι, ῥαιδίως τοὺς κόγχους ἀπὸ τοῦ λίθου ἀποσπῶσιν>>.

2 (1-19) CODD. PARIS. 443; 571: Μεσοποταμίας καὶ Βαβυλῶνος σχοῖνοι ροᾱ. (1) διαβάντων τὸν Εὐφράτην κατὰ τὸ Ζεῦγμα πόλις ἐστὶν Ἀπάμεια, εἶτα Δαίαρα κώμη· ἀπέχει δὲ Ἀπαμείας καὶ τοῦ Εὐφράτου ποταμοῦ σχοίνους γ̄. εἶτα Χάρακα Σίδου, ὑπὸ δὲ Ἑλλήνων Ἀνθεμουσιὰς <καλουμένη>, πόλις, σχοῖνοι ε̄. μεθ' ἣν Κοραία ἡ ἐν Βατάνηι, ὀχύρωμα, σχοῖνοι γ̄. ἐν δεξιοῖς ταύτης Μαννούορρα Αὐυρήθ, ὀχύρωμα καὶ κρήνη, ἐξ ἧς ἄρδουσιν οἱ ἐγχώριοι, σχοῖνοι ε̄. εἶτα Κομμισίμβηλα ὀχύρωμα· παραρρεῖ δὲ ποταμὸς Βίληχα· σχοῖνοι δ̄. εἶτα Ἄλαγμα ὀχύρωμα, σταθμὸς βασιλικός, σχοῖνοι γ̄. μεθ' ὃν Ἴχναι, πόλις Ἑλληνίς, Μακεδόνων κτίσμα· κεῖται δ' ἐπὶ Βάλιχα ποταμοῦ· σχοῖνοι γ̄. εἶτα Νικηφόριον παρ' Εὐφράτην, πόλις Ἑλληνίς, κτίσμα Ἀλεξάνδρου βασιλέως, σχοῖνοι ε̄. ἔνθεν παραποταμία Γαλάβαθα, κώμη ἔρημος, σχοῖνοι δ̄. εἶτα Χουμβανὴ κώμη, σχοῖνος ᾱ. ἔνθεν Θιλλάδα Μιρράδα, σταθμὸς βασιλικός, σχοῖνοι δ̄. εἶτα βασίλεια (?), Ἀρτέμιδος ἱερόν, Δαρείου κτίσμα, κωμόπολις· ἐνταῦθα Σεμιράμιδός ἐστι διῶρυξ, καὶ λίθοις πέφρακται ὁ Εὐφράτης, ἵνα στενοχωρούμενος ὑπερκλύζηι τὰ πεδία· θέρους μέντοι ναυαγεῖ τὰ πλοῖα· <σχοῖνοι ζ>. εἶτα Ἀλλάν, κωμόπολις, σχοῖνοι δ̄. ἔνθεν Βηονάν, Ἀρτέμιδος ἱερόν, σχοῖνοι δ̄. εἶτα Φάλιγα κώμη πρὸς τῶι Εὐφράτηι (λέγοιτο δ' ἂν Ἑλληνιστὶ μεσοπορικόν), σχοῖνοι ς̄. ἀπὸ Ἀντιοχείας ἕως τούτου σχοῖνοι ρκ̄· ἐντεῦθεν δὲ ἐπὶ Σελεύκειαν τὴν πρὸς τῶι Τίγριδι σχοῖνοι ρ̄. παράκειται δὲ τῆι Φάλιγα κωμόπολις Ναβαγάθ, καὶ παραρρεῖ αὐτὴν ποταμὸς Ἀβούρας, ὃς ἐμβάλλει εἰς τὸν Εὐφράτην· ἐκεῖθεν διαβαίνει τὰ στρατόπεδα εἰς τὴν κατὰ Ῥωμαίους πέραν. εἶτα Ἄσιχα κώμη, σχοῖνοι δ. ἔνθεν Δοῦρα, Νικάνορος πόλις, κτίσμα Μακεδόνων (ὑπὸ δὲ

---

4 ἀνασπῶσιν CE 5 ff.: A = Paris. 443 (apogr. Vat. Pal. 142; Monac. 566); B = Paris. 571. Dem text vorauf geht ein index der landschaften mit einzelzahlen und summe der σχοῖνοι Βαβυλωνία p. 780, 11 8 χάρακα σίδου A χαρακοσίδου B Χάραξ Σίδου ('excerptor accusativum, quem in Isidoro repererit, pro nominativo extulit') Mue Ἀνθεμουσιὰς (cf. Tacit. *A*. 6, 41, 2) v ἀνθεμουσίας A -σία (cf. Strab. 16, 1, 27; Plin. *N.H.* 5, 86) B <καλουμένη o.ä.> Mue 9 βατάνηι A βιτάνηι B 9-10 μανουοορρα (so!) αὐυρὴθ A μαννούορρα αὐυρὴρ B Μάννου Ὀρρααίου (= Ma'nan III von Edessa 23-4ᵃ) Gutschmid 11 . . . βισίμβηλα B Βίληχα: Βάλιχα Mue 13 κτίσμα Letronne κτῆμα o βάλειχα B 15 γαλαβαθὰ A 15-16 χουμβάνη B Χουμμάνη? Mue 17 βασίλεια B βισιλεῖ A Βασιλεία Miller * * ('loci nomen excidit') Mue 19 ὑπερκλύζηι v -ζει A πεδία A(?) παιδία B <σχ. ζ> Mue 20 ἀλλᾶν A βηονὰν B ἱερὸν A 21 Φάλιγα: Φάλγα Arrian. *Parth.* 156 F 39 μεσοπορικόν (μεσόπορον Bochart) v μεθ' ὀπωρινὸν A μεθοπορινὸν B 23 τῆι Φάλιγα (Φαλίγαι Miller) v τῆι ἐσφάλιγα o 25 εἰς τὸ B

Ἑλλήνων Εὔρωπος καλεῖται), σχοῖνοι ϛ. εἶτα Μερρὰν ὀχύρωμα, κωμόπολις, σχοῖνοι ε. εἶτα Γιδδάν, πόλις, σχοῖνοι ε. εἶτα Βηλεσὶ Βιβλάδα, σχοῖνοι ζ. ἔνθεν νῆσος κατὰ τὸν Εὐφράτην, σχοῖνοι ϛ· ἐνταῦθα γάζα ἦν Φραάτου τοῦ ἀποσφάξαντος τὰς παλλακίδας, ὅτε Τηριδάτης φυγὰς ὢν εἰσέβαλεν (26/5ᵃ). εἶτα Ἀναθὼ νῆσος κατὰ τὸν Εὐφράτην σταδίων δ, ἐν ἧι πόλις, σχοῖνοι δ. μεθ' ἣν Θιλαβοὺς νῆσος κατὰ τὸν Εὐφράτην, ἔνθα γάζα Πάρθων, σχοῖνοι β. εἶτα Ἴζαν νησόπολις, σχοῖνοι ιβ. εἶτα Ἀείπολις (?), ἔνθα ἀσφαλτίτιδες πηγαί, σχοῖνοι ις. ἔνθεν Βεσηχάνα πόλις, ἐν ἧι ἱερὸν Ἀτάργατι, σχοῖνοι ιβ. εἶτα Νεάπολις παρὰ τὸν Εὐφράτην, σχοῖνοι κβ. ἔνθεν διαβάντων τὸν Εὐφράτην καὶ Ναρμάλχαν ἐπὶ Σελεύκειαν τὴν πρὸς τῶι Τίγριδι σχοῖνοι θ. ἄχρι τούτου Μεσοποταμία καὶ Βαβυλωνία· καί εἰσιν ἀπὸ Ζεύγματος ἄχρι Σελευκείας σχοῖνοι ροα.

(2) ἐντεῦθεν ἄρχεται ἡ Ἀπολλωνιᾶτις, ἥτις κατέχει σχοίνους λγ. ἔχει δὲ κώμας * *, ἐν αἷς σταθμός, πόλιν δὲ Ἑλληνίδα Ἀρτάμιτα· διὰ μέσης δὲ ταύτης ῥεῖ ποταμὸς Σίλλα. εἰσὶ δὲ εἰς αὐτὴν ἀπὸ Σελευκείας σχοῖνοι ιε. νῦν μέντοι ἡ πόλις καλεῖται Χαλάσαρ.

(3) ἐντεῦθεν ἡ Χαλωνῖτις, σχοῖνοι κα, ἐν ἧι κῶμαι ε, ἐν αἷς σταθμός, πόλις δὲ Ἑλληνὶς Χάλα, ἀπὸ τῆς Ἀπολλωνιάτιδος σχοῖνοι ιε. εἶτα ἀπὸ σχοίνων ε ὄρος ὃ καλεῖται Ζάγρος, ὅπερ ὁρίζει τὴν Χαλωνῖτιν χώραν καὶ τὴν τῶν Μήδων.

(4) ἐντεῦθεν Μηδία, ἥτις κατέχει σχοίνους κβ. ἡ ἀρχὴ † αὐτῶν καὶ χώρα Κάρινα· ἐν ἧι κῶμαι ε, ἐν αἷς σταθμός, πόλις δὲ οὐδεμία.

(5) ἐντεῦθεν Καμβαδηνή, ἥτις κατέχει σχοίνους λα, ἐν ἧι κῶμαι ε, ἐν αἷς σταθμός, πόλις δὲ Βαγίστανα ἐπ' ὄρους κειμένη, ἔνθα Σεμιράμιδος ἄγαλμα καὶ στήλη.

(6) ἐντεῦθεν ἡ Μηδία ἡ ἄνω, σχοῖνοι λη. καὶ ἄρχεται εὐθὺς πόλις Κογκοβάρ, ἔνθα Ἀρτέμιδος ἱερόν, σχοῖνοι γ. εἶτα Βαζιγράβαν, ὅ ἐστι τελώνιον, σχοῖνοι γ. εἶτα εἰς Ἀδραπάναν τὰ βασίλεια τῶν ἐν Βατάνοις, ἃ Τιγράνης ὁ Ἀρμένιος καθεῖλε, σχοῖνοι δ. εἶτα [ἀπὸ] Βάτανα (?), μητρόπολις Μηδίας καὶ θησαυροφυλάκιον καὶ ἱερὸν Ἀναΐτιδος, οὗπερ ἀεὶ θύουσιν· σχοῖνοι ιβ. εἶτα ἑξῆς τρεῖς κῶμαι, ἐν αἷς σταθμός.

1 μέρραν A 2 γίδδαν A Βηλεσὶ Βιβλάδα <πόλις o.ä.> Mue βηλεσήβίβλαδα A βηλεσιζιβλάδα B 4 ὅτε Τηριδάτης (Τι-) v οὗ ἐτηρειδάτης A ἧι τηριδάτης B 5 Ἀναθὼ: cf. Arrian. 156 F 115 6 Θιλαβοὺς Mue ὁλαβοὺς o 7 Ἴζαν νησόπολις B ἡ ζαννησόπολις A Ἀείπολις: Ἴς πόλις (Herodt. 1, 179, 4) Mue 8 βεσηχάνα A βεσήχαναν B Ἀταργάτιδος Fabricius 11 ροα (p. 779, 6) v ρια o 13 * * (κώμας <μὲν*>) Jac 13 Ἀρτέμιτα v; doch s. 779 F 8 14 ταύτης Hudson αὐτῆς o 17 σχοῖνοι – ε v ἀποσχοῖνοι ιε· εἶτα ἀπόσχοιν ε o 18 χαλωνίτην A 19 Μηδία <ἡ κάτω>? Mue κα A ἢ ἄρχηι A αὐτῶν ἡ v αὐτῆς? 20-22 πόλις – σταθμός om. A 22 Βαγίστανα? Mue βάπτανα o 24 κογκόβαρ B 25-26 εἶτα – γ om. A 26 Ἀδραπάναν τὰ v ἀδραπάναντα o ἃ Τιγράνης v ἀγιγράνης B -νῆς A 27 Βάτανα (cf. Muellers note): ἀποβάτανα B ἀπὸ βούτανα A Ἀγβάτανα Mannert μηδίαι A 28 Ἀναΐτιδος οὗπερ Anon ὅπερ Ἀ. o ιβ B β A

(7) ἐντεῦθεν <‘Ραγιανὴ> Μηδία, σχοῖνοι <νη>, ἐν ἧι κῶμαι ι, πόλεις δὲ ε. ἀπὸ σχοίνων ζ ‘Ράγα καὶ Χάραξ, ὧν μεγίστη τῶν κατὰ τὴν Μηδίαν ἡ ‘Ράγα. εἰς δὲ τὴν Χάρακα πρῶτος βασιλεὺς Φραάτης τοὺς Μάρδους ὤικισεν· ἔστιν ὑπὸ τὸ ὄρος, ὃ καλεῖται Κάσπιος, ἀφ’ οὗ Κάσπιαι πύλαι.

(8) ἐντεῦθεν ὑπερβάντων τὰς Κασπίας πύλας ἔστιν αὐλὼν καὶ ἡ Χοαρηνή, [σταθμός] <σχοῖνοι ιθ>, ἐν ἧι ’Απάμεια πόλις ἀπὸ σχοίνων δ. κῶμαι δὲ δ, ἐν αἷς σταθμός.

(9) ἐντεῦθεν Κομισηνή, σχοῖνοι νη, ἐν ἧι κῶμαι η, ἐν αἷς σταθμός. πόλις δὲ οὐκ ἔστιν.

(10) ἐντεῦθεν ‘Υρκανία, σχοῖνοι ξ, ἐν ἧι κῶμαι ια, ἐν αἷς σταθμοί.

(11) ἐντεῦθεν ’Ασταυηνή, σχοῖνοι ξ, ἐν ἧι κῶμαι ιβ, ἐν αἷς σταθμοί. πόλις δὲ ’Ασαάκ, ἐν ἧι ’Αρσάκης πρῶτος βασιλεὺς ἀπεδείχθη· καὶ φυλάττεται ἐνταῦθα πῦρ ἀθάνατον.

(12) ἐντεῦθεν Παρθυηνή, σχοῖνοι κε, ἧς αὐλών. Παρθαύνισα ἡ πόλις ἀπὸ σχοίνων ς, ἔνθα βασιλικαὶ ταφαί· Ἕλληνες δὲ Νίσαιαν λέγουσιν. εἶτα Γάθαρ πόλις ἀπὸ σχοίνων ς. εἶτα Σιρὼκ πόλις ἀπὸ σχοίνων ε. κώμας δὲ οὐκ ἔχει πλὴν μιᾶς, ἥτις καλεῖται Σαφρί.

(13) ἐντεῦθεν ’Απαυαρκτικηνή, σχοῖνοι κζ, ἐν ἧι πόλις ’Απαυαρκτική. εἶτα ‘Ραγαῦ πόλις καὶ κῶμαι δύο.

(14) ἐντεῦθεν Μαργιανή, σχοῖνοι λ. ἔνθα ’Αντιόχεια ἡ καλουμένη Ἄνυδρος (?). κῶμαι δὲ οὐκ εἰσιν.

(15) ἐντεῦθεν Ἄρεια, σχοῖνοι λ. ἔνθα Κανδὰκ πόλις καὶ ’Αρτακαύαν πόλις καὶ ’Αλεξάνδρεια ἡ ἐν ’Αρείοις. κῶμαι δὲ δ.

(16) ἐντεῦθεν ’Αναύων, χώρα τῆς ’Αρείας, σχοῖνοι νε, ἐν ἧι πόλις μεγίστη Φρὰ καὶ Βὶς πόλις καὶ Γαρὶ πόλις καὶ Νιὴ πόλις. κώμη δὲ οὐκ ἔστιν.

(17) ἐντεῦθεν Ζαραγγιανή, σχοῖνοι κα. ἔνθα πόλις Πάριν καὶ Κορὸκ πόλις.

(18) ἐντεῦθεν Σακαστανὴ Σακῶν Σκυθῶν ἡ καὶ Παραιτακηνή, σχοῖνοι ξγ. ἔνθα Βαρδὰ πόλις καὶ Μὶν πόλις καὶ Παλακεντὶ πόλις καὶ Σιγὰλ πόλις, ἔνθα βασίλεια Σακῶν· καὶ πλησίον [’Αλεξάνδρεια πόλις καὶ πλησίον] ’Αλεξανδρόπολις πόλις. κῶμαι δὲ ἕξ.

1 <‘Ραγ. (index)> Μηδία v ἀπὸ μηδίας o <νη (index)> v 2 τὴν χάραξ A 3 φράντης A ὤικησεν A 4 κάππιος A 5 κασπίας B κασπίου A 6 [στ.] <σχ. ιθ (index)> v 8 Κομισηνή index κώμη σινὶ A κώμη σίνη B 11 ἀσταυηνή B (index AB) ἀσταβηνή A 12 ἐν ἧι ’Αρσάκης v ἐν ὠλαρσάκης o 14 Παρθυηνή v παρουήνη o (index) ἧς – πόλις Mue ἡ σαυλὼν (σαύλων A)· Π. ἡ π. o; s. Sturm *RE* XVII col. 711 no. 2 15 γαθὰρ B 18 ἀπαυαρκτικήνης B ἀπαβαρκτική A 19 ‘Ραγάν? Mue 20-21 ἔνυδρος Harduin, v 24 ἀναύων B ἀνάβων A (ἀναυὴ B ἄναυοι A im index) 25 γαρις A νιοι A 26 ζαραγγιανή index ζ’ (om. B) δραγγιανή o 27 σακαστάνη o 28 παλακέντι B 29 [’Αλ. – πλησίον] Tarn (*The Greeks* p. 470 f.) [καὶ πλησίον ’Αλεξανδρόπολις πόλις (π. om. B)] Fabricius

(19) ἐντεῦθεν Ἀραχωσία, σχοῖνοι λϛ· ταύτην δὲ οἱ Πάρθοι Ἰνδικὴν Λευκὴν καλοῦσιν. ἔνθα Βιὺτ πόλις καὶ Φάρσανα πόλις καὶ Χοροχοὰδ πόλις καὶ Δημητριὰς πόλις. εἶτα Ἀλεξάνδρεια, μητρόπολις Ἀραχωσίας· ἔστι δὲ Ἑλληνίς, καὶ παραρρεῖ αὐτὴν ποταμὸς Ἀραχωτός. ἄχρι τούτου ἐστὶν ἡ τῶν Πάρθων ἐπικράτεια.

Ἰσιδώρου Χαρακηνοῦ Σταθμοὶ Παρθικοί.

*3-4 (34/5) [LUKIAN.] *Macrob.* 15: (Dinon 690 F 20a über Artaxerxes Mnemon) Ἀρταξέρξης ἕτερος Περσῶν βασιλεύς, ὅν φησιν ἐπὶ τῶν πατέρων τῶν ἑαυτοῦ Ἰσίδωρος ὁ Χαρακηνὸς συγγραφεὺς βασιλεύειν, ἔτη τρία καὶ ἐνενήκοντα βιοὺς ἐπιβουλῆι τἀδελφοῦ Γωσίθρου ἐδολοφονήθη. Σινατρόκης δὲ ὁ Παρθυαίων βασιλεὺς ἔτος ὀγδοηκοστὸν ἤδη γεγονὼς ὑπὸ Σακαυράκων Σκυθῶν καταχθεὶς βασιλεύειν ἤρξατο, καὶ ἐβασίλευσεν ἔτη ἑπτά († 70^{a}). Τιγράνης δὲ ὁ Ἀρμενίων βασιλεύς († c. 55^{a}), πρὸς ὃν Λούκουλλος ἐπολέμησεν, πέντε καὶ ὀγδοήκοντα ἐτῶν ἐτελεύτα νόσωι. (16) Ὑσπαυσίνης δὲ ὁ Χάρακος καὶ τῶν κατ' Ἐρυθρὰν θάλασσαν τόπων βασιλεύς († vor 109^{a}) πέντε καὶ ὀγδοήκοντα ἐτῶν νοσήσας ἐτελεύτησεν. Τίραιος δ' ὁ μεθ' Ὑσπαυσίνην τρίτος βασιλεύσας († 51/48^{a}) δύο καὶ ἐνενήκοντα βιοὺς <ἔτη> ἐτελεύτα νόσωι. Ἀρτάβαζος δὲ ὁ μετὰ Τίραιον ἕβδομος βασιλεύσας Χάρακος (c. 72/100^{p}) ἓξ καὶ ὀγδοήκοντα ἐτῶν καταχθεὶς ὑπὸ Πάρθων ἐβασίλευσε. Καμνασκίρης δὲ βασιλεὺς Παρθυαίων (saec. II 1 o. I 1^{a}) ἓξ καὶ ἐνενήκοντα ἔζησεν ἔτη. (17) Μασσινίσσας δὲ Μαυρουσίων βασιλεὺς († 148^{a}) ἐνενήκοντα ἐβίωσεν ἔτη. Ἄσανδρος († c. 16/5^{a}) δὲ ὁ ὑπὸ τοῦ θεοῦ Σεβαστοῦ ἀντὶ ἐθνάρχου βασιλεὺς ἀναγορευθεὶς Βοσπόρου περὶ ἔτη ὢν ἐνενήκοντα ἱππομαχῶν καὶ πεζομαχῶν οὐδενὸς ἥττων ἐφάνη· ὡς δὲ ἑώρα † τοὺς ὑπὸ τῆι μάχηι Σκριβωνίωι προστιθεμένους, ἀποσχόμενος σιτίων ἐτελεύτησεν, βιοὺς ἔτη τρία καὶ ἐνενήκοντα. (4) Γοαισὸς δέ, ὥς φησιν Ἰσίδωρος ὁ Χαρακηνός, ἐπὶ τῆς ἑαυτοῦ ἡλικίας Ὀμάνων τῆς Ἀρωματοφόρου βασιλεύσας, πεντεκαίδεκα καὶ ἑκατὸν γεγονὼς ἐτῶν ἐτελεύτησεν νόσωι.

*5 (–) HESYCH. s.v. Δουσάρην· τὸν Διόνυσον Ναβαταῖοι, ὥς φησιν Ἰσίδωρος.

2. (ΠΕΡΙΠΛΟΥΣ ΤΗΣ ΟΙΚΟΥΜΕΝΗΣ ?)

6 (21) PLIN. *N.H.* 2, 242: *pars nostra terrarum, de qua memoro, ambienti, ut dictum est* (2, 170), *oceano velut innatans longissime ab ortu ad*

---

2 φάρσαγγα B 3 Ἀλεξάνδρεια (Arrian. *Anab.* 3, 28, 4) Tarn ἀλεξανδρόπολις o 4-5 ἄ. τ. ἐ. ὑπὸ τῆι τῶν πάρθων ἀρχῆι ἡ χώρα B 9 (24) χαρακινὸς Γ 11 Σινατρόκης Schwartz σινατρόκλης ΓΩΜ Σινατρούκης (Phlegon 257 F 12 § 7) v 11 ὑπὸ Cobet ἀπὸ o 14 (16) ὑσπαυσίνης Γ ὑπαυσίνης Ω ὑσπασίνης $M^{mg}Ω^{b}$ 14 θάλασσαν om. ΩΜ 15 (17) τίραιος $ΓΩ^{1b}M$ τίρεως $Ω^{*sv}$ 16 <ἔτη> Schwartz 18 καταρθεὶς $ΓΩ^{ac}$ ὑπὸ Γ(?)Ω ἀπὸ Μ καμνασκίρης ΓΩ (cf. Head *H.N.*^{2} p. 822) καὶ μνασκίρης Μ 19 ἔζησεν Γ (?) Μ (*s.l.*) $Ω^{v}$(?) ἐβασίλευσεν ΩΜ μασσινισσᾶς ΓΩΜ 22 ἱππομαχῶν καὶ πεζομαχῶν Cobet -μάχων κ. -μάχων o τοὺς <ἑαυτοῦ> ὑπὸ τὴν μάχην Guyet ὑπὸ τῆι ἀρχῆι Gesner ὑπὸ <τεταγμένους ἐν> τῆι μάχηι Schwartz 24 γοαισὸς Ω γοαῖσὸς $Ω^{b}M$ 25 Ὀμάνων Guyet ὀμάνων ΓΩΜ Ὀμανῶν Kuster βασιλεὺς $ΓΩ^{ac}$ 27 Ναβαταῖοι v μαβυταιοι Μ

occasum patet, hoc est ab India ad Herculis columnas Gadibus sacratas |$\overline{LXXXV}$| · $\overline{LXXVIII}$ *p., ut Artemidoro auctori* (V) *placet, ut vero* *I s i d o r o*, |$\overline{XCVIII}$| · $\overline{XVIII}$ ..... (243) *mensura currit duplici via* ....

7 (22) PLIN. *N.H.* 2, 245: *latitudo autem terrae a meridiano situ ad septentriones, dimidio fere mino‹r, Isido›ro colligit* |$\overline{LIIII}$| · $\overline{LXII}$ .... *haec mensura currit a litore Aethiopici oceani, qua modo habitatur, ad Meroen* $\overline{DCXXV}$; *inde Alexandriam* |$\overline{XII}$|·$\overline{L}$, *Rhodum* $\overline{DLXXXIIII}$, *Cnidum* $\overline{LXXXVII}$ · *D, Coum* $\overline{XXV}$, *Samum* $\overline{C}$, *Chium* $\overline{XCIIII}$, *Mytilenen* $\overline{LXV}$, *Tenedum* $\overline{CXIX}$, *Sigeum promunturium* $\overline{XII}$ · *D, os Ponti* $\overline{CCCXII}$ · *D, Carambin promunturium* $\overline{CCCL}$, *os Maeotis* $\overline{CCCXII}$ · *D, ostium Tanais* $\overline{CCLXXV}$, *qui cursus conpendiis maris brevior fieri potest* $\overline{LXXIX}$. (246) *ab ostio Tanais nihil ‹in›modicum diligentissimi auctores fecere: Artemidorus ulteriora inconperta existimavit, cum circa Tanain Sarmatarum gentes degere fateretur ad septentriones versus; I s i d o r u s adiecit* |$\overline{XII}$| · $\overline{L}$ *usque ad Thylen, quae coniectura divinationis est.*

8 (24) PLIN. *N.H.* 4, 121: *longitudinem eius* (scil. *Europae*) *Artemidorus atque I s i d o r u s a Tanai Gades* |$\overline{LXXXVII}$| · $\overline{XIIII}$ *prodiderunt.*

9 (25) PLIN. *N.H.* 5, 40: *Agrippa totius Africae a mari Atlantico cum inferiore Aegypto* |$\overline{XXX}$| · $\overline{XXXX}$ *longitudinem, Polybius* (34, 15, 6) *et Eratosthenes* (V), *diligentissimi existimati, ab oceano ad Carthaginem magnam* |$\overline{XI}$|, *ab ea Canopum, Nili proximum ostium,* |$\overline{XVI}$| · $\overline{LXXXVIII}$ *fecerunt, I s i d o r u s a Tingi Canopum* |$\overline{XXXV}$| · $\overline{XCVIIII}$, *Artemidorus XL M. minus quam I s i d o r u s.*

---

3 $\overline{LXCVIII}$ Ay *LXVIII* AF²y 5 *dimedio* Ay *medio* R² *fere* RE² *ferme* F²Dic *fieri* y *feri* r *minor Isidoro* Mayhoff *minoro* AE² *minor, -re, -rj, mi* r *minor est. Isidoro* Detlefsen *colligitur* RE (?) *collegit* y $\overline{XLIIII}$ · *LXXXX mil.* Harduin 6 *a litore* R² *altiore* (*-rē, -ra*) r 6-11: die einzelnen stationen aus I. (cf. F 13-18)? 7 $\overline{DCXXV}$ (cf. 6, 196) Mue *DXXV* A *DCCCCV* R $\overline{DCCCV}$ r $\overline{XII}$ R $\overline{DLXXXIIII}$ (cf. 5, 132) o $\overline{DLXIII}$ Harduin 8 $\overline{LXXXVII}$· *D* Harduin *-VI* (*-III* Dd) · *D* o 9 $\overline{CXIX}$ f, Mue $\overline{XC}$ · $\overline{IX}$ (*-LX* A) o 10 *Carambin* v *-abin* (*-abim*) o 11 *Tanais*: *natana(e)is* R(D) $\overline{CCLXXV}$ R(?) Harduin *-LXV* ADE a p *-LXII* FfdT *-LXVI* D¹ cf. 4, 78 12 *nihil inmodicum* Mayhoff *nihil modicum* o *nihildum modi* Detlefsen 14 *gentem* y *XXII* · *L* R 15 *Thylen* Jan *tylen* A *tylin* y *thilen* F² *mithelen, mitthilenen* u.ä. r 17 |$\overline{LXXXVII}$| Mayhoff $\overline{LXXVII}$ A $\overline{LXXXII}$ r 19 |$\overline{XXX}$| · $\overline{XXXX}$ (Martian. Cap. 6, 672) Ghelen $\overline{LXXX}$ o 21 *XV* E 22 *LXXXVIII* (Mart. Cap.) Detlefsen *XXVIII* o |$\overline{XXXVII}$| · $\overline{XCVIII}$ Detlefsen |$\overline{XXXVI}$| · $\overline{XCVII}$ (Agathem. *Geogr. inf.* 3, 10) Mayhoff

10 (23) Plin. *N.H.* 5, 47: *adhaeret Asia, quam patere a Canopico ostio ad Ponti ostium Timosthenes* (V) *$|\overline{XXVI}|$ · $\overline{XXXVIII}$ p. tradit, ab ore autem Ponti ad os Maeotis Eratosthenes $|\overline{XV}|$ · $\overline{XLV}$, universam vero cum Aegypto ad Tanain Artemidorus et Isidorus $|\overline{L}|$ · $\overline{XIII}$ · DCCL.*

11 (33) Plin. *N.H.* 4, 102: *circuitu patere* (scil. *Britanniam*) *$|\overline{XXXXVIII}|$ · $\overline{LXXV}$ Pytheas* (V) *et Isidorus tradunt.*

12 (32) Plin. *N.H.* 4, 9: *Peloponnesus ...., platani folio similis propter angulosos recessus, circuitu $\overline{DLXIII}$ p. colligit auctore Isidoro; eadem per sinus paene tantundem adicit.*

13 (27) Plin. *N.H.* 5, 129: *huius* (scil. *Cypri*) *circuitum Timosthenes $\overline{CCCCXXVII}$ · D p. prodidit, Isidorus $\overline{CCCLXXV}$. longitudinem inter duo promunturia Clidas et Acamanta, quod est ab occasu, Artemidorus $\overline{CLXII}$ · D, Timosthenes $\overline{CC}$.*

14 (28) Plin. *N.H.* 5, 132: *... Rhodos, circuitu $\overline{CXXV}$ aut, si potius Isidoro credimus, $\overline{CIII}$ .... distat ab Alexandria Aegypti $\overline{DLXXXIII}$, ut Isidorus tradit, ut Eratosthenes $\overline{CCCCLXVIIII}$, ut Mucianus $\overline{D}$; a Cypro $\overline{CLXXVI}$.*

15 (29) Plin. *N.H.* 5, 135: *Samon ... circuitu $\overline{LXXXVII}$ · D aut ut Isidorus $\overline{C}$.*

16 (30) Plin. *N.H.* 5, 136: *par claritate ab ea distat $\overline{XCIIII}$ ... Chios .... circuitu $\overline{CXXV}$ colligit, ut veteres tradidere; Isidorus $\overline{VIIII}$ adicit.*

17 (31) Plin. *N.H.* 5, 139: *Lesbos, a Chio $\overline{LXV}$ ......* (140) *tota insula circuitur, ut Isidorus $\overline{CLXVIII}$, ut veteres $\overline{CXCV}$.*

18 (26) Plin. *N.H.* 5, 150: *a Calchadone Sigeum Isidorus $\overline{CCCXXII}$ · D p. tradit.*

19 (–) Plin. *N.H.* 5, 127: *ex Asia interisse gentes tradit Eratosthenes*

---

2 *$|\overline{XVI}|$ · $\overline{LXXV}$* Mart. Cap. 6, 675   4 *et isidorus* D(?)E²Rob om. r *$|\overline{L}|$ · $\overline{XIII}$ · DCCL* Detlefsen *$\overline{LXIII}$ · DCCL* (cf. 6, 209) o   6 *$\overline{XXXVIII}$* RE (Mart. Cap. 6, 666) *-$\overline{VIIII}$* F *-$\overline{VII}$* D   *$\overline{LXXV}$* A(t) *$\overline{LXV}$* y *$\overline{XXV}$* r (Mart. Cap.)   8 *isiodoro* A *isidorio* DFR   11 *CCCCXVII* R *-XXVIII* FE *-XXVIIII* E²   12 *clidas* A *dinas* (*-ar* E) r   15 *DLXXXVIII* E *DLXXIII* A¹   16 *CCCCLXVIII* A   17 *CLXXVI* A *CLXVI* r *CCLXVI*? Mayhoff   20 *$\overline{XCII}$*: cf. 2, 245 (F 7)   23 *$\overline{LXV}$*: cf. 2, 245   25 *calc(h)edone* DR *chalchaedonae* F *Sigeum* v *sigidium* (*sy-* E) o   26 *CCCXII* Fa *CCXII* R² (e corr.)

Solymorum, Lelegum, Bebrycum, Colycantiorum, Tripsedorum; ***Isidorus*** *Arieneos et Capreatas, ubi sit Apamea condita a Seleuco rege inter Ciliciam, Cappadociam, Cataoniam, Armeniam, et quoniam ferocissimas gentes domuisset, initio Dameam vocatam.*

782. ANHANG

(779 F 3)

1 (V 2 p. 394) MOSES VON KHOREN *Hist. Arm.* 2, 69: . . . . *on voit que les Parthes, depuis le commencement de leur empire jusque à sa chute, ont eu des rapports avec les Romains, tantôt comme tributaires, tantôt comme belligérants, ainsi que le racontent Paléphatos* (44 F 5), *Porphyre* (260 F 25), *Philémon* (V), *et beaucoup d'autres écrivains. Mais nous ne parlerons que d'après le livre apporté par Khorohpoud sous le nom de Barsouma* (695 T 1) . . . .

2 CASSIUS DIO 40, 15, 1 (a. 54[a]): περὶ μὲν οὖν τοῦ τε γένους καὶ τῆς χώρας τῆς τε ἰδιότητος τῶν ἐπιτηδευμάτων αὐτῶν (*scil.* τῶν Πάρθων) π ο λ λ ο ῖ ς τε εἴρηται, καὶ ἐγὼ οὐκ ἐν γνώμηι ποιοῦμαι συγγράψαι. (Es folgt F 6).

3 STRABON 11, 9, 2 p. 515: (779 F 5 a) νεωτερισθέντων δὲ τῶν ἔξω τοῦ Ταύρου διὰ τὸ πρὸς ἀλλήλους (?) εἶναι τοὺς τῆς Συρίας καὶ τῆς Μηδίας βασιλέας τοὺς ἔχοντας καὶ ταῦτα, πρῶτον μὲν τὴν Βακτριανὴν ἀπέστησαν οἱ πεπιστευμένοι καὶ τὴν ἐγγὺς αὐτῆς πᾶσαν οἱ περὶ Εὐθύδημον, ἔπειτ' Ἀρσάκης, ἀνὴρ Σκύθης, τῶν Δαῶν τινας ἔχων – τοὺς Πάρνους καλουμένους νομάδας παροικοῦντας τὸν Ὦχον – ἐπῆλθεν ἐπὶ τὴν Παρθυαίαν, καὶ ἐκράτησεν αὐτῆς. κατ' ἀρχὰς μὲν οὖν ἀσθενὴς ἦν διαπολεμῶν πρὸς τοὺς ἀφαιρεθέντας τὴν χώραν καὶ αὐτὸς καὶ οἱ διαδεξάμενοι ἐκεῖνον, ἔπειθ' οὕτως ἴσχυσαν ἀφαιρούμενοι τὴν πλησίον ἀεὶ διὰ τὰς ἐν τοῖς πολέμοις κατορθώσεις, ὥστε τελευτῶντες ἁπάσης τῆς ἐντὸς Εὐφράτου κύριοι κατέστησαν. ἀφείλοντο δὲ καὶ τῆς Βακτριανῆς μέρος βιασάμενοι τοὺς Σκύθας καὶ ἔτι πρότερον τοὺς περὶ Εὐκρατίδαν, καὶ νῦν ἐπάρχουσι τοσαύτης γῆς καὶ τοσούτων ἐθνῶν, ὥστε ἀντίπαλοι τοῖς Ῥωμαίοις

---

1 *solimorum* A *polimorum* (*poly-*) FRa *elegum* FRa *lelicum* A *colycanthiorum* A *colicantiorum* (*colu-*, *-canty-*) r *trypsedorum* FE 2 *arieneos* REa *aryeneos* DF *archineos* A *Arimos* Barbarus *capreatas* DFEa *capa-* AR[1] *capretas* R[2] *apamia* DE 7-12: übersetzung von V. Langlois 17 ἀλλήλους ς Ald (cf. Justin. 41, 4, 4 *duorum fratrum regum Seleuci et Antiochi discordia*; Herodian. *Hist.* 6, 2, 7 ἐκείνων δὲ πρὸς ἀλλήλους διαφερομένων) ἀλλήλοις ο ἀλλήλους ‹ἐχθρούς› Groskurd ἄλλοις Tyrwhitt (Kramer, Mei) 19 οἱ περὶ Εὐθύδημον: 'versehen statt Διόδοτον' Beloch [οἱ περὶ Εὐθύδημον (aus 11, 11, 1)] o. οἱ περὶ ‹Διόδοτον (§ 3) καὶ› Εὐ.? cf. Justin. 41, 4, 5 *eodem tempore etiam Theodotus* (τι *diodotus* – richtig nach Prol. 41 – πC), *mille urbium Bactrianarum praefectus, defecit regemque se appellari iussit* (s. Komm.) 20 Δαῶν Xyl δατίων (cf. 7, 3, 12?) ο 20-21: cf. Strab. 11, 7, 1 τοὺς δ' οὖν ἐν ἀριστερᾶι εἰσπλέοντι τὸ Κάσπιον πέλαγος παροικοῦντας νομάδας Δάας οἱ νῦν προσαγορεύουσι τοὺς ἐπονομαζομένους Πάρνους (Xyl σπάρνους ο Ἀπάρνους [11, 8, 2] Cas) 24-25 ἁπάσης γῆς x 26 τι μέρος ς

τρόπον τινὰ γεγόνασι κατὰ μέγεθος τῆς ἀρχῆς. αἴτιος δ' ὁ βίος αὐτῶν καὶ τὰ ἔθη τὰ ἔχοντα πολὺ μὲν τὸ βάρβαρον καὶ τὸ Σκυθικόν, πλέον μέντοι τὸ χρήσιμον πρὸς ἡγεμονίαν καὶ τὴν ἐν τοῖς πολέμοις κατόρθωσιν.

(3) φασὶ δὲ τοὺς Πάρνους Δάας μετανάστας εἶναι ἐκ τῶν ὑπὲρ τῆς Μαιώτιδος Δαῶν, οὓς Ξανδίους ἢ Παρίους (?) καλοῦσι (οὐ πάνυ δ' ὡμολόγηται Δάας εἶναί τινας ὑπὲρ τῆς Μαιώτιδος Σκυθῶν)· ἀπὸ τούτων δ' οὖν ἕλκειν φασὶ τὸ γένος τὸν Ἀρσάκην. οἱ δὲ Βακτριανὸν λέγουσιν αὐτόν, φεύγοντα δὲ τὴν αὔξησιν τῶν περὶ Διόδοτον ἀποστῆσαι τὴν Παρθυαίαν.

εἰρηκότες δὲ πολλὰ περὶ τῶν Παρθικῶν νομίμων ἐν τῆι ἕκτηι τῶν Ἱστορικῶν ὑπομνημάτων βίβλωι, δευτέραι δὲ τῶν μετὰ Πολύβιον (91 F 1), παραλείψομεν ἐνταῦθα, μὴ ταυτολογεῖν δόξωμεν, τοσοῦτον εἰπόντες μόνον, ὅτι τῶν Παρθυαίων συνέδριόν φησιν εἶναι Ποσειδώνιος (87 F 71) διττόν, τὸ μὲν συγγενῶν, τὸ δὲ σοφῶν καὶ μάγων, ἐξ ὧν ἀμφοῖν τοὺς βασιλεῖς καθίστασθαι.

4 Iustin. 41, 1, 10: *hi* (die Parther) *domesticis seditionibus Scythia pulsi solitudines inter Hyrcaniam et Dahas et Areos et † sparthanos et Margianos furtim occupavere.* (11) *fines deinde non intercedentibus primo finitimis, postea etiam prohibentibus in tantum protulere, ut non inmensa tantum ac profunda camporum, verum etiam praerupta collium montiumque ardua occupaverint.* (12) *ex quo fit, ut Parthiae pleraque finium aut aestus aut frigoris magnitudo possideat, quippe cum montes nix, campos aestus infestet.*

(2) *administratio gentis post defectionem Macedonici imperii sub regibus fuit.* (2) *proximus maiestati regum propinquorum ordo est: ex hoc duces in bello, ex hoc in pace rectores habent.* (3) *sermo his inter Scythicum Medicumque medius ex utrisque mixtus.* (4) *vestis olim sui moris; posteaquam accessere opes, ut Medis perlucida ac fluida. armorum patrius ac Scythicus mos.* (5) *exercitum non, ut aliae gentes, liberorum, sed maiorem partem servitiorum habent, quorum vulgus nulli manumittendi potestate permissa ac per hoc omnibus servis nascentibus in dies crescit. hos pari ac*

4 Πάρνους: Πάρθους (Justin. 41, 1, 10)? 5 ξανδείους C Ξανθίους (11, 8, 2) Xyl ἢ Παρίους v ἢ παρείους o καὶ Πάρνους? cf. 11, 8, 2 καὶ τῶν Δαῶν (δάων o) οἱ μὲν προσαγορεύονται Ἄπαρνοι, οἱ δὲ Ξάνθιοι, οἱ δὲ Πίσσουροι κτλ. 6 [δ'] οὖν? 11 παραλείψωμεν C(?)D^{ac} 13 συγγενῶν (s. zu F 4 lin. 24): εὐγενῶν Cor 14 καθίστασθαι E καθίστησιν o καθιστᾶσιν Cas 16 *sparthanos* τπι *sparnos* C (unmöglich trotz Strab. 11, 7, 2 und Altheim *Weltgesch.* II p. 16; s. Komm.) *Apartanos* Gutschmid 21 *et campos* τ 23 *semper sub* C 24 *propinquorum* (F 3 lin. 13) Altheim *populorum* τπι *ipsorum* C *philosophorum* Heminius *probulorum* Gutschmid *praepositorum* Jeep 26 *ex utrisque* Freinsheim *et utrisque* (*utrique* C) o *et utrimque* I. F. Gronov [*et u. mixtus*] Fleckeisen omnibus τπι *communibus* C

liberos suos cura et equitare et sagittare magna industria docent. (6) *locupletissimus ut quisque est, ita plures in bella equites regi suo praebet. denique Antonio bellum Parthis inferenti cum L milia equitum occurrissent, soli CCCC liberi fuere.* (7) *comminus in acie proeliari aut obsessas expugnare urbes nesciunt: pugnant aut procurrentibus equis aut terga dantibus; saepe etiam fugam simulant, ut incautiores adversum vulnera insequentes habeant.* (8) *signum his in proelio non tuba sed tympano datur. nec pugnare diu possunt; ceterum intolerandi forent, si quantus his est impetus* [*vis*], *tanta et perseverantia esset.* (9) *plerumque in ipso ardore certaminis proelia deserunt ac paulo post pugnam ex fuga repetunt, ut cum maxime vicisse te putes, tunc tibi discrimen subeundum sit.* (10) *munimentum ipsis equisque loricae plumatae sunt, quae utrumque toto corpore tegunt. auri argentique nullus nisi in armis usus.* (3) *uxores dulcedine variae libidinis singuli plures habent, nec ulla delicta adulteriis gravius vindicant.* (2) *quamobrem feminis non convivia tantum virorum, verum etiam conspectum interdicunt.* (3) *carne non nisi venatibus quaesita vescuntur.* (4) *equis omni tempore vectantur; illis bella, illis convivia, illis publica ac privata officia obeunt; super illos ire, consistere, mercari, colloqui. hoc denique discrimen inter servos liberosque est, quod servi pedibus, liberi non nisi equis incedunt.* (5) *sepultura vulgo aut avium aut canum laniatus est; nuda demum ossa terra obruunt.* (6) *in superstitionibus atque cura deorum praecipua omnibus veneratio est.* (7) *ingenia genti tumida, seditiosa, fraudulenta, procacia, quippe violentiam viris, mansuetudinem mulieribus adsignant.* (8) *semper aut in externos aut in domesticos motus inquieti; natura taciti ad faciendum quam ad dicendum promptiores; proinde secunda adversaque silentio tegunt.* (9) *principibus metu, non pudore parent. in libidinem proiecti, in cibum parci.* (10) *fides dicti promissique nulla, nisi quatenus expedit.*

5 **a**) STRABON 15, 1, 36 p. 702: (Megasthenes 715 F 18) τοιοῦτο δὲ καὶ τὸ παρὰ τοῖς Παρθυαίοις· Ἀρσάκαι γὰρ καλοῦνται πάντες, ἰδίαι δὲ ὁ μὲν Ὀρώδης, ὁ δὲ Φραάτης, ὁ δ' ἄλλο τι. **b**) IUSTIN. 41, 5, 5: *sic Arsaces quaesito simul constitutoque regno non minus memorabilis Parthis quam Persis Cyrus, Macedonibus Alexander, Romanis Romulus, matura senectute*

1 *cura* τC *cura habent* ι *currere* π 2 *in bello* τ 3-4 *denique – fuere*: zusatz des Trogus; stünde besser hinter *crescit* (p. 786, 30) 3 *occurrerent* τ 6 *adversum* om. VQR (cl. τ) *-sus* C 8 *quantus* τC *-to* π *-ta* ι *his*: *eis* Madvig 8-9 *in impetus vis* ι [*vis*] U. Koehler ‹*quanta*› vis? Klotz *quanta . . . impetus vis*? Seel 14 *adulteriis* Baehrens *-terii* ι *-teris* C *-terio* $\pi\tau^c$ *-teria* (*quam -teria* V^2)τ^c 21 *atque cura* τπ *ad curam* ι 29 τοιοῦτον x 31 ἡρώδης x 31-p. 788, 2: cf. Ammian. Marc. 23, 6, 4-6 33 *Romanis Romulus*: zusatz des Trogus; s. Komm. zu no. 779

decedit, cuius memoriae hunc honorem Parthi tribuerunt, ut omnes exinde reges suos Arsacis nomine nuncupent. c) Cassius Dion 40, 14, 3: ἔς τε τὸ μέσον τότε πρῶτον (unter Alexanders nachfolgern) ὑπ' Ἀρσάκου τινὸς ἀφίκοντο, ὅθενπερ καὶ οἱ ἔπειτα βασιλεύσαντες αὐτῶν Ἀρσακίδαι ἐπωνομάσθησαν.

6 Cassius Dion 40, 15, 1: (vorgeschichte der Parther c. 14; F 2) τῆι δὲ δὴ ὁπλίσει καὶ τῆι τῶν πολέμων διαχειρίσει (τούτων γὰρ ὁ ἐξετασμὸς τῶιδε τῶι λόγωι, ὅτι καὶ ἐς χρείαν αὐτῶν ἀφικνεῖται, προσήκει) τοιᾶιδε χρῶνται. (2) ἀσπίδι μὲν οὐδὲν νομίζουσιν, ἱπποτοξόται δὲ καὶ κοντοφόροι τὰ πολλὰ κατάφρακτοι στρατεύονται· πεζοί τε ὀλίγοι μὲν καὶ οἱ ἀσθενέστεροι, τοξόται δ' οὖν καὶ ἐκεῖνοι πάντες εἰσίν. ἔκ τε γὰρ παίδων ἀσκοῦνται, καὶ ὁ οὐρανὸς ἥ τε χώρα αὐτοῖς συναίρεται πρὸς ἀμφότερα. (3) αὕτη τε γὰρ πεδιὰς ὡς πλήθει οὖσα ἀρίστη τε ἵππους τρέφειν ἐστὶ καὶ ἐπιτηδειοτάτη καθιππεύεσθαι· ἀγέλας γοῦν ὅλας καὶ ἐν τοῖς πολέμοις, ὥστ' ἄλλοτε ἄλλοις ἵπποις χρῆσθαι καὶ πόρρωθέν τε ἐξαπιναίως ἐπελαύνειν καὶ μακράν ποι ἐξ αἰφνιδίου ἀποχωρεῖν, ἐπάγονται. (4) καὶ <ὁ> οὐρανὸς ὁ ὑπὲρ αὐτῶν, ξηρότατός τε ὢν καὶ ἰκμάδα οὐδὲ ἐλαχίστην ἔχων, ἐντονωτάτας σφίσι τὰς τοξείας πλὴν τοῦ πάνυ χειμῶνος παρέχεται· καὶ διὰ τοῦτο τὴν ὥραν ἐκείνην οὐδαμῆι στρατεύονται, τῶι δὲ δὴ λοιπῶι ἔτει δυσμαχώτατοι ἔν τε τῆι σφετέραι καὶ ἐν τῆι ὁμοιοτρόπωι εἰσί. (5) τόν τε γὰρ ἥλιον φλογωδέστατον ὄντα ἀνέχονται τῆι συνηθείαι, καὶ τῆς ὀλιγότητος τῆς τε δυσχερείας τοῦ ποτοῦ πολλὰ ἀλεξιφάρμακα ἀνευρήκασιν, ὥστε καὶ ἐκ τούτου μὴ χαλεπῶς τοὺς ἐς τὴν χώραν αὐτῶν ἐσβάλλοντας ἀμύνεσθαι. (6) ἔξω γὰρ ἐκείνης ὑπὲρ τὸν Εὐφράτην μάχαις μέν τισι καὶ καταδρομαῖς αἰφνιδίοις ἤδη ποτὲ ἴσχυσάν τι, πολεμῆσαι δέ τισιν ἀπαυστὶ καὶ διαρκῶς οὐ δύνανται, καὶ ἐς ἀλλοτριωτάτην σφίσι καὶ τῆς γῆς καὶ τοῦ οὐρανοῦ κατάστασιν ἀπαρτῶντες καὶ μήτε σίτου μήτε μισθοφορᾶς παρασκευὴν ποιούμενοι. τοιαῦτα μὲν τὰ τῶν Πάρθων ἐστίν.

XXVI. PHOENIKIEN

783. MENANDROS VON EPHESOS (PERGAMON)

Vor 133ª
(Um 200ª?)

T

1 (IV 445) a) Suda s.v. Ἐρατοσθένης· ... μαθητὴν ἐπίσημον καταλιπὼν Ἀριστοφάνην τὸν Βυζάντιον, οὗ πάλιν Ἀρίσταρχος μαθητής. μαθηταὶ δὲ αὐτοῦ Μνασέας

---

4 Ἀρσακίδαι: Ἀρσάκαι? 9 κοντοφόροι Val ἀκοντοφόροι L 13 ἀρίστη Bkr ῥάιστη L 16 <ὁ> Steph 17 ἐντονωτάτας Xiph ἐντονώτατα L 24 ἀπαυστὶ καὶ Rei ἀπαυτίκα L 26 ἀπαρτῶντες Bkr ἀπαρτῶνται L μισθοφορᾶς (o. μισθοῦ) παρασκευὴν Reimarus μισθοφόρα σκεύη L 32 μαθηταί: μαθητής A αὐτοῦ: des Eratosthenes

καὶ Μένανδρος καὶ Ἄριστις. **b**) – s.v. Ἴστρος (334 T 1)· Μενάνδρου † Ἴστρου ... Καλλιμάχου δοῦλος καὶ γνώριμος.

2 a) TERTULLIAN. *Apol.* 19, 5-6: 794 F 5c. **b**) EXPOSITIO TOT. MUNDI 2 (*Geogr. Lat. Min.* p. 104 f. Riese): ... *post hunc* (scil. *Moysen*) *de provinciis et temporibus sequentia dixit Berosus Chaldaeorum philosophus* (680), *cuius litteras secuti sunt Manethon Aegyptius propheta* (609) *et Apollonius similiter Aegyptiorum philosophus* (661?); *Josephus quoque vir sapiens, Judaeorum praeceptor, qui captus a Romanis scripsit Judaicum bellum. post istos vero Menander Ephesius et Herodotus et Thucydides similia conscripserunt, sed non valde de antiquis. et haec quidem illi; ego autem de quibus memorati scripserunt, experiar tibi breviter exponere.*

3 a) JOSEPH. *A.J.* 8, 144: Μένανδρος ὁ μεταφράσας ἀπὸ τῆς Φοινίκων διαλέκτου τὰ Τυρίων ἀρχεῖα εἰς τὴν Ἑλληνικὴν φωνήν. **b**) – – 9, 283: Μένανδρος ὁ τῶν χρονικῶν ποιησάμενος τὴν ἀναγραφὴν καὶ τὰ τῶν Τυρίων ἀρχεῖα μεταφράσας εἰς τὴν Ἑλληνικὴν γλῶτταν (F 4) **c**) – *c. Ap.* 1, 116: ... Μένανδρον τὸν Ἐφέσιον. γέγραφεν δὲ οὗτος τὰς ἐφ' ἑκάστου τῶν βασιλέων πράξεις τὰς παρὰ τοῖς Ἕλλησι καὶ βαρβάροις γενομένας ἐκ τῶν παρ' ἑκάστοις ἐπιχωρίων γραμμάτων σπουδάσας τὴν ἱστορίαν μαθεῖν (F 1).

4 TATIAN. *Ad Graec.* 37: (784 T 1) καὶ Μένανδρος δὲ ὁ Περγαμηνὸς περὶ τῶν αὐτῶν (*scil.* τῶν Φοινίκων) τὴν ἀναγραφὴν ἐποιήσατο. F 2.

F

ΒΑΣΙΛΕΩΝ ΠΡΑΞΕΙΣ (?)

1 (1) JOSEPH. *c. Ap.* 1, 116: (794 F 1 c; Dios 785 F 1) ἀλλὰ πρὸς τούτωι παραθήσομαι καὶ Μένανδρον τὸν Ἐφέσιον (T 3 c) ... (117) γράφων τοίνυν περὶ τῶν ἐν Τύρωι βεβασιλευκότων, ἔπειτα γενόμενος κατὰ τὸν Εἴρωμον ταῦτά φησι· «τελευτήσαντος δὲ Ἀβιβάλου, διεδέξατο τὴν βασιλείαν ὁ υἱὸς αὐτοῦ Εἴρωμος, ὃς βιώσας ἔτη $\overline{\nu\gamma}$ ἐβασίλευσεν ἔτη 969/8

1 Μενάνδρου ἱστορικοῦ Toup M. ἰατροῦ Daub M. <ἢ> Ἴστρου Siebelis Μενάνδρου (des Kallatianers?) <* * Ἴστρος> Ἴστρου? 12 φοινίκης O 13 ἀρχία ROM[1] *antiquitates* Lat 14 ἀρχεῖα: ἀρχίων R *antiquitatum* Lat 16 (17) τὰς Eus Synk om. L 17 γεγενημένας Eus ἑκάστοις Eus Lat ἐκείνοις L 18 γραμμάτων: πραγμάτων Eus 23-p. 792, 4: Euseb. *Chron.* Cramer *An. Par.* II p. 185, 26 ff. (= Eus); Euseb. Arm. *Chron.* p. 55, 10 ff. Karst (= Arm); 23-p. 791, 13: Synkell. p. 344, 17 ff. ed. Bonn. (verkürzt); 23-p. 790, 10: Joseph. *A. J.* 8, 144/6 (= Jos.[1]) 25 τοίνυν Eus *enim* Lat δὴ L ἐν τ. βεβασ. Eus Arm βεβασ. ἐν τύρω L Εἴρωμον: s. zu lin. 27 26 δὲ om. Eus 27 ὁ υἱὸς αὐτοῦ L Synk *dessen sohn* Arm παρ' αὐτοῦ υἱὸς Jos[1] αὐτοῦ ὁ υἱὸς αὐτοῦ Eus αὐτοῦ ὁ υἱὸς Niese εἴρωμος L Jos[1] (εἴ- O χείραμος V) ἴρωμος Eus Arm σίρωμος Synk ἱέρωμος [Theoph.] *Ad Autol.* 3, 22 (cf. 794 F 5); v.l. *A.J.* 7, 66 χείραμος (SP), *chiram* (Lat), ἱέρωμος (O), εἴραμος (M), εἴρωμος (VE); vgl. zu p. 791, 10; 784 F 1a ὃς om. L Lat(?) $\overline{\nu\gamma}$ – ἔτη om. L Lat ἔτη om. Jos[1]

λδ. (118) οὗτος ἔχωσε τὸ Εὐρύχωρον, τόν τε χρυσοῦν κίονα τὸν ἐν τοῖς τοῦ Διὸς ἀνέθηκεν, ἐπί τε ὕλην ξύλων ἀπελθὼν ἔκοψεν ἀπὸ τοῦ λεγομένου Λιβάνου ὄρους κέδρινα ξύλα εἰς τὰς τῶν ἱερῶν στέγας, καθελών τε τὰ ἀρχαῖα ἱερὰ καινὰ ἀνῳκοδόμησεν τό τε τοῦ Ἡρακλέους καὶ τῆς Ἀστάρτης, πρῶτός τε τοῦ Ἡρακλέους ἔγερσιν ἐποιήσατο ἐν τῶι Περιτίωι μηνί, (119) τοῖς τε Ἰτυκαίοις ἐπεστρατεύσατο μὴ ἀποδιδοῦσι τοὺς φόρους, [οὓς] καὶ ὑποτάξας πάλιν ἑαυτῶι ἀνέστρεψεν. (120) ἐπὶ τούτου ἦν Ἀβδήμουνος παῖς νεώτερος, ὃς ἀεὶ ἐνίκα τὰ προβλήματα, ἃ ἐπέταττε Σολομὼν ὁ Ἱεροσολύμων βασιλεύς». (121) ψηφίζεται δὲ ὁ χρόνος ἀπὸ τούτου τοῦ βασιλέως ἄχρι Καρχηδόνος κτίσεως οὕτως· τελευτήσαντος Εἰρώμου διεδέξατο τὴν βασιλείαν Βααλβάζερος υἱός, ὃς βιώσας ἔτη μγ ἐβασίλευσεν ἔτη ιζ (?). (122) μετὰ τοῦτον Ἀβδάσταρτος υἱός, ὃς βιώσας ἔτη λθ ἐβασίλευσεν ἔτη θ· τοῦτον οἱ τῆς τροφοῦ αὐτοῦ υἱοὶ τέσσαρες ἐπιβουλεύσαντες ἀπώλεσαν, ὧν ὁ πρεσβύτερος ἐβασίλευσεν †ἔτη ιβ· μεθ' οὓς Ἄσταρτος ὁ δελαιαστάρτου†, ὃς βιώσας ἔτη νδ ἐβασίλευσεν

1 τὸ (τὸν SP) εὐ. Jos[1] *den zwischenraum, der zwischen der stadt und dem tempel des Aramazd* (= Zeus v. 2) *war* Arm; τὸν εὐρύχωρον L Eus Synk cf. 785 F 1 2 τὸν om. Synk τὸν ἐντὸς τοῦ Διός Gutschmid Διὸς: *Aramazd* Arm ἐπί τε Eus *et ad* Lat *hinziehend nach den zedernwäldern* Arm ἔπειτα L ἔτι τε (τε om. OR *insuper* Lat) Jos[1] 3 ἀπὸ τοῦ λεγ. (om. Synk.) λιβ. ὄρους Eus Synk ἀ. τ. λεγ. ὄ. λιβ. L ἀ. τ. ὄ. τ. λεγ. λιβ. Jos[1] κέδρινα ξύλα L Eus Arm Synk om. Jos[1] 4-6 καθελὼν – ἐποιήσατο: *fanum aedificavit herculis fecit erectiorem* Lat καθελὼν – μηνί Eus Arm Jos[1] καθελὼν – ἀστάρτης τέμενος ἀνιέρευσεν καὶ τὸ μὲν τοῦ ἡρακλέους πρῶτον ἐποιήσατο – μηνί, εἶτα τὸ τῆς ἀστάρτης L καὶ – ἡρακλέους om. Lat εἶτα – ἀστάρτης om. Eus Arm Jos[1] 4-8 καθελὼν – ἀνεστρέψατο om. Synk 4-5 καινὰ ἀνῳκοδόμησεν Gutschmid καὶ ναοὺς ᾠκοδόμησεν L καὶ ναὸν ᾠ. Jos[1] ναὸν ᾠ. Eus Arm 5 τό τε L τόν τε Eus Arm om. Jos[1] πρῶτος Jos[1] πρῶτον L Eus Arm 7 τοῖς τε Ἰτυκαίοις Gutschmid ὁπότε τιτυοῖς L *adversus titiceos* Lat τοῖς τε τιτυαίοις Eus Arm τοῖς τε ἰυκέοις (SP ἠυκαίοις RO) Jos[1] ἐπεστρατεύσατο Eus Jos[1] -τευσεν L 7-8 τοὺς φόρους L Jos[1] τὸν φόρον Eus *die widerspenstig der botmässigkeit sich nicht unterziehen wollten* Arm 8 [οὓς] (om. Jos[1]) Jac πάλιν ἑαυτῶ(ι) L Jos[1] (αὐτῶ RSML αὐτῶν O αὐτοὺς P[c]) ἑαυτῶι πάλιν Eus (Niese) 9 ἐπὶ τούτου Synk (εἶτα ἐ. τ.) Jos[1] ἐπὶ τούτων L ἐπὶ τούτοις Eus ἦν Eus Synk Jos[1] δέ τις ἦν L (richtig?) ἀβδήμουνος (genitiv?) L Synk ἀβδούμηνος Eus *der jüngere sohn des Abdemon* Arm ἀβδήμονος (ἄβινος P) Jos[1]; cf. 785 F 1 ἀεὶ om. L λύων τὰ Eus 10 ἐπέτασσε L Synk σαλομὼν L *der Jerusalemiten* Arm 11 οὗτος ὁ χρ. Eus ἄχρι τῆς L 12 ἰρώμου Eus Arm βααλβάζερος Arm Synk *balbazerus* Lat (v) βαλεάζερος L βααλζάβερ Eus βάζωρος Theoph ὁ υἱός L 13 ιζ Arm Synk ζ L Lat Eus 13-14 ἀβδάσταρτος Eus Arm Synk ἀβδάστρατος L *abdatratus* Lat 14 υἱὸς ὃς (cf. lin. 12/3; 16?) Eus ὁ αὐτοῦ υἱός L (Arm?) υἱὸς Lat Synk λθ Eus Arm κθ L *XX* Lat om. Synk 15 δ υἱοὶ Eus τρεῖς παῖδες Synk δύο υἱοὶ Gutschmid 15-791, 1 ὧν ὁ πρεσβύτερος ἐβασίλευσεν

ἔτη ιβ. (123) μετὰ τοῦτον Ἀσθάρυμος ὁ ἀδελφὸς αὐτοῦ βιώσας ἔτη νη
ἐβασίλευσεν ἔτη θ. οὗτος ἀπώλετο ὑπὸ τοῦ ἀδελφοῦ Φέλλητος, ὃς λαβὼν τὴν
βασιλείαν ἦρξεν μῆνας η̄, βιώσας ἔτη ν̄. τοῦτον ἀνεῖλεν Εἰθώβαλος ὁ τῆς
Ἀστάρτης ἱερεύς, ὃς βιώσας ἔτη μη ἐβασίλευσεν ἔτη λβ. (124) τοῦτον διε-
δέξατο Βαλέζωρος υἱός, ὃς βιώσας ἔτη με ἐβασίλευσεν ἔτη ἕξ (?)· (125)
τούτου διάδοχος γέγονε Μέττηνος υἱός, ὃς βιώσας ἔτη λβ ἐβασίλευσεν ἔτη κθ. 794 F 10
τούτου διάδοχος γέγονεν Φυγμαλίων (?), ὃς βιώσας ἔτη νς ἐβασίλευσεν ἔτη μζ.
ἐν δὲ τῶι ἐπ' αὐτοῦ ἑβδόμωι ἔτει ἡ ἀδελφὴ αὐτοῦ φυγοῦσα ἐν τῆι Λιβύηι πόλιν 814/3
ᾠκοδόμησεν Καρχηδόνα.

(126) συνάγεται δὲ πᾶς ὁ χρόνος ἀπὸ τῆς Εἰρώμου βασιλείας ἄχρι Καρχηδόνος
κτίσεως ἔτη ρνε μῆνες η̄. ἐπεὶ δὲ δωδεκάτωι ἔτει τῆς αὐτοῦ βασιλείας ὁ ἐν Ἱεροσολύμοις c. 958
ᾠκοδομήθη ναός, γέγονεν ἀπὸ τῆς οἰκοδομήσεως τοῦ ναοῦ ἄχρι Καρχηδόνος κτίσεως
ἔτη ρμγ μῆνες η̄. (127) τῆς μὲν οὖν παρὰ Φοινίκων μαρτυρίας τί δεῖ προσθεῖναι πλέον;

ἔτη ιβ (ἔ. ιβ om. Lat) μεθ' οὓς ἄσταρτος (*metusastartus* Lat μεθουάσταρτος Theoph) ὁ δελαιαστάρτου (*leastrati* Lat) ὃς βιώσας ἔτη νδ (*XLIII* Lat) ἐβασίλευσεν ἔτη ιβ L ὧν ὁ πρεσβύτερος ἐβασίλευσε μεθ' ὃν ἄσταρτος ἐλέσταρτος (ἐλεαστάρτου Synk Arm), ὃς – ιβ Eus Synk Arm ὧν ὁ πρεσβύτατος ἐβασίλευσεν Μεθουσάσταρτος ὁ Λεαστάρτου, ὃς – ιβ Niese 15 πρεσβύτερος o -τατος Scal 16 νδ L Eus Arm *XLIII* Lat om. Synk

1 ἀσθάρυμος ὁ ἀδελφὸς (-φοῦ Synk) αὐτοῦ Eus Synk ὁ ἀ. αὐ. ἀσέρυμος (*astharimus* Arm *astirimus* Lat) L Lat Arm νη Eus Arm Theoph νδ L Lat 2 φέλλητος L Eus *pellete* Lat *phelitos* Arm ὃν ἀδ. Φέλλης (ἕλλης Theoph) ἀνελὼν Synk 3 η̄ L Synk Arm ιη Eus cf. lin. 11; 13 ν̄ L Eus *10* Arm om. Synk εἰθώβαλος L εἰθόβαλος Synk ἰθόβαλος Eus *itholbalus* Arm; cf. p. 792, 7; 794, 3 o 3-4 ὁ τῆς ἀστάρτης (*astartiarum* Lat) ἱερεύς L ὁ τῆς ἀστάρτης (-του Eus *der Astartaeer* Arm) Eus Synk Arm 4 ὃς βιώσας ἔτη μη (μ Theoph β. – μη om. Synk) ἐβασίλευσεν ἔτη λβ (ιβ Theoph) Eus Synk ὃς βασιλεύσας ἔτη λβ ἐβίωσεν ἔτη ξη (*48* Arm) L Arm 5 *balezoros* Arm βαλίζωρος Eus βαλέζερος Synk βαδέζωρος (*-odus* Lat) L βάζωρος Theoph ἕξ L *8* Arm Synk ιη Eus ζ Theoph 6 μέττηνος Theoph *mettinus* Lat μέτηνος Synk (B) Arm μέτινος Synk (A) μάττηνος L cf. (F 7 § 157?) 794 F 10; 18 b c. 4, 3 ὁ υἱός L κθ Arm Theoph κε Eus Synk θ L Lat 7 Φυγμαλίων: s. J. Lévy *Mél. Dussaud* II, 1939, p. 544 φυσμαλίου L *physmanon* (v.l. *-nun*) Arm *pigmalion* Lat μυγδαλίων φυσμαλίωνος Eus μυγδαλίων φυσμανοῦν Synk ἐν πυγμαλίων φυγμαλίου Theoph νς L Lat νη Eus Arm Theoph om. Synk μζ L Eus Arm *XL* Lat ζ Theoph 8-10 ἐν δὲ τῶι ἔτει αὐτοῦ ἑβδόμωι, ἐπεὶ –, συνάγεται Gutschmid 8 φυγοῦσα L Eus Arm Synk *dido* Lat καρθάγενα φυγοῦσα Synk εἰς λιβύην Theoph *nach dem Libyerlande* Arm 9 καρχηδόνα L Eus Arm καρθάγεναν τὴν καὶ καρχηδόνα Synk 10-p. 792, 4: cf. *c. Ap.* 2, 18-19 10 δὲ Eus οὖν Theoph *ergo* Lat om. L ἰρώμου Eus σιρώμου Synk ἱερώμου Theoph ἄχρι L μέχρι Eus 11 η̄ L Arm ιη (auch lin. 13) Eus δωδεκάτωι: καθ' ὃν δὲ ὁ ναὸς ἤρξατο οἰκοδομεῖσθαι χρόνον, κατ' ἐκεῖνον ἔτος ἤδη τῆς ἐν Τύρωι βασιλείας ἑνδέκατον ἐνειστήκει Εἰρώμωι Joseph. *A.J.* 8, 62 αὐτοῦ Lat Eus Arm εἰρώμου L ἱερώμου Theoph 11-12 ὁ – ναός Eus ἐν ἱ. ᾠ. ὁ ναός L 12 ἄχρι L μέχρι Eus 13 τὴν – μαρτυρίαν Eus δεῖ L Arm δὴ Eus προστιθέναι Eus πλέον Eus πλείω L

βλέπεται γὰρ τἀληθὲς ἰσχυρῶς ὡμολογημένον καὶ πολὺ δήπου προάγειν τῆς τοῦ νεὼ κατασκευῆς τὴν τῶν προγόνων ἡμῶν εἰς τὴν χώραν ἄφιξιν· ὅτε γὰρ αὐτὴν πᾶσαν πολέμωι παρέλαβον, τότε τὸν νεὼν κατεσκεύασαν· καὶ ταῦτα σαφῶς ἐκ τῶν Ἱερῶν γραμμάτων ὑπ' ἐμοῦ δεδήλωται διὰ τῆς Ἀρχαιολογίας.

2 (3) TATIAN. *Ad Graec.* 37: 784 F 1.

3 (4) JOSEPH. *A.J.* 8, 324: μέμνηται δὲ τῆς ἀνομβρίας ταύτης καὶ Μένανδρος ἐν ταῖς Ἰθωβάλου τοῦ Τυρίων βασιλέως πράξεσι λέγων οὕτως· «ἀβροχία τε ἐπ' αὐτοῦ ἐγένετο ἀπὸ τοῦ Ὑπερβερεταίου μηνὸς ἕως τοῦ ἐχομένου ἔτους Ὑπερβερεταίου· ἱκετείαν δ' αὐτοῦ ποιησαμένου, κεραυνοὺς ἱκανοὺς βεβλκηέναι. οὗτος πόλιν Βότρυν ἔκτισε τὴν ἐπὶ Φοινίκηι καὶ Αὖζαν τὴν ἐν Λιβύηι». καὶ ταῦτα μὲν δηλῶν τὴν ἐπ' Ἀχάβου γενομένην ἀνομβρίαν – κατὰ γὰρ τοῦτον καὶ Ἰθώβαλος ἐβασίλευε Τυρίων – ὁ Μένανδρος ἀναγέγραφεν.

4 (–) JOSEPH. *A.J.* 9, 283: ὁ δὲ τῶν Ἀσσυρίων βασιλεὺς ἐπῆλθε πολεμῶν τήν τε Συρίαν πᾶσαν τήν τε Φοινίκην, τό τε ὄνομα τούτου τοῦ βασιλέως ἐν τοῖς Τυρίων ἀρχείοις ἀναγέγραπται, <θεμένων αὐτῶι † Πύλας ὄνομα>· ἐστράτευσε γὰρ ἐπὶ Τύρον βασιλεύοντος αὐτῆς Ἐλουλαίου. μαρτυρεῖ δὲ τούτοις καὶ c. 725
Μένανδρος (T 3 b) . . ., ὃς οὕτως ἐδήλωσε· (284) «καὶ Ἐλουλαῖος [θεμένων αὐτῶι Πύλας ὄνομα] ἐβασίλευσεν ἔτη τριακονταέξ. οὗτος ἀποστάντων Κιτιέων ἀναπλεύσας προσηγάγετο αὐτοὺς πάλιν. ἐπὶ τούτου † Σελάμψας ὁ τῶν Ἀσσυρίων βασιλεὺς ἐπῆλθε Φοινίκην πολεμῶν ἅπασαν, ὅστις σπεισάμενος εἰρήνην μετὰ πάντων ἀνεχώρησεν ὀπίσω. (285) ἀπέστη τε Τυρίων Σιδὼν καὶ Ἄκη καὶ ἡ πάλαι Τύρος καὶ πολλαὶ ἄλλαι πόλεις, αἳ τῶι τῶν Ἀσσυρίων ἑαυτὰς βασιλεῖ παρέδοσαν· δι' ἃ Τυρίων οὐχ ὑποταγέντων πάλιν ὁ βασιλεὺς ἐπ' αὐτοὺς ὑπέστρεψε, Φοινίκων

---

1 κατὰ πολὺ Gutschmid προάγειν Eus -γει L ναοῦ Eus 2 τὴν χώραν L Arm τὸν τόπον Eus 2-3 ὅτε – κατεσκεύασαν L Arm om. Eus 7 εἰθωβάλου (p. 791, 3) R^c ἰθοβάλου E *ithabali* Lat 8 ἐπ' αὐτοὺς SP Lat 10 ἰκεσίαν O 11 φοινίκην RO Αὖζαν: ἀοζὰν SP *auzan illiphsan* Lat 13 ὃς ὁ R ὃν ὁ O ὃν SP; nicht ὡς ὁ! 15 τήν τε RO καὶ SPM καὶ τὴν LV *et phoenicem universam* Lat τό τε RO τὸ δὲ SPMLVLat 16-19 < > – [ ] Frhr. v. Landau *Beiträge zur Altertumskunde d. Orients* I p. 15 17 ἐλιλαίου R *helusaeus* (auch v. 18) Lat τούτοις καὶ SPMLVLat καὶ τούτοις RO 19 θεμ. αὐ. πύλας (SP πυλὰς M πύας r Φοῦλος [= Tiglatpileser III] 9, 232? Λυλᾶς (= Lulî) J. Lévy *Mél. Dussaud* II, 1939, p. 544) om. Lat. 20 Κιτιέων Niese κιτταίων o *cetuteis* Lat 21 ἐπὶ τούτους (ἐλ)άμψας R ἐπὶ τούτοις ἐλαμψᾶς O ἐ. τούτους πέμψας r *contra quos denuo salamanassis – insurgens* Lat; cf. p. 793, 9 24 ἄκη (ἀκὴ) LV ἄρκη (*archae* Lat) r 24-25 τῶι τῶν: τῶν om. RO 25 διὸ SPMLV αὐτῶ οὐχ SPLV 26 ὑποστάντων O ὁ βασ. πάλιν PLV

συμπληρωσάντων αὐτῶι ναῦς ἑξήκοντα καὶ ἐπικώπους ὀκτακοσίας. (286) αἷς ἐπιπλεύσαντες οἱ Τύριοι ναυσὶ δεκαδύο, τῶν νεῶν τῶν ἀντιπάλων διασπαρεισῶν λαμβάνουσιν αἰχμαλώτους ἄνδρας εἰς πεντακοσίους· ἐπετάθη δὴ πάντων ἐν Τύρωι τιμή. (287) διὰ ταῦτ' ἀναζεύξας ὁ τῶν 'Ασσυρίων βασιλεὺς κατέστησε φύλακας ἐπὶ τοῦ ποταμοῦ καὶ τῶν ὑδραγωγίων, οἳ διακωλύσουσι Τυρίους ἀρύεσθαι· καὶ τοῦτο ἔτεσι πέντε γενόμενον, ἐκαρτέρησαν πίνοντες ἐκ φρεάτων ὀρυκτῶν». καὶ τὰ μὲν ἐν τοῖς Τυρίων ἀρχείοις γεγραμμένα κατὰ Σαλμανάσσου τοῦ 'Ασσυρίων βασιλέως ταῦτ' ἐστίν.

*5 (5) SCHOL. DIONYS. THRAC. (*Gr. Gr.* III) p. 184, 20 Hi: Φοινίκεια δὲ τὰ γράμματα ἐλέγοντο, ὥς φησιν Ἔφορος ὁ Κυμαῖος (70 F 105) καὶ Ἡρόδοτος (5, 58), ἐπεὶ Φοίνικες εὗρον αὐτά. Εὐφρόνιος (VI?) δὲ ὅτι διὰ μίλτου τὸ πρότερον ἐγράφοντο, ὅ ἐστι χρῶμά τι φοινικοῦν. 'Ετεωνεὺς (VI) <δὲ> καὶ Μένανδρος, ἐπειδὴ ἐν πετάλοις φοινικείοις ἐγράφοντο· ἢ (ὅπερ κρεῖττόν ἐστιν εἰπεῖν) ὅτι φοινίσσεται ὑπ' αὐτῶν ὁ νοῦς ἤγουν λαμπρύνεται. 10 F 9; 794 F 7.

*6 (6) LYDUS *De mens.* 4, 154 p. 170, 21 Wü: εἰσὶ δὲ οἵ φασι τὸν Κρόν(ον ἢ κα)τὰ ἀ(ντιστοίχειαν τὸν Χ)ρόνον Οὐρανοῦ εἶναι παῖδα· καὶ γὰρ ἐκ τῆς οὐρανοῦ (κινήσε)ως ὁ χρόνος. ἐν δὲ τῶι κατ' αὐτὸν ἱερῶι, ὥς φησι Φύλ(αρχος ἐν τῆι ἑ)πτακαιδεκάτηι (81 F 33) καὶ Μένανδρός γε (ἐν) ā, οὔτε γυνὴ οὔτε (κύων οὔτ)ε μυῖ(α) εἰσήιει.

OHNE AUTORNAMEN

*7 (2) JOSEPH. *c.Ap.* 1, 154 (EUS. ARM. *Chron.* p. 24, 29 ff. Karst): (Berossos 680 F 9 a) ταῦτα σύμφωνον ἔχει ταῖς ἡμετέραις βίβλοις τὴν ἀλήθειαν· γέγραπται γὰρ ἐν αὐταῖς, ὅτι Ναβουχοδονόσορος ὀκτωκαιδεκάτωι τῆς αὐτοῦ βασιλείας 587
ἔτει τὸν παρ' ἡμῖν ναὸν ἠρήμωσεν, καὶ ἦν ἀφανὴς ἐπ' ἔτη πεντήκοντα· δευτέρωι δὲ τῆς Κύρου βασιλείας ἔτει τῶν θεμελίων ὑποβληθέντων, δευτέρωι πάλιν τῆς Δαρείου βασιλείας ἀπετελέσθη.

1-2 ὀκταχοσίας SP -σίους r 2 δεκαδύο: δύο LV 4 *unde honor Tyriorum propter haec crevit eximie* Lat ἐπετέθη SPM¹LV δὴ R^cO δ' ἡ SP δὲ LV <ἡ> τιμή Bkr 5 δ' ὁ SPMVLLat 6 ὑδραγωγίων OV -ιῶν RMSPL -είων v διακωλύουσι RO 7 ἀρ(ρ)ύσασθαι SPM ἄρδεσθαι LV 8-9 τυρίοις ἀρχίοις R 9 σαλμανάσσου RO *salamanasso* Lat σαλ(α)μανασ(σ)άρου SPMV(L) 10 Φοινίκεια Bkr φοινικὰ Σ 12-13 διὰ μίλτου Σ¹ ἀμμύτω C μίλτωι Bkr 13 ὅ Σ¹ ἡ C τι Bkr τὸ C om. Σ¹ 14 <δὲ> Hilgard φοινικείοις A -κίοις, -κοῖς r ἐγράφοντο ἢ ὅτι ἐν πυρρῶι κηρῶι ἐγράφοντο Σ¹ 20 Μενάνδριος o. Λέανδρος (491 F 7) C. F. Schultze Μελάνθιος Mei γε (ἐν) ᾱ Jac γε (τῆι) α' ('lectio incerta') Wünsch 23-28: Euseb. *P.E.* 9, 40, 11; Synkell. p. 428, 6 ff. 24 σύμφωνον Eus Synk -να L 26 πεντήκοντα Eus Synk Arm ἑπτὰ LLat ἑβδομήκοντα Lowth 27 δευτέρωι: δεκάτωι Eus ς̄ Arm Synk 28 ἐτελέσθη Eus Synk

(155) προσθήσω δὲ καὶ τὰς τῶν Φοινίκων ἀναγραφάς· οὐ γὰρ παραλειπτέον τῶν ἀποδείξεων τὴν περιουσίαν. ἔστι δὲ τοιαύτη τῶν χρόνων ἡ καταρίθμησις· (156) ἐπ' Ἰθωβάλου τοῦ βασιλέως ἐπολιόρκησε Ναβουχοδονόσορος τὴν Τύρον ἐπ' ἔτη δεκατρία. (157) μετὰ τοῦτον ἐβασίλευσε 585/73 Βαὰλ ἔτη δέκα. μετὰ τοῦτον δικασταὶ κατεστάθησαν, καὶ ἐδίκασαν Ἐκνίβαλος Βασλήχου μῆνας β, Χέλβης Ἀβδαίου μῆνας ῑ, Ἄββαρος (?) ἀρχιερεὺς μῆνας γ̄, Μύττυνος ὃς καὶ Γεράστρατος τοῦ Ἀβδηλίμου δικασταὶ ἔτη ς̄, ὧν μεταξὺ ἐβασίλευσε Βαλάτορος ἐνιαυτὸν ἕνα. (158) τούτου τελευτήσαντος ἀποστείλαντες μετεπέμψαντο Μέρβαλον ἐκ τῆς Βαβυλῶνος, καὶ ἐβασίλευσεν ἔτη δ. τούτου τελευτήσαντος μετεπέμψαντο τὸν ἀδελφὸν αὐτοῦ Εἴρωμον, ὃς ἐβασίλευσεν ἔτη εἴκοσιν. ἐπὶ τούτου Κῦρος Περσῶν ἐδυνάστευσεν.

(159) οὐκοῦν ὁ σύμπας χρόνος ἔτη νδ̄ καὶ τρεῖς μῆνες πρὸς αὐτοῖς· † ἑβδόμωι μὲν γὰρ ἔτει τῆς Ναβουχοδονοσόρου βασιλείας † ἤρξατο πολιορκεῖν Τύρον, τεσσαρεσκαιδεκάτωι δ' ἔτει τῆς Εἰρώμου Κῦρος ὁ Πέρσης τὸ κράτος παρέλαβεν. (160) καὶ σύμφωνα μὲν περὶ τοῦ ναοῦ τοῖς ἡμετέροις γράμμασι τὰ Χαλδαίων καὶ Τυρίων, ὡμολογημένη δὲ καὶ ἀναντίρρητος ἡ περὶ τῶν εἰρημένων μοι μαρτυρία τῆς τοῦ γένους ἡμῶν ἀρχαιότητος.

UNSICHERES

8 (8) Zenob. *Prov.* 4, 32: Θρᾷκες ὅρκια οὐκ ἐπίστανται· ταύτης μέμνηται Μέ<u>νανδρος ἐν</u> τῆι πρώτηι. λέγει γὰρ ὅτι ἐν ταύτηι τῆι γῆι ὁ † πρεσβύτατος ἀκον-

1-11: trotz 789 F 1 aus M. (Gutschmid *Kl. Schr.* IV p. 545 f.) 3 ἐπὶ θωβάλου τ. βασ. LLat *unter Ethobalos dem priester* Arm; cf. 789 F 1 5 βαὰλ L *Balla* Arm *hecnibalus* Lat *Ednibalos* Arm 6 βασλήχου L *nibasci* Lat *des Basechos* (?) Arm ἀβδαίου L *addei* Lat *der Abdaeer* Arm ἄββαρος L *Abalos* (-*us*) Arm (Lat) 6-7 μῆνας γ̄ L Arm γρ. καὶ ἕξ *s.l.* L 7 μύττυνος (μύττ°υνος L *mittinus* Lat) ὃς καὶ γεράστρατος (*gerastartus* Lat) – ς̄ L *Sypunosthos* ('verlesen aus *Mytgonos*. Woher aber die endsilbe -*thos*?' Karst. Ist es ὃς?) *und Gerastartas* (so!). *Abdelima* (Karst p. 248 n. 71), *während er im richtertume war, regierte 6 jahre* Arm M. καὶ Γ. οἱ Ἀβδηλίμου δικασταὶ Niese Μύττουνος, ὃς καὶ Γεράσταρτος Ἀβδηλίμου δικαστὴς Ruehl 7-8 ὧν – ἕνα L *Balatoros, dessen sohn, regierte ein jahr* Arm 9 μέρβαλον L Arm *meralum* Lat δ Jos Arm (E) *drei* Arm (G) 10 τούτου L *eo quoque* Lat *und bei dessen* Arm καὶ τούτου δὲ Niese Εἴρωμον L *z-irolmon* ('verlesen') Arm 12 νδ̄: ν̄ (δ 'sehr alte interpolation') Gutschmid τρεῖς (supr. εξ) L πρὸς αὐτοῖς om. Lat *nach ihrer rechnung* Arm παρ' αὐτοῖς? 12-13 ἑβδόμωι μ. γ. ἐπὶ ῑ τῆς Ναβ. β. Capellus, Gutschmid ἑβδόμωι μ. γ. ἔτει τῆς Ἰθωβάλου βασ. Ναβουχοδονόσορος ἤρξατο Niese (Eissfeldt *Ras Shamra u. Sanchunjaton*, 1939, p. 4 ff.) εἰκοστῶι μ. γ. ἔτει τῆς Ναβ. β. Ed. Meyer (*GdA*[2] III p. 178 n. 1) 13-14 τεσσαρεσκαιδεκάτωι L *im vierten* Arm 14 ἔτει Lat Arm ἐπὶ L 15 περὶ τοῦ ναοῦ ('nisi maior videretur subesse corruptela') Niese ἐπὶ τοῦ ναοῦ L *de templo* Lat *berichten .... über den tempel* Arm ἔστι περὶ τοῦ ναοῦ Gutschmid 16 [περὶ] Gutschmid παρὰ Niese 19-20 Μαιάνδρ(ι)ος (491 F 8) Mei, Wil Μένανδρος ἐν τῆι πρώτηι Ἐπικλήρωι (–) Schott Menandros Protektor (IV 204, 7)? Mue 20-795, 1 ὁ πρεσβεὺς (πρεσβευτὴς) Ἀντῶν? Mue

πισθεὶς διὰ τοῦ στήθους ἀπώλετο, καὶ ἐντεῦθεν Ἴωσι καὶ Αἰολεῦσιν αἴνιγμα γέγονε «Θρᾶικες ὅρκια οὐκ ἐπίστανται».

9 (–) STEPH. BYZ. s.v. Καππαδοκία· χώρα τῆι Κιλικίαι πρόσχωρος, ὥς φησι Μένιππος (V) .... ὁ κτίστης Καππάδοκος εἴρηται ὑπὸ Μενάνδρου.

10 (–) STEPH. BYZ. s.v. Τέμβριον· πόλις Φρυγίας. Χάραξ (103 F 60) δὲ Τύμβριον αὐτήν φησι. Μένανδρος δὲ Τεμβρίειόν φησιν ὡς Γορδ‹ί›ειον.

784. LAITOS (-MOCHOS)

Vor Poseidonios (s. II^a?)

T

1 (IV 437) TATIAN. *Ad Graec.* 37 (EUSEB. *P.E.* 10, 11, 10): μετὰ δὲ τοὺς Χαλδαίους τὰ Φοινίκων οὕτως ἔχει· γεγόνασι παρ' αὐτοῖς ἄνδρες τρεῖς Θεόδοτος, Ὑψικράτης, Μῶχος· τούτων τὰς βίβλους εἰς Ἑλληνίδα κατέταξεν φωνὴν Λαῖτος ὁ καὶ τοὺς βίους τῶν φιλοσόφων ἐπ' ἀκριβὲς πραγματευσάμενος. (Es folgt F 1).

F

ΦΟΙΝΙΚΙΚΑ

1 (p. 437) a) TATIAN. *Ad. Graec.* 37 (EUSEB. *P.E.* 10, 11, 11/2): (T 1) ἐν δὴ ταῖς τῶν προειρημένων δηλοῦται ἱστορίαις κατά τινα τῶν βασιλέων Εὐρώπης ἁρπαγὴ γέγονεν Μενελάου τε εἰς τὴν Φοινίκην ἄφιξις καὶ τὰ περὶ Χείραμον, ὅστις Σολομῶνι τῶι Ἰουδαίων βασιλεῖ πρὸς γάμον δοὺς τὴν ἑαυτοῦ θυγατέρα καὶ ξύλων παντοδαπῶν ὕλην εἰς τὴν τοῦ ναοῦ κατασκευὴν ἐδωρήσατο. καὶ Μένανδρος δὲ ὁ Περγαμηνὸς (783 F 2) περὶ τῶν αὐτῶν τὴν ἀναγραφὴν ἐποιήσατο. τοῦ δὲ Χειράμου ὁ χρόνος ἤδη που τοῖς Ἰλιακοῖς ἐγγίζει, Σολομὼν δὲ ὁ κατὰ Χείραμον πολὺ κατώτερός ἐστι τῆς Μωυσέως ἡλικίας. **b)** CLEM. AL. *Strom.* 1, 114, 2: Εἴραμος τὴν ἑαυτοῦ θυγατέρα Σολομῶνι δίδωσι καθ' οὓς χρόνους μετὰ τὴν Τροίας ἅλωσιν Μενελάωι εἰς Φοινίκην ἄφιξις, ὥς φησι Μένανδρος ὁ Περγαμηνὸς καὶ Λαῖτος ἐν τοῖς Φοινικικοῖς.

*2 (p. 438) DIOG. LAERT. 1, 1 (SUDA s.v. Ὦχος): τὸ τῆς φιλοσοφίας ἔργον ἔνιοί φασιν ἀπὸ βαρβάρων ἄρξαι. γεγενῆσθαι γὰρ παρὰ μὲν Πέρσαις μάγους ....., καθά φησιν Ἀριστοτέλης ἐν τῶι Μαγικῶι (F 35 Ro) καὶ

---

3 πρόσχωρος R πρόσβορος RP 4 Μενάνδρου: Ἀλεξάνδρου (des Polyhistor)? Mei 5 τεμβρίου P 6 Μένανδρος: Ἀλέξανδρος? Mei Γορδίειον Berkel γόρδειον V γόρδιον RP(?) 10 χαλδαίους Eus χαλδαίων Tat τρεῖς ἄνδρες Tat 11 Μῶχος: s. Komm. 12 κατέταξε V Eus -αν P λαιτος (sol) Clem (cf. Λάιτος F 7-8) χαῖτος Tat ἄδιτος Eus (IO) 17 δὴ Eus δὲ Tat ἱστ. δηλ. Eus 18 ἁρπαγὴ Eus -γὴν Tat γέγονεν Wil γεγονέναι Tat Eus 19 εἴραμον b Eus (stets); cf. Εἴρωμος 783 F 1 ἑαυτοῦ (om. Tat) θυγατέρα b Eus 20 νεὼ Eus 23 μωσέως Eus 26 λαιτος L; cf. zu lin. 12

Σωτίων ἐν τῶι † εἰκοστῶι τρίτωι τῆς Διαδοχῆς (IV). Φοίνικά τε γενέσθαι <Μ>ῶχον καὶ Θρᾶικα Ζάλμοξιν καὶ Λίβυν Ἄτλαντα.

*3 (p. 438) a) IOSEPH. *A.J.* 1, 107 (EUSEB. *P.E.* 9, 13, 5; SYNKELL. p. 78, 12 ff.): μαρτυροῦσι δέ μου τῶι λόγωι πάντες οἱ παρ' Ἕλλησι καὶ βαρβάροις συγγραψάμενοι τὰς ἀρχαιολογίας. καὶ γὰρ καὶ Μανέθων ὁ τὴν Αἰγυπτιακῶν ποιησάμενος ἀναγραφὴν (609) καὶ Βηρωσὸς ὁ τὰ Χαλδαικὰ συναγαγὼν (680) καὶ Μ ῶ χ ό ς τ ε κ α ὶ Ἑ σ τ ι α ῖ ο ς (786) κ α ὶ π ρ ὸ ς α ὐ τ ο ῖ ς ὁ Α ἰ γ ύ π τ ι ο ς Ἱ ε ρ ώ ν υ μ ο ς (787) ο ἱ τ ὰ Φ ο ι ν ι κ ι κ ὰ σ υ γ γ ρ α ψ ά μ ε ν ο ι συμφωνοῦσι τοῖς ὑπ' ἐμοῦ λεγομένοις· (108) Ἡσίοδός τε (F 256) καὶ Ἑκαταῖος (1 F 35) καὶ Ἑλλάνικος (4 F 202) καὶ Ἀκουσίλαος (2 F 46) καὶ πρὸς τούτοις Ἔφορος (70 F 238) καὶ Νικόλαος (90 F 141) ἱστοροῦσι τοὺς ἀρχαίους ζήσαντας ἔτη χίλια. b) ATHEN. 3, 100 p. 126 A: ἐμπίπλασο, Οὐλπιανέ, (aus Tyros), † χθωροδλάψου πατρίου, ὃς παρ' οὐδενὶ τῶν παλαιῶν μὰ τὴν Δήμητρα γέγραπται, πλὴν εἰ μὴ ἄρα π α ρ ὰ τ ο ῖ ς τ ὰ Φ ο ι ν ι κ ι κ ὰ σ υ γ γ ε γ ρ α φ ό σ ι Σ α γ χ ο υ ν ι ά θ ω ν ι (790) κ α ὶ Μ ώ χ ω ι τ ο ῖ ς σ ο ῖ ς π ο λ ί τ α ι ς.

*4 (–) DAMASKIOS *De princ.* 125 c (I p. 323 Ruelle): Σιδώνιοι δὲ κατὰ τὸν αὐτὸν συγγραφέα (*scil.* Εὔδημον) πρὸ πάντων Χρόνον ὑποτίθενται καὶ Πόθον καὶ Ὀμίχλην. Πόθου δὲ καὶ Ὀμίχλης μιγέντων ὡς δυεῖν ἀρχῶν Ἀέρα γενέσθαι καὶ Αὔραν, Ἀέρα μὲν ἄκρατον τοῦ νοητοῦ παραδηλοῦντες, Αὔραν δὲ τὸ ἐξ αὐτοῦ κινούμενον τοῦ νοητοῦ ζωτικὸν προτύπωμα. πάλιν δὲ ἐκ τούτων ἀμφοῖν Ὦτον(?) γεννηθῆναι, κατὰ τὸν νοῦν (οἶμαι) τὸν νοητόν. ὡς δὲ ἔξωθεν Εὐδήμου τ ὴ ν Φ ο ι ν ί κ ω ν ε ὑ ρ ί σ κ ο μ ε ν κ α τ ὰ Μ ῶ χ ο ν μ υ θ ο λ ο γ ί α ν, Αἰθὴρ ἦν τὸ πρῶτον καὶ Ἀὴρ αἱ δύο αὗται ἀρχαί, ἐξ ὧν γεννᾶται Οὐλωμὸς ὁ νοητὸς θεός, αὐτὸ (οἶμαι) τὸ ἄκρον τοῦ νοητοῦ. ἐξ οὗ ἑαυτῶι συνελθόντος γεννηθῆναί φασι Χουσωρὸν ἀνοιγέα πρῶτον, εἶτα ὠόν· τοῦτο μὲν (οἶμαι) τὸν νοητὸν νοῦν λέγοντες, τὸν δὲ ἀνοιγέα Χουσωρὸν τὴν νοητὴν δύναμιν ἅτε πρώτην διακρίνασαν τὴν ἀδιάκριτον φύσιν, εἰ μὴ ἄρα μετὰ τὰς δύο ἀρχὰς τὸ μὲν ἄκρον ἐστὶν Ἄνεμος ὁ εἷς, τὸ δὲ μέσον οἱ δύο ἄνεμοι Λίψ τε καὶ Νότος· ποιοῦσι γάρ πως καὶ τούτους πρὸ τοῦ Οὐλωμοῦ. ὁ δὲ Οὐλωμὸς αὐτὸς ὁ νοητὸς εἴη νοῦς, ὁ δὲ ἀνοιγεὺς Χουσωρὸς ἡ μετὰ τὸ νοητὸν πρώτη τάξις, τὸ δὲ ὠὸν οὐρανός· λέγεται γὰρ ἐξ αὐτοῦ ῥαγέντος εἰς δύο γενέσθαι Οὐρανὸς καὶ Γῆ, τῶν διχοτομημάτων ἑκάτερον.

*5 (–) JAMBLICH. *Vit. Pyth.* 13: ὠφεληθεὶς (Pythagoras) οὖν παρὰ

---

2 Μῶχον Fabricius ὦχον Diog Sud 5-6 τὴν τῶν Αἰγυπτιακῶν Eus τὴν τῶν (add. M Synk) αἰγυπτίων Ios 7 μῶχος (μώ- M νῶ- L) Ios Synk μόλος Eus τε om. Eus ἑστιαῖος (αἰστιαῖος M ἱστ- L *aestius* Lat) Ios Eus Synk αὐτοῖς Ios (SPML) Eus Synk τούτοις Ios(RO) 7-8 ὁ αἰγύπτου E τοῖς αἰγυπτίοις Synk 8 οἵ τε Eus συνταξάμενοι Ios(SPML Lat?) Eus 9 ἡσίοδος δὲ SP 15 Σαγχουνιάθωνι Cas σουνιαίθωνι A 20 Ὦτον A (s. IX/X) ὠιὸν (Gruppe) Ed. Meyer Μωτὸν (Μῶτον cod. F Holstenii) Gressmann 22 Μῶχον v μωχον A 24 φησι F(Kopp) χουσωρὸν A χρυσωρὸν F 28-29 οὐλωμου – οὐλωμος (ohne akzent) A

Θάλεω ..... ἐξέπλευσεν εἰς τὴν Σιδόνα, φύσει τε αὐτοῦ πατρίδα πεπυσμένος εἶναι καὶ καλῶς οἰόμενος ἐκεῖθεν αὐτῶι ῥάιονα τὴν εἰς Αἴγυπτον ἔσεσθαι διάβασιν. (14) ἐνταῦθα δὴ συμβαλὼν τοῖς τε Μώχου τοῦ φυσιολόγου προφήτου ἀπογόνοις καὶ τοῖς ἄλλοις Φοινικικοῖς ἱεροφάνταις, καὶ πάσας τελεσθεὶς θείας τελετὰς ἔν τε Βύβλωι καὶ Τύρωι καὶ κατὰ πολλὰ τῆς Συρίας μέρη ἐξαιρέτως ἱερουργουμένας .....

*6 (p. 438) STRABON 16, 2, 24 p. 757: εἰ δὲ δεῖ Ποσειδωνίωι (87 F 67) πιστεῦσαι, καὶ τὸ περὶ τῶν ἀτόμων δόγμα παλαιόν ἐστιν ἀνδρὸς Σιδονίου Μώχου πρὸ τῶν Τρωικῶν χρόνων γεγονότος. SEXT. EMPIR. *Adv. math.* 9, 363.

2. ΒΙΟΙ ΦΙΛΟΣΟΦΩΝ

—

3. OHNE BUCHTITEL

7 (p. 438) PLUTARCH. *Aet. Phys.* 2 p. 911 F: διὰ τί μᾶλλον ὑπὸ τῶν ὑετίων ἢ τῶν ἐπιρρύτων ὑδάτων τὰ δένδρα καὶ τὰ σπέρματα πέφυκε τρέφεσθαι; πότερον ὡς Λάιτος ἔλεγε, τῆι πληγῆι τὰ ὄμβρια διιστάντα τὴν γῆν πόρους ποιεῖ, καὶ διαδύεται μᾶλλον εἰς τὴν ῥίζαν· ἢ τοῦτο μὲν οὐκ ἀληθές, ἀλλ' ἔλαθε τὸν Λάιτον, ὅτι καὶ τὰ λιμναῖα φυτὰ .... ἀναυξῆ καὶ ἀβλαστῆ μένει, μὴ γενομένων ὄμβρων καθ' ὥραν, τὸ δὲ τοῦ Ἀριστοτέλους ἀληθὲς .....

8 (p. 438) PLUTARCH. *Aet. Phys.* 6 p. 913 E: διὰ τί τοῖς συνεχῶς διὰ τῶν δεδροσιομένων δένδρων βαδίζουσι λέπραν ἴσχει τὰ ψαύοντα τῆς ὕλης μόρια τοῦ σώματος; πότερον ὡς Λάιτος ἔλεγε, τῆι λεπτότητι τὸ δροσῶδες ὑγρὸν ἀποξύει τοῦ χρωτός· ἢ καθάπερ ἐρυσίβη .....

—. ASKLEPIADES

(Kaiserzeit)

ΠΕΡΙ ΚΥΠΡΟΥ ΚΑΙ ΦΟΙΝΙΚΗΣ

No. 752.

785. DIOS

Vor Josephus (s. II 2ª?)

T

1 (IV 398) JOSEPH. *c.Ap.* 1, 112: (794 F 1c) ὅτι δ' οὐ λόγος ἐστὶν ὑπ' ἐμοῦ συγκείμενος ὁ περὶ τῶν παρὰ τοῖς Τυρίοις γραμμάτων, παραθήσομαι μάρτυρα Δῖον ἄνδρα περὶ τὴν Φοινικικὴν ἱστορίαν ἀκριβῆ γεγονέναι πεπιστευμένον (F 1).

4 Φοινικικοῖς Küster φοινικοῖς F 6 ἱερουργουμένας Westermann -ούμενα F 8 παλαιοῦ x (Cor) 9 ἀπὸ μόσχου τινὸς ἀνδρὸς φοίνικος Sext 19 γινομένων? 30 περὶ – γραμμάτων L Synk περὶ τὸν ἐν τυρίοις γρ. Eus *in betreff der geschichtsschreibung der Tyrier* Arm 31 δῖον ἄνδρα L δεξιὸν ἄνδρα Eus Synk *als zuverlässigen zeugen* Arm φοινικικὴν Synk φοινικὴν L Lat Synk 31-32 πεπιστευμένον δῖον (δίωνα) Eus (Synk)

F

ΠΕΡΙ ΦΟΙΝΙΚΩΝ ΙΣΤΟΡΙΑΙ

1 (2) JOSEPH. *c.Ap.* I, 112 (*A. J.* 8, 147/9 [= Ios [1]]; EUSEB. *Chron.* Cramer *An. Par.* II p. 185, 6; EUSEB. ARM. *Chron.* p. 54, 25 K; Synkell. p. 343, 19): (T 1) οὗτος τοίνυν ἐν ταῖς Περὶ Φοινίκων ἱστορίαις γράφει τὸν τρόπον τοῦτον· (113) «Ἀβιβάλου τελευτήσαντος ὁ υἱὸς αὐτοῦ Εἵρωμος ἐβασίλευσεν. οὗτος τὰ πρὸς ἀνατολὰς μέρη τῆς πόλεως προσέχωσεν, καὶ μεῖζον τὸ ἄστυ ἐποίησεν, καὶ τοῦ Ὀλυμπίου Διὸς τὸ ἱερὸν καθ' ἑαυτὸ ὂν ἐν νήσωι χώσας τὸν μεταξὺ τόπον συνῆψε τῆι πόλει, καὶ χρυσοῖς ἀναθήμασιν ἐκόσμησεν, ἀναβὰς δὲ εἰς τὸν Λίβανον ὑλοτόμησεν πρὸς τὴν τῶν ἱερῶν κατασκευήν. (114) τὸν δὲ τυραννοῦντα Ἱεροσολύμων Σολομῶνα πέμψαι φασὶ πρὸς τὸν Εἵρωμον αἰνίγματα καὶ παρ' αὐτοῦ λαβεῖν ἀξιοῦν, τὸν δὲ μὴ δυνηθέντα διακρῖναι τῶι λύσαντι χρήματα ἀποτίνειν· (115) ὁμολογήσαντα δὲ τὸν Εἵρωμον καὶ μὴ δυνηθέντα λῦσαι τὰ αἰνίγματα πολλὰ τῶν χρημάτων εἰς τὸ ἐπιζήμιον ἀναλῶσαι. εἶτα δὲ Ἀβδήμουνόν τινα Τύριον ἄνδρα τά τε προτεθέντα λῦσαι καὶ αὐτὸν ἄλλα προβαλεῖν, ἃ μὴ λύσαντα τὸν Σολομῶνα πολλὰ τῶι Εἰρώμωι προσαποτῖσαι χρήματα». Δῖος μὲν οὕτω περὶ τῶν προειρημένων ἡμῖν μεμαρτύρηκεν. (Es folgt Menandros 783 F 1).

786. HESTIAIOS

Vor Iosephus

T

1 (IV 433) IOSEPH. *A.J.* I, 107: 784 F 3a.

---

5 ἱστορίας Eus 6 ὁ om. Eus Synk Ios[1](SPM) 7 σίρωμος (stets) Synk 8 συνέχωσε (*diruit* Lat) Ios[1] (V) πεποίηκεν L 9 νήσωι L (*auf der insel*) Arm ἴσωι Lat(?) Eus Synk ὂν ἐν ν. om. Ios[1] ἐγχώσας (*destruens* Lat) Ios[1] 11 ἱερῶν Eus Synk Ios[1] ναῶν L 12 Σολομῶνα: βασιλέα Ios[1](RO) φησί (φασί O)Ios[1] 13 ἀξιοῦν λύσιν Lat Eus λύσιν παρ' αὐτοῦ λ. ἀξιοῦντα (ἀξίωσιν M) Ios[1] (RO Lat) *und er habe von ihm rätsel gegen rätsel entgegenzunehmen sich gewürdigt* Arm 14 ἀποτιννύειν Eus 17 δὲ Eus Ios[1](RO) δὴ L Ios[1] (LV) δι' Synk Ios[1] (SPM Lat) om. L *abdemonum* (-νον) Lat Synk ἀβδαμώνον Eus Arm ἀβδήμονα (*abdimum* Lat) Ios[1]; cf. 783 F 1 § 120 τινα τύριον (τυρίων Ios[1]SP) ἄνδρα L Eus Synk Ios[1] *ein schriftgelehrter namens Abdamonos, ein scharfsinniger mann* Arm τά τε Eus Synk τε om. L Lat(?) Ios[1] διαλῦσαι Ios[1] (SPLV) 18 ἄλλα L Synk ἅμα Eus *zugleich aber auch andere* Arm ἅμα αὐτὸν ἄλλα? 19 δῖος L Eus Arm δίων Lat Synk δίος u. διὸς (*dio* Lat) Ios[1] μὲν οὖν Eus *igitur* Lat

F

‹ΦΟΙΝΙΚΙΚΑ Ᾱ – ?›

1 (1) STEPH. BYZ. s.v. Βηρυτός: πόλις Φοινίκης, ἐκ μικρᾶς μεγάλη, κτίσμα Κρόνου. ἐκλήθη δὲ διὰ τὸ εὔυδρον· βὴρ γὰρ τὸ φρέαρ παρ' αὐτοῖς. Ἱστιαῖος δ'ἐν ᾱ τὴν ἰσχὺν βηρουτὶ Φοίνικας ὀνομάζειν ἀφ' οὗ καὶ τὴν πόλιν, ὡς Ἑλλάδιός φησιν.

2 (2) JOSEPH. *A.J.* 1, 107: 784 F 3a.

3 (3) JOSEPH. *A.J.* 1, 118 (EUSEB. *P.E.* 9, 15; ONOMAST. p. 148/9 Klostermann): περὶ δὲ τοῦ πύργου τούτου καὶ τῆς ἀλλοφωνίας τῶν ἀνθρώπων μέμνηται καὶ Σίβυλλα (Berossos 680 F 4a § 18)..... (119) περὶ δὲ τοῦ πεδίου τοῦ λεγομένου Σενααρ ἐν τῆι Βαβυλωνίαι χώραι μνημονεύει Ἑστιαῖος λέγων οὕτως· «‹τῶν δὲ ἱερέων τοὺς διασωθέντας τὰ τοῦ Ἐνυαλίου Διὸς ἱερώματα λαβόντας εἰς Σενααρ τῆς Βαβυλωνίας ἐλθεῖν›».

787. HIERONYMOS DER AEGYPTER

Vor Iosephus

T

1 (II 450**) a) JOSEPH. *A.J.* 1, 107: 784 F 3a. b) TERTULLIAN. *Apol.* 19: 794 F 5c.

F

ΑΡΧΑΙΟΛΟΓΙΑ ΦΟΙΝΙΚΙΚΗ

1 JOSEPH. *A.J.* 1, 107: 784 F 3a.

2 JOSEPH. *A.J.* 1, 93 (EUSEB. *P.E.* 9, 11): τοῦ δὲ κατακλυσμοῦ τούτου καὶ τῆς λάρνακος μέμνηνται πάντες οἱ τὰς βαρβαρικὰς ἱστορίας ἀναγεγραφότες, ὧν ἐστι καὶ Βηρωσσὸς ὁ Χαλδαῖος (680 F 4c)..... (94) μέμνηται δὲ τούτων καὶ Ἱερώνυμος ὁ Αἰγύπτιος ὁ τὴν Ἀρχαιολογίαν τὴν Φοινικικὴν συγγραψάμενος καὶ Μνασέας (V) δὲ καὶ ἄλλοι πλείους. καὶ Νικόλαος δὲ ὁ Δαμασκηνὸς ἐν τῆι ἐνενηκοστῆι καὶ ἕκτηι βίβλωι (90 F 72) ἱστορεῖ περὶ αὐτῶν.....

3-6: Helladios Schol. Dion. Per. 911; Eust. *ibd.* 912 3-4 μεγάλη γενομένη καὶ ἰσχυρά· διὸ καὶ οὕτως ἐκλήθη κτλ. Eust 4 παρ' αὐτοῖς Steph παρ' Ἀσσυρίοις Schol παρὰ τοῖς ἐκεῖ Eust 5 Ἱστιαῖος v ἱστιαῖος P ἱστιαῖς RV οἱ δὲ Schol βηρουτί ο Eust βηρύτου Schol βηρούτ Bochart 11 σενναὰρ SP[c]Lat Eus σενάρου L βαβυλωνίων SP ἑστιαῖος Eus ἑστιαῖος M ἱ- L *aestius* Lat 12 Ἐνυαλίου om. Lat Ἐναλίου Gutschmid 13 σενναὰρ MPL[c]Lat Eus 24 ὁ αἰγύπτιος Jos Eus ὁ αἰγύπτου Jos(E) 24-25 φοινικικὴν Jos(SPMb) φοινικὴν Jos(ROE) Eus(B; On.) *phoeniciae* Lat 25 μνασαίας (?) RO *manaseas* Lat δὲ om. L 25-26 καὶ ἄλλοι – δὲ om. ROLELat

ZWEIFELHAFTES

3 Damaskios *De princ.* 123 bis (I p. 317, 15 Ru): ἡ δὲ κατὰ τὸν Ἱερώνυμον φερομένη καὶ Ἑλλάνικον (*scil.* Ὀρφικὴ θεολογία), εἴπερ μὴ καὶ ὁ αὐτός ἐστιν, οὕτως ἔχει· «ὕδωρ ἦν» φησίν «ἐξ ἀρχῆς καὶ ὕλη. ἐξ ἧς ἐπάγη ἡ γῆ κτλ.» (s. Kern *Orph. Fragm.* F 54).

788. CLAUDIUS IOLAOS (?)

s. Iᴾ (un[t] Claudius

ΦΟΙΝΙΚΙΚΑ Α̅ – Γ̅ (?)

Α̅

1 (IV 362, 1) Steph. Byz. s.v. Ἄκη· πόλις Φοινίκης . . . Κλαύδιος δὲ Ἰόλ‹α›ος ἐν α̅ Φοινικ‹ικ›ῶν φησιν ὅτι ἐκλήθη ἀπὸ Ἡρακλέους· «χαλεπωτάτωι γὰρ ὑπὸ Εὐρυσθέως ἐπιταγεὶς ἄθλωι, περισχεθεὶς τῶι τῆς Λερναίας ὕδρας ἰῶι, τοῖς τῶν δηγμάτων ἐπονεῖτο ἕλκεσιν. ἀνεῖλε δὲ τὸ Δελφικὸν μαντεῖον ἐπ' ἀνατολὰς ἰτέον, μέχρις ἂν ἐντύχηι ποταμῶι φύοντι πόαν τῆι ὕδραι παραπλήσιον· ἐκείνης γὰρ καταπλασσάμενον τῶν ἑλκῶν ἀπαλλαγήσεσθαι. εὗρε δὲ τὸν ποταμὸν καὶ τὴν πυθόχρηστον πόαν, ἧς ὁ καυλὸς ἥ τε ῥίζα πάντως ἐστὶν ὀφιώδης τῶι ποικίλωι ‹καὶ› ταῖς κεφαλαῖς· ὁπόσας γὰρ ἄν τις ἀποκείρηι φύονται αὖθις ἕτεραι. κολοκάσιον μέντοι καλοῦσι τὴν ῥίζαν, τὸ δ' ὑπερπεφυκὸς κιβώριον, ὄψιν ἡδεῖαν ἐδωδίμους τε τὰς φλέβας παρέχον Αἰγυπτίοις. περὶ δὲ τὸν Νεῖλον φύεται πολλή, ἡ δὲ περὶ τὸν Βῆλον ἕλκη θεραπεύει δυσίατα· τριβομένη γὰρ κατὰ τὴν ῥίζαν(?) λευκὸν ἀναδίδωσιν ὀπόν. τούτωι» φησίν «καὶ Ἡρακλῆς ἰάθη». καὶ καλέσαι τὴν πόλιν Ἄκην.

Γ̅

2 (2) Steph. Byz. s.v. Δῶρος· πόλις Φοινίκης· Ἑκαταῖος Ἀσίαι (1 F 275) «μετὰ δὲ ἡ πάλαι Δῶρος, νῦν δὲ Δῶρα καλεῖται» . . . . . καὶ Κλαύδιος Ἰόλαος ἐν γ̅ Φοινικικῶν· «μετὰ Καισάρειαν Δῶρα κεῖται βραχεῖα πολίχνη, Φοινίκων αὐτὴν οἰκούντων, οἳ διὰ τὸ ὑπό-

---

10 Ἰόλαος (cf. F 4) Jac ἴουλος o Ἰούλιος Holste, v Φοινικικῶν Xyl φοινίκων o 10-11 χαλεπωτάτωι – ἄθλωι R χαλεπωτάτου γὰρ ὑπάρχοντος Εὐρυσθέως ἐπιταγεὶς ἄθλωι V χαλεπωτάτων γὰρ ὑπὸ Εὐ. ἐπιταγαῖς ἄθλων P (danach περισχεθείς, τῶι – ἰῶι ‹καὶ› τοῖς Mue) 11 παρασχεθεὶς V 13 ἐπ' RP ὑπ' V 15 καταπλασσάμενον R (λ exp. m. 1) VPᶜ καταπλασάμενον Pᵃᶜ καταπασάμενον (Rᶜ)Mei ἀπαλλαγήσασθαι P 17 ‹καὶ› ταῖς Salm 'quod non sufficit' Mei 18 ὁπόσα RV κολοκάσιον Cas κολοσάϊον o 20 ἡδεῖαν Salm ἰδίαν o ἐδωσίμους P παρέχον R -ων VP παρὰ δὲ R 21 παρὰ τὸν R 22 τριβομένη δὲ P τριβόμενος γὰρ RV κατὰ τὴν ῥίζαν Mei μετὰ τὴν ῥίζαν RV μετὰ τῆς ῥίζης P 23 καὶ om. P πόλιν VP πόαν R 24 ἄκην P ἄλκην RV 28 Ἰόλαος: ἴουλλος S Ἰούλιος v

πετρον τῶν τε αἰγιαλῶν καὶ τὸ πορφύρας γόνιμον συνελθόντες καλιὰς αὐτοῖς ᾠκοδομήσαντο, καὶ περιβαλόμενοι χάρακας, ὡς ὑπήκουεν αὐτοῖς τὰ τῆς ἐργασίας, τεμνόμενοι τὰς πέτρας διὰ τῶν ἐξαιρουμένων λίθων τὰ τείχη κατεβάλοντο, καὶ τὴν εὔορμον χηλὴν ὅπως <οἷόν> τε ἀσφαλῶς ἔθεντο, ἐπώνυμον αὐτὴν τῆι πατρίωι γλώσσηι Δὼρ καλοῦντες· οἱ δ' Ἕλληνες χάριν τοῦ τῆς φωνῆς εὐπροφόρου καλεῖν ἀρκοῦνται Δῶρα τὴν πόλιν. καί τινες ἱστοροῦσι Δῶρον τὸν Ποσειδῶνος οἰκιστὴν αὐτῆς γεγονέναι>>.

OHNE BUCHZAHL

3 (2a) Et. M. p. 219, 33: τὰ Γάδειρα λέγονται πληθυντικῶς, ἀπὸ τοῦ γῆ καὶ τοῦ δειρά, οἱονεὶ γῆς δειρά· τὰ γὰρ γάδειρα τῆς γῆς ἐξοχή ἐστιν. ἢ ὥς φησιν Κλαύδιος Ἰόλαος ἐν ταῖς Φοινικικαῖς ἱστορίαις, ὅτι Ἀρχαλεὺς υἱὸς Φοίνικος κτίσας τὴν πόλιν ὠνόμασε τῆι Φοινίκων γραφῆι· γάδ<ει>ρον γὰρ παρ' αὐτοῖς τὸ ἐκ μικρῶν ᾠκοδομημένον.

4 (3) Steph. Byz. s.v. Ἰουδαία· Ἀλέξανδρος ὁ Πολυίστωρ (273 F 121) ἀπὸ τῶν παίδων Σεμιράμιδος Ἰούδα καὶ Ἰδουμαία(?)· ὡς δὲ Κλαύδιος Ἰόλαος, ἀπὸ Οὐδαίου Σπάρτων <ἑν>ὸς ἐκ Θήβης μετὰ Διονύσου ἐστρατευκότος.

5 (4) Steph. Byz. s.v. Λάμπη· πόλις Κρήτης, Ἀγαμέμνονος κτίσμα, ἀπὸ Λάμπου τοῦ Ταρραίου. τὸ ἐθνικὸν Λαμπαῖος· Κλαύδιος δὲ Ἰόλαος Λαμπέας αὐτούς φησιν.

—. PHILISTOS (VON NAUKRATIS?)

ΠΕΡΙ ΦΟΙΝΙΚΗΣ

No. 615.

789. PHILOSTRATOS

Vor Josephus (s. I 2^{a}?)

ΦΟΙΝΙΚΙΚΑΙ ΙΣΤΟΡΙΑΙ

1 (–) a) Joseph. *A.J.* 10, 228: (Megasthenes 715 F 1) καὶ Διοκλῆς

---

1 [τε]? Mei τὸ add. S[2] 2 αὐτοῖς S[2] αὐτοῖς v αὐτοῦ? Mei 4 εὔορμον Berkel ἔνορμον S 5 χηλὴν Pinedo χειλὴν S <οἷον> Bergk 6 Δὼρ (Josua 17, 11) Mei δῶρα S χάριν Ddf ἄχρι S 7 Δῶρα Ddf δώραν S 12 ὡς οὖσα ταινία (om. R[1] del. Westermann) <καὶ οἷον> (? Mei) τῆς γῆς δειρά Steph. Byz. s.v. Γάδειρα. καλεῖται δὲ οὕτως οἱονεὶ γῆς δειρά, ὅ ἐστι τράχηλος Eust. Dion. Per. 64 13 Ἰόλαος: ἰούλιος Et, v Φοινικικαῖς Bochart φοινίκης Et 14 γραφῆι: γλώσσηι Hemst 14-15 γάδειρον Hemst γάδον Et 15 ἐκ <λίθων> μικρῶν o.ä.? ᾠκοδ. <περίφραγμα> (Hesych. s.v. γάδειρα· τὰ περιφράγματα· Φοίνικες; Plin. *N.H.* 4, 120 *Gadir, ita Punica lingua saepem significante*) Hemst 17 ἰδουμαίας? Mei Ἰδούμα Th. Reinach κλαύδιος V λαύδιος R καιαύδιος P ἰόλαος RP ἰόαλος V Ἰούλιος v 18 Οὐδαίου Σπάρτων ἑνὸς Schubart, Mei ἰουδαίου σπάρτωνος o ἐκστρατευκότος R 20 Ἰόλαος: ἰούλιος ov

δ' ἐν τῆι δευτέραι τῶν Περσικῶν (693 F 1) μνημονεύει τούτου τοῦ βασιλέως (des Nabuchodonosor) καὶ Φιλόστρατος ἐν ταῖς ['Ινδικαῖς καὶ] Φοινικικαῖς ἱστορίαις, ὅτι οὗτος ὁ βασιλεὺς ἐπολιόρκησε τὴν Τύρον ἔτεσι τρισὶ καὶ δέκα, βασιλεύοντος κατ' ἐκεῖνον τὸν καιρὸν 'Ιθωβάλου τῆς Τύρου. **b**) Joseph. 585/73
c. *Ap.* I, 143 (Euseb. Arm. p. 23, 19 K; Synkell. p. 419, 7): καὶ κατὰ ταῦτα τὴν μὲν τῶν Χαλδαίων ἀναγραφὴν ἀξιόπιστον ἡγητέον· οὐ μὴν ἀλλὰ κἀν τοῖς ἀρχείοις τῶν Φοινίκων (794 F 1) σύμφωνα τοῖς ὑπὸ Βηρώσου (680 F 8a) λεγομένοις ἀναγέγραπται περὶ τοῦ τῶν Βαβυλωνίων βασιλέως, ὅτι καὶ τὴν Συρίαν καὶ τὴν Φοινίκην ἅπασαν ἐκεῖνος κατεστρέψατο. (144) περὶ τούτων γοῦν συμφωνεῖ καὶ Φιλόστρατος ἐν ταῖς 'Ιστορίαις, μεμνημένος τῆς Τύρου πολιορκίας, καὶ Μεγασθένης ἐν τῆι τετάρτηι(?) τῶν 'Ινδικῶν, δι' ἧς ἀποφαίνειν πειρᾶται . . . .

790. HERENNIUS PHILON VON BYBLOS c. 54-142

T

1 (III 560) Suda s.v. Φίλων Βύβλιος· γραμματικός. οὗτος γέγονεν ἐπὶ τῶν χρόνων τῶν ἐγγὺς Νέρωνος (54/68^{p}), καὶ παρέτεινεν εἰς μακρόν· ὕπατον γοῦν Σεβῆρον τὸν 'Ερέννιον χρηματίσαντα (c. 130^{p}?) αὐτὸς εἶναί φησιν (F 54), ὅταν ἦγεν η̅ καὶ ο̅ ἔτος, ὀλυμπιάδι δὲ † κ̅ καὶ διακοσιοστῆι (101/4^{p}). γέγραπται δὲ αὐτῶι Περὶ κτήσεως καὶ ἐκλογῆς βιβλίων βιβλία ιβ̅· Περὶ πόλεων καὶ οὓς ἑκάστη αὐτῶν ἐνδόξους ἤνεγκε βιβλία λ̅· Περὶ τῆς βασιλείας 'Αδριανοῦ (ἐφ' οὗ καὶ ἦν ὁ Φίλων)· καὶ ἄλλα.

2 **a**) Suda s.v. Ἕρμιππος Βηρύτιος· ἀπὸ κώμης μεσογαίου· μαθητὴς Φίλωνος τοῦ Βυβλίου, ὑφ' οὗ ᾠκειώθη 'Ερεννίωι Σευήρωι ἐπὶ 'Αδριανοῦ τοῦ βασιλέως, ἔκδουλος ὢν γένος, λόγιος σφόδρα. καὶ ἔγραψε πολλά (IV). ἔγραψε καὶ Περὶ ὀνείρων. **b**) – s.v. Παῦλος Τύριος· ῥήτωρ, γεγονὼς κατὰ Φίλωνα τὸν Βύβλιον· ὃς ἐπὶ 'Αδριανοῦ τοῦ βασιλέως πρεσβεύσας μητρόπολιν τὴν Τύρον ἐποίησεν. **c**) – s.v. 'Ηρωδιανὸς 'Αλεξανδρεύς· γραμματικός, υἱὸς 'Απολλωνίου . . . τοῦ ἐπικληθέντος Δυσκόλου. γέγονε κατὰ τὸν Καί-

---

2 ἰνδικαῖς αὐτοῦ καὶ LVE ['Ινδικαῖς καὶ] Jac ἰδικαῖς καὶ Gutschmid 'Ιουδαικαῖς καὶ Cichorius 2-3 φοινιχικαῖς S^{c}P φοινικαῖς OLE Φοινικικαῖς <φησιν>? 3 τὴν om. LV 4 ἰθοβάλου ROLV *iothabulus* Lat; cf. 783 F 7 § 156 τύρων LV 6 ἀλλὰ Arm(?) ἅμα L 9 καὶ – ἅπασαν L Arm Συρίαν καὶ Αἴγυπτον καὶ πᾶσαν τὴν Φοινίκην Synk 10 Φιλ. ἐν ταῖς ἱστορίαις L *die geschichte des Philostratos, wo sie die belagerung von Tyros erwähnt* Arm Φιλ. ἐν ταῖς ἱ., ἔνθα καὶ περὶ τῆς Τύρου πολιορκίας καὶ τῶν Φοινίκων πάλαι, αἵτινες (παλαιαί τινες Gutschmid) ἱστορίαι φέρονται περὶ τοῦ Ναβουχοδονόσωρ Synk 11 τετάρτηι (δ) L Arm Synk δευτέραι Mue α̅ Jac 15 βίβλιος AVFM^{ac} 15-21 οὗτος – ἄλλα om. F 16 τῶν om. AGM μακρόν (cf. s.v. 'Ερμογένης): Μάρκον Westermann 17-18 [αὐτὸς] – ὅταν <αὐτός> Mue 19 βιβλίων om. V 23 τοῦ βυβλίου om. (in lac.) A 'Ερεννίωι Kuester ἐρρενίωι ο 24 ἔγραψε – ὀνείρων A^{mg}

σαρα 'Αντωνῖνον τὸν καὶ Μάρκον (161-180), ὡς νεώτερον εἶναι καὶ Διονυσίου τοῦ τὴν Μουσικὴν ἱστορίαν γράψαντος (IV) καὶ Φίλωνος τοῦ Βυβλίου.

3 PORPHYR. *De abst.* 2, 56 (F 3a): ἡ Φοινικικὴ ἱστορία . . . ἣν Σαγχουνιάθων μὲν τῆι Φοινίκων γλώττηι συνέγραψεν, Φίλων δὲ ὁ Βύβλιος εἰς τὴν 'Ελλάδα γλῶσσαν δι' ὀκτὼ βιβλίων ἡρμήνευσεν. F 1 c. 9, 20/1.

4 SUDA s.v. Σερῆνος· ὁ καὶ 'Αθηναῖος, ὁ Αἴλιος χρηματίσας· γραμματικός (s. II^{p}?). 'Επιτομὴν τῆς Φίλωνος πραγματείας Περὶ πόλεων καὶ τίνες ἐφ' ἑκάστης ἔνδοξοι, βιβλία γ̄. F 17-18.

F

1. ΦΟΙΝΙΚΙΚΗ ΙΣΤΟΡΙΑ Ᾱ – Η̄(Θ)

(F 9-11? 30/2? 37/8? 41/2? 45? 55?).

Ᾱ

1 (1) EUSEB. *P.E.* 1, 9, 19: (14-18: die ältesten menschen kannten keine tempel, kultbilder, götter – ausser den gestirnen –, heroen, opfer usf.) ἡ γοῦν τῶν ἐθνῶν ἁπάντων πολύθεος πλάνη μακροῖς ὕστερον αἰῶσι πέφανται, ἀρξαμένη μὲν ἀπὸ Φοινίκων καὶ Αἰγυπτίων, διαβᾶσα δὲ ἐκ τούτων ἐπί τε τὰ λοιπὰ ἔθνη καὶ μέχρις αὐτῶν 'Ελλήνων, ὡς καὶ τοῦτο πάλιν ἡ τῶν παλαιτάτων ἱστορία κατέχει, ἣν καὶ αὐτὴν ἐπισκέψασθαι καιρὸς ἀπὸ τῶν Φοινικικῶν ἀρξαμένους.

(20) ἱστορεῖ δὲ ταῦτα Σαγχουνιάθων, ἀνὴρ παλαίτατος καὶ τῶν Τρωικῶν χρόνων, ὥς φασι, πρεσβύτερος, ὃν καὶ ἐπ' ἀκριβείαι καὶ ἀληθείαι τῆς Φοινικικῆς ἱστορίας ἀποδεχθῆναι μαρτυροῦσιν. Φίλων δὲ τούτου πᾶσαν τὴν συγγραφὴν – ὁ Βύβλιος, οὐχ ὁ 'Εβραῖος – μεταβαλὼν ἀπὸ τῆς Φοινίκων γλώττης ἐπὶ τὴν 'Ελλάδα φωνὴν ἐξέδωκε. (21) μέμνηται τούτων ὁ καθ' ἡμᾶς τὴν καθ' ἡμῶν πεποιημένος συσκευὴν ἐν τετάρτωι τῆς πρὸς ἡμᾶς ὑποθέσεως (Porphyrios 260 F 34), ὧδε τῶι ἀνδρὶ μαρτυρῶν πρὸς λέξιν· «ἱστορεῖ δὲ τὰ περὶ 'Ιουδαίων ἀληθέστατα, ὅτι καὶ τοῖς τόποις καὶ τοῖς ὀνόμασιν αὐτῶν τὰ συμφωνότατα, Σαγχουνιάθων ὁ Βηρύτιος, εἰληφὼς τὰ ὑπομνήματα παρὰ

2 Βυβλίου Kuester βιβλίου AG(cp.) βίβλια V ἑβραίου B om. I   5 ὀκτὼ: ἐννέα F 1 c. 9, 23   6 ὁ αἴλιος ὁ καὶ ἀθηναῖος Eudok ὁ καὶ Αἴλιος χρηματίσας, 'Αθηναῖος Bernhardy   7 ἀφ' Bernhardy   8 ἑκάστης πόλεως V   15-16 ἀρξαμένη – Αἰγυπτίων: cf. § 29; *P.E.* 1, 6, 1   16 δὲ A τε BO   17 τοῦτο A τούτων BO   18 φοινικικῶν B^{1}O φοινίκων A   19-26: F 2 § 42   19 δὲ: δὴ A   παλαιότατος A   20 πρεσβύτατος A   21 φοινικικῆς O φοινικῆς A^{1}B   ἀποδειχθῆσα B^{1} ἀποδειχθείση B^{2} 22 συγγραφὴν BO γραφὴν A   23 γλώττης A γλώσσης BO   24-p. 804, 12: Th(eodoret). *Graec. aff. cur.* 2, 44 f.   24-p. 804, 10 (βασιλίδος): Euseb. *P.E.* 10, 9, 11-16 (= Eus^{2}); stand bei Ph. nicht hier (s. zu F 9-11)?   24-26 (λέξιν): γράφει τοίνυν ἐν τῶι τετάρτωι τῆς καθ' ἡμῶν συσκευῆς ὁ Πορφύριος ῥήμασιν αὐτοῖς τάδε Eus^{2} 26 δὲ: δὴ Eus^{2} (I)   28 σαγχωνιάθων Eus^{2} (O) Th (stets)

Ἱερομβάλου τοῦ ἱερέως θεοῦ Ἰευώ(?), ὃς Ἀβιβάλωι τῶι βασιλεῖ Βηρυτίων τὴν ἱστορίαν ἀναθεὶς ὑπ' ἐκείνου καὶ τῶν κατ' αὐτὸν ἐξεταστῶν τῆς ἀληθείας παρεδέχθη. οἱ δὲ τούτων χρόνοι καὶ πρὸ τῶν Τρωικῶν πίπτουσι χρόνων, καὶ σχεδὸν τοῖς Μωσέως πλησιάζουσιν, ὡς αἱ τῶν Φοινίκης βασιλέων μηνύουσι διαδοχαί. Σαγχουνιάθων δὲ ὁ κατὰ τὴν Φοινίκων διάλεκτον φιλαλήθως πᾶσαν τὴν παλαιὰν ἱστορίαν ἐκ τῶν κατὰ πόλιν ὑπομνημάτων καὶ τῶν ἐν τοῖς ἱεροῖς ἀναγραφῶν συναγαγὼν δὴ καὶ συγγράψας ἐπὶ Σεμιράμεως γέγονεν τῆς Ἀσσυρίων βασιλίδος, ἣ πρὸ τῶν Ἰλιακῶν ἢ κατ' αὐτούς γε τοὺς χρόνους γενέσθαι ἀναγέγραπται. τὰ δὲ τοῦ Σαγχουνιάθωνος εἰς Ἑλλάδα γλῶσσαν ἡρμήνευσεν Φίλων ὁ Βύβλιος. (22) ταῦτα μὲν ὁ δηλωθείς, ἀλήθειαν ὁμοῦ καὶ παλαιότητα τῶι δὴ θεολόγωι μαρτυρήσας· ὁ δὲ προιὼν οὐ τὸν ἐπὶ πάντων θεὸν οὐδὲ μὴν θεοὺς τοὺς κατ' οὐρανόν, θνητοὺς δὲ ἄνδρας καὶ γυναῖκας, οὐδὲ τὸν τρόπον ἀστείους, οἵους δι' ἀρετὴν ἄξιον εἶναι ἀποδέξασθαι ἢ ζηλῶσαι τῆς φιλοσοφίας, φαυλότητος δὲ καὶ μοχθηρίας ἁπάσης κακίαν περιβεβλημένους θεολογεῖ· καὶ μαρτυρεῖ γε τούτους αὐτοὺς ἐκείνους εἶναι τοὺς εἰσέτι καὶ νῦν θεοὺς παρὰ τοῖς πᾶσιν νενομισμένους κατά τε τὰς πόλεις καὶ τὰς χώρας. δέχου δὲ καὶ τούτων ἐκ τῶν ἐγγράφων τὰς ἀποδείξεις.

(23) ὁ δὴ Φίλων εἰς ἐννέα βίβλους τὴν πᾶσαν τοῦ Σαγχουνιάθωνος πραγματείαν διελὼν κατὰ τὸ προοίμιον τοῦ πρώτου συγγράμματος αὐτοῖς ῥήμασι προλέγει περὶ τοῦ Σαγχουνιάθωνος ταῦτα· (24) «τούτων οὕτως ἐχόντων ὁ Σαγχουνιάθων, ἀνὴρ πολυμαθὴς καὶ πολυπράγμων γενόμενος καὶ τὰ ἐξ ἀρχῆς, ἀφ' οὗ τὰ πάντα συνέστη, παρὰ πάντων εἰδέναι ποθῶν, πολυφροντιστικῶς ἐξεμάστευσεν τὰ Taαύτου, εἰδὼς ὅτι τῶν ὑφ' ἥλιον γεγονότων πρῶτός ἐστι Τάαυτος ὁ τῶν γραμμάτων τὴν εὕρεσιν ἐπινοήσας καὶ τῆς τῶν ὑπομνημάτων γραφῆς κατάρξας καὶ ἀπὸ τοῦδε ὥσπερ κρηπῖδα βαλόμενος τοῦ λόγου, ὃν Αἰγύπτιοι μὲν ἐκάλεσαν Θωύθ, Ἀλεξανδρεῖς δὲ Θώθ, Ἑρμῆν δὲ Ἕλληνες μετέ-

1 ἱερομβαλίου B θεοῦ A θεοῦ τοῦ BO τοῦ θεοῦ Th ἰευώ BO Eus^2 ἰευ (so) A ἰαώ Th ἀβιβάλωι (cf. 783 F 1 § 117) A ἀβελβάλωι BO(Th) Ἀβεδβάλωι Nöldeke 3 ὑπεδέχθη O^{ac} ἀπεδέχθη? 6 δὲ ὁ Eus^2 Th δὲ Eus^1 7 τὴν ἱστ. τὴν παλαιὰν O 8 ἐν om. BO ἀναγραφῶν AEus^2 -γράφων B γραφῶν Th 9 δὴ A^3 δὲ A^{ac} om. B Eus^2 12 βίβλιος A 13 ὁ δὲ: Porphyrios? 14 τοὺς (καὶ B) κατ' οὐρανόν: cf. § 14 γυναῖκας – τρόπον om. B 16 γε AB καὶ O 17 εἶναι om. A θεοὺς BO οἵους A 18 ἐγγράφων A γραφῶν BO 19 ἐννέα: ὀκτὼ T 3; F 3a 22-p. 805, 16: cf. F 10 § 43 22 ἀνὴρ δὲ A ἀνὴρ δὴ Mras 24 περὶ πάντων N^{c}DV εἰδὼς B πολυφροντιστικῶς v πολυφροντίστως Ddf 25-p. 805, 1 εἰδὼς – μετέφρασαν: F 2 § 14 25 τὰ ταaύτου BO ταῦτα αὐτοῦ A cf. F 2 § 14 ὅτι BO τις A ἥλιον BO ἡλίωι A 26 ἐστι τάαυτος BO ἐστιν οὗτος A 28 βαλόμενος AB^2 βαλλ – B^{1}O 29 δὲ δεθωθ A

φρασαν». (25) ταῦτα εἰπὼν ἐπιμέμφεται τοῖς νεωτέροις τοῖς μετὰ ταῦτα ὡς ἂν βεβιασμένως καὶ οὐκ ἀληθῶς τοὺς περὶ θεῶν μύθους ἐπ' ἀλληγορίας καὶ φυσικὰς διηγήσεις τε καὶ θεωρίας ἀνάγουσι. λέγει δ' οὖν προιών· (26) «ἀλλ' οἱ μὲν νεώτεροι τῶν ἱερολόγων τὰ μὲν γεγονότα πράγματα ἐξ ἀρχῆς ἀπεπέμψαντο, ἀλληγορίας δὲ καὶ μύθους ἐπινοήσαντες καὶ τοῖς κοσμικοῖς παθήμασι συγγένειαν πλασάμενοι μυστήρια κατέστησαν, καὶ πολὺν αὐτοῖς ἐπῆγον τῦφον, ὡς μὴ ῥαιδίως τινὰ συνορᾶν τὰ κατ' ἀλήθειαν γενόμενα· ὁ δὲ συμβαλὼν τοῖς ἀπὸ τῶν ἀδύτων εὑρεθεῖσιν ἀποκρύφοις Ἀμμουνέων γράμμασι συγκειμένοις ἃ δὴ οὐκ ἦν πᾶσι γνώριμα, τὴν μάθησιν ἁπάντων αὐτὸς ἤσκησε, καὶ τέλος ἐπιθεὶς τῆι πραγματείαι τὸν κατ' ἀρχὰς μῦθον καὶ τὰς ἀλληγορίας ἐκποδὼν ποιησάμενος, ἐξηνύσατο τὴν πρόθεσιν, ἕως πάλιν οἱ ἐπιγενόμενοι ἱερεῖς χρόνοις ὕστερον ἠθέλησαν αὐτὴν ἀποκρύψαι καὶ εἰς τὸ μυθῶδες ἀποκαταστῆσαι, ἐξ οὗ τὸ μυστικὸν ἀνέκυπτεν οὐδέπω φθάσαν εἰς Ἕλληνας. (27) τούτοις ἑξῆς φησίν· «ταῦθ' ἡμῖν εὕρηται ἐπιμελῶς εἰδέναι τὰ Φοινίκων ποθοῦσι καὶ πολλὴν ἐξερευνησαμένοις ὕλην, οὐχὶ τὴν παρ' Ἕλλησι· διάφωνος γὰρ αὕτη καὶ φιλονεικότερον ὑπ' ἐνίων μᾶλλον ἢ πρὸς ἀλήθειαν συντεθεῖσα». (28) καὶ μεθ' ἕτερα· «οὕτως τε ἔχειν πεπεῖσθαι ἡμῖν παρέστη, ὡς ἐκεῖνος γέγραφε, τὴν διαφωνίαν ὁρῶσι τὴν παρ' Ἕλλησι, περὶ ἧς μοι τρία πεφιλοτίμηται βιβλία τὴν ἐπιγραφὴν ἔχοντα Παραδόξου ἱστορίας (F 12/3)». (29) καὶ αὖθις μεθ' ἕτερα ἐπιλέγει· «προδιαρθρῶσαι δὲ ἀναγκαῖον πρὸς τὴν αὖθις σαφήνειαν καὶ τὴν τῶν κατὰ μέρος διάγνωσιν, ὅτι οἱ παλαίτατοι τῶν βαρβάρων, ἐξαιρέτως δὲ Φοίνικές τε καὶ Αἰγύπτιοι, παρ' ὧν καὶ οἱ λοιποὶ παρέλαβον ἄνθρωποι, θεοὺς ἐνόμιζον μεγίστους τοὺς τὰ πρὸς τὴν βιωτικὴν χρείαν εὑρόντας ἢ καὶ κατά τι εὖ ποιήσαντας τὰ

1-16: cf. F 2 § 39-41 1 τοῖς – ταῦτα BO τοῖς μετὰ ταῦτα νεωτέροις A [τοῖς νεώτεροις] (doch s. lin. 13/6)? 2 καὶ (vor φυσικὰς) om. BO 4 νεώτεροι Jac -τατοι O 5 δὲ om. A 5-6 ἐπενοήσαντο BO 7 τῦφον A τὸν τῦφον BO 8 τινὰς A γινόμενα O ὁ δὲ: *i.e.* Sanchuniathon 8-25 συμβαλὼν – βαρβάρων om. B 9 ἀμμουνέων O -οῦνσων A -ναίων Mras 13 ἐπιγινόμενοι A 17 πολλὰ O 17-18 ἐξερευνησαμένους A 18 ὕλην, <πλὴν (o. ἀλλ')> οὐχὶ? 21 ἣν διαφωνίαν A 22 περὶ ἧς A παρ' οἷς O 24-p. 806, 5: cf. Theodoret. *Graec. aff. cur.* 3, 25: καὶ τὸν Κρόνον ἄνθρωπον εἶναι Σαγχωνιάθων ἔφησε καὶ γυναῖκα τὴν Ῥέαν τὴν ἐκείνου ὁμόζυγα, καὶ τὸν Δία καὶ τὴν Ἥραν ἐκείνων γε παῖδας, εἶτα εὐεργεσιῶν τινων ἄρξαντας καὶ δεξαμένους τοῦ βίου τὸ τέλος, θείας παρὰ Φοινίκων ἀξιωθῆναι τιμῆς, καὶ θεοὺς ἀναγορευθῆναι, καὶ βωμοῖς καὶ θυσίαις καὶ ἐτησίοις τιμηθῆναι δημοθοινίαις. 24 αὖθις O αὐτὴν A 25 παλαίτατοι A -ότατοι O 27 μεγίστους BO καὶ μέγιστον A τοὺς τὰ A τούς τι BO

ἔθνη· εὐεργέτας τε τούτους καὶ πολλῶν αἰτίους ἀγαθῶν ἡγούμενοι ὡς θεοὺς προσεκύνουν, καὶ εἰς τὸ χρεὼν μεταστάντας ναοὺς κατασκευασάμενοι στήλας τε καὶ ῥάβδους ἀφιέρουν ἐξ ὀνόματος αὐτῶν, καὶ ταῦτα μεγάλως σεβόμενοι καὶ ἑορτὰς ἔνεμον αὐτοῖς τὰς μεγίστας Φοίνικες, ἐξαιρέτως δὲ καὶ ἀπὸ τῶν σφετέρων βασιλέων τοῖς κοσμικοῖς στοιχείοις καί τισι τῶν νομιζομένων θεῶν τὰς ὀνομασίας ἐπέθεσαν· φυσικοὺς δὲ ἥλιον καὶ σελήνην καὶ τοὺς λοιποὺς πλανήτας ἀστέρας καὶ τὰ στοιχεῖα καὶ τὰ τούτοις συναφῆ θεοὺς μόνους ἐγίνωσκον, ὥστ' αὐτοῖς τοὺς μὲν θνητοὺς τοὺς δὲ ἀθανάτους θεοὺς εἶναι».

2 (2) Euseb. *P.E.* 1, 9, 30-10, 42: ταῦτα (F 1) κατὰ τὸ προοίμιον ὁ Φίλων διαστειλάμενος ἑξῆς ἀπάρχεται τῆς τοῦ Σαγχουνιάθωνος ἑρμηνείας, ὧδέ πως τὴν Φοινικικὴν ἐκτιθέμενος θεολογίαν·

(**10**) τὴν τῶν ὅλων ἀρχὴν ὑποτίθεται ἀέρα ζοφώδη καὶ πνευματώδη ἢ πνοὴν ἀέρος ζοφώδους καὶ χάος θολερὸν ἐρεβῶδες· ταῦτα δὲ εἶναι ἄπειρα καὶ διὰ πολὺν αἰῶνα μὴ ἔχειν πέρας. «ὅτε δέ» φησίν «ἠράσθη τὸ πνεῦμα τῶν ἰδίων ἀρχῶν, καὶ ἐγένετο σύγκρασις, ἡ πλοκὴ ἐκείνη ἐκλήθη Πόθος· αὕτη δὲ ἀρχὴ κτίσεως ἁπάντων· αὐτὸ δὲ οὐκ ἐγίνωσκε τὴν αὑτοῦ κτίσιν. καὶ ἐκ τῆς αὐτοῦ συμπλοκῆς τοῦ πνεύματος ἐγένετο Μώτ. τοῦτό τινές φασιν ἰλύν, οἱ δὲ ὑδατώδους μίξεως σῆψιν. καὶ ἐκ ταύτης ἐγένετο πᾶσα σπορὰ κτίσεως καὶ γένεσις τῶν ὅλων. (2) ἦν δέ τινα ζῶια οὐκ ἔχοντα αἴσθησιν, ἐξ ὧν ἐγένετο ζῶια νοερά· καὶ ἐκλήθη Ζοφασημίν, τοῦτ' ἔστιν οὐρανοῦ κατόπται. καὶ ἀνεπλάσθη ὁμοίως ὠιοῦ σχήματι. καὶ ἐξέλαμψε Μώτ, ἥλιός τε καὶ σελήνη ἀστέρες τε καὶ ἄστρα μεγάλα».

(3) τοιαύτη μὲν αὐτῶν ἡ κοσμογονία, ἄντικρυς ἀθεότητα εἰσάγουσα· ἴδωμεν δὲ ἑξῆς, ὡς καὶ τὴν ζωιογονίαν ὑποστῆναι λέγει. φησὶν οὖν· (4) «καὶ τοῦ ἀέρος διαυγάσαντος, διὰ πύρωσιν καὶ τῆς θαλάσσης καὶ τῆς γῆς ἐγένετο πνεύματα καὶ νέφη καὶ οὐρανίων ὑδάτων μέγισται καταφοραὶ καὶ χύσεις. καὶ ἐπειδὴ διεκρίθη καὶ τοῦ ἰδίου τόπου

2 μεταστάντας Wyttenbach καταστάντας ABO 3 κατασκευασάμενοι A μετασκ-
BO 4 ταύτας BO 7 ἐπέθεσαν O προέθεσαν (-θέασαν A[1]) A[c] ἐτίθεσαν B προσ-
έθηκαν Mras 7-10: *P.E.* 1, 9, 5 ἔχεις δὲ καὶ ἐν τῆι Φοινικικῆι θεολογίαι, ὡς ἄρα
Φοινίκων οἱ πρῶτοι φυσικοὶ ἥλιον – θεοὺς μόνους (A μόνον BO) ἐγίνωσκον (weiter
zu p. 807, 11-14) 7 δὲ om. A 13 φοινικὴν A[1] 15 ὑποτίθεται (*scil.* Σαγχου-
νιάθων) AB ὑποτίθενται O 16 ζοφώδη O 17 ὅτε AB ὅτι O 21 Μώτ om. A
φασιν om. A ὑδατώδη O 24 ζωφασημιν (so) A Ζωφησαμίν Clemen 24-25
ἐξ οὐρανοῦ O 26 σελήνη: μήνη B 27 αὐτῶι A κοσμογένεια A[1] 30 ὑδάτων
om. BO

διεχωρίσθη διὰ τὴν τοῦ ἡλίου πύρωσιν, καὶ πάλιν συνήντησε πάντα ἐν ἀέρι τάδε τοῖσδε, καὶ συνέρραξαν, βρονταί τε ἀπετελέσθησαν καὶ ἀστραπαί, καὶ πρὸς τὸν πάταγον τῶν βροντῶν τὰ προγεγραμμένα νοερὰ ζῶια ἐγρηγόρησεν, καὶ πρὸς τὸν ἦχον ἐπτύρη, καὶ ἐκινήθη ἔν τε γῆι καὶ θαλάσσηι ἄρρεν καὶ θῆλυ». (5) τοιαύτη αὐτοῖς καὶ ἡ ζωιογονία. τούτοις ἑξῆς ὁ αὐτὸς συγγραφεὺς ἐπιφέρει λέγων· «ταῦθ' ηὑρέθη ἐν τῆι κοσμογονίαι γεγραμμένα Τααύτου καὶ τοῖς ἐκείνου ὑπομνήμασιν ἔκ τε στοχασμῶν καὶ τεκμηρίων, ὧν ἑώρακεν αὐτοῦ ἡ διάνοια καὶ ηὗρε καὶ ἡμῖν ἐφώτισεν».

(6) ἑξῆς τούτοις ὀνόματα τῶν ἀνέμων εἰπὼν Νότου καὶ Βορέου καὶ τῶν λοιπῶν ἐπιλέγει· «ἀλλ' οὗτοί γε πρῶτοι ἀφιέρωσαν τὰ τῆς γῆς βλαστήματα, καὶ θεοὺς ἐνόμισαν, καὶ προσεκύνουν ταῦτα, ἀφ' ὧν αὐτοί τε διεγένοντο καὶ οἱ ἑπόμενοι καὶ οἱ πρὸ αὐτῶν πάντες, καὶ χοὰς καὶ ἐπιθύσεις ἐποίουν». <ἔλεον δὲ καὶ οἶκτον καὶ κλαυθμὸν βλαστήματι γῆς ἀπιόντι καθιέρουν, καὶ γενέσει ζώιων ἐκ γῆς πρώτηι καὶ τῆι ἐξ ἀλλήλων καὶ τελευτῆι, καθ' ἣν τοῦ ζῆν ἀπήρχοντο>.» καὶ ἐπιλέγει· «αὗται δ' ἦσαν αἱ ἐπίνοιαι τῆς προσκυνήσεως ὅμοιαι τῆι αὐτῶν ἀσθενείαι καὶ ψυχῆς <ἔτι> ἀτολμίαι». (7) εἶτά φησι γεγενῆσθαι ἐκ τοῦ Κολπία ἀνέμου καὶ γυναικὸς Βάαυ (τοῦτο δὲ νύκτα ἑρμηνεύει) Αἰῶνα καὶ Πρωτόγονον θνητοὺς ἄνδρας οὕτω καλουμένους· εὑρεῖν δὲ τὸν Αἰῶνα τὴν ἀπὸ δένδρων τροφήν. ἐκ τούτων τοὺς γενομένους κληθῆναι Γένος καὶ Γενεάν, καὶ οἰκῆσαι τὴν Φοινίκην· αὐχμῶν δὲ γενομένων, τὰς χεῖρας ὀρέγειν εἰς οὐρανὸν πρὸς τὸν ἥλιον· «τοῦτον γάρ (φησίν) θεὸν ἐνόμιζον μόνον οὐρανοῦ κύριον Βεελσάμην καλοῦντες, ὅ ἐστι παρὰ Φοίνιξι κύριος οὐρανοῦ, Ζεὺς δὲ παρ' Ἕλλησιν». (8) μετὰ δὲ ταῦτα πλάνην Ἕλλησιν αἰτιᾶται λέγων· «οὐ γὰρ ματαίως αὐτὰ πολλαχῶς διεστειλάμεθα, ἀλλὰ πρὸς τὰς αὖθις παρεκδοχὰς τῶν ἐν τοῖς πράγμασιν ὀνομάτων, ἅπερ οἱ Ἕλληνες

---

1 ἐχωρίσθη A 1-2 πάντα σ. πάλιν O 2 ἀέρι BO ἀχαρῆ A ἀχαρεῖ H° 4 νοερὰ om. BO ἐγρηγόρησαν O 5 ἐπτύρη καὶ om. B 6 συγγραφεύς: *i.e.* Σαγχουνιάθων 7 τααύτου BO τὰ αὐτοῦ A 8 ἐκείνου BO αὐτοῦ A 10 βορέα A 11-17 οὗτοι: *scil.* οἱ παλαίτατοι; cf. *P.E.* 1, 9, 5 (s. zu p. 806, 7-10 = Eus[2]) καὶ ὅτι τούτοις οἱ παλαίτατοι τὰ (om. A) τῆς γῆς ἀφιέρωσαν βλαστήματα – ἀπήρχοντο. αὗται – ἀτολμίαι. ταῦτα καὶ ἡ Φοινίκων γραφή, ὡς ἑξῆς ἀποδειχθήσεται 13 αὐτοὶ καὶ Eus[2] (A) διεγίνοντο A Eus[2] 14 ἐπιθύσεις Eus[2] (A) ἐποίουν: ἐτέλουν (ἐπε- O) Eus[2] 14-17 ἔλεον – ἀπήρχοντο om. Eus[1] 15 βλαστήματι BO καὶ βλαστήματα A 18 <ἔτι> Eus[2] 20 βάαυ (Βάαυτ Bochart) τοῦτο BO βᾶ αὐτοῦ τι A θνητοὺς BO ητοὺς A 21 ἀπὸ τῶν BO 22 γενομένους A γεννωμένους BO (richtig?) κληθῆναι: καὶ A 23 ὀρέγειν εἰς οὐρανὸν B ὀρ. πρὸς οὐ. O εἰς οὐρανοὺς ὀρ. A 24 βεελσάμην A -μῆν BO; cf. Plaut. *Poen.* 1027 26 δὲ om. BO 27 αὖθις BO εὐθεῖς A

ἀγνοήσαντες ἄλλως ἐξεδέξαντο, πλανηθέντες τῆι ἀμφιβολίαι τῆς μεταφράσεως>>. (9) ἑξῆς φησιν ἀπὸ Γένους Αἰῶνος καὶ Πρωτογόνου γεννηθῆναι αὖθις παῖδας θνητούς, οἷς εἶναι ὀνόματα Φῶς καὶ Πῦρ καὶ Φλόξ· οὗτοι (φησίν) ἐκ παρατριβῆς ξύλων εὗρον πῦρ, καὶ τὴν χρῆσιν ἐδίδαξαν. υἱοὺς δὲ ἐγέννησαν οὗτοι μεγέθει τε καὶ ὑπεροχῆι κρείσσονας, ὧν τὰ ὀνόματα τοῖς ὄρεσιν ἐπετέθη ὧν ἐκράτησαν, ὡς ἐξ αὐτῶν κληθῆναι τὸ Κάσσιον καὶ τὸν Λίβανον καὶ τὸν Ἀντιλίβανον καὶ τὸ Βραθύ. ἐκ τούτων (φησίν) ἐγεννήθη<σαν> Σαμημροῦμος, ὁ καὶ Ὑψουράνιος, <καὶ Οὔσωος>· ἀπὸ μητέρων δὲ (φησίν) ἐχρημάτιζον, τῶν τότε γυναικῶν ἀνέδην μισγομένων οἷς ἂν ἐντύχοιεν. (10) εἶτά φησι τὸν Ὑψουράνιον οἰκῆσαι Τύρον, καλύβας τε ἐπινοῆσαι ἀπὸ καλάμων καὶ θρύων καὶ παπύρου· στασιάσαι δὲ πρὸς τὸν ἀδελφὸν Οὔσωον, ὃς σκέπην τῶι σώματι πρῶτος ἐκ δερμάτων ὧν ἴσχυσε συλλαβεῖν θηρίων εὗρε. ῥαγδαίων δὲ γενομένων ὄμβρων καὶ πνευμάτων, παρατριβέντα τὰ ἐν τῆι Τύρωι δένδρα πῦρ ἀνάψαι, καὶ τὴν αὐτῶν ὕλην καταφλέξαι· δένδρου δὲ λαβόμενον τὸν Οὔσωον καὶ ἀποκλαδεύσαντα πρῶτον τολμῆσαι εἰς θάλασσαν ἐμβῆναι· ἀνιερῶσαι δὲ δύο στήλας Πυρὶ καὶ Πνεύματι, καὶ προσκυνῆσαι αἷμά τε σπένδειν αὐταῖς ἐξ ὧν ἤγρευε θηρίων. τούτων δὲ τελευτησάντων, τοὺς ἀπολειφθέντας φησὶ ῥάβδους αὐτοῖς ἀφιερῶσαι, καὶ τὰς στήλας προσκυνεῖν, καὶ τούτοις ἑορτὰς ἄγειν κατ' ἔτος. (11) χρόνοις δὲ ὕστερον πολλοῖς ἀπὸ τῆς Ὑψουρανίου γενεᾶς γενέσθαι Ἀγρέα καὶ Ἁλιέα τοὺς ἁλιείας καὶ ἄγρας εὑρετάς, ἐξ ὧν κληθῆναι ἀγρευτὰς καὶ ἁλιεῖς. ἐξ ὧν γενέσθαι δύο ἀδελφοὺς σιδήρου εὑρετὰς καὶ τῆς τούτου ἐργασίας, ὧν θάτερον τὸν Χουσὼρ λόγους ἀσκῆσαι καὶ ἐπωιδὰς καὶ μαντείας. εἶναι δὲ τοῦτον τὸν Ἥφαιστον, εὑρεῖν δὲ καὶ ἄγκιστρον καὶ δέλεαρ καὶ ὁρμιὰν καὶ σχεδίαν, πρῶτόν τε πάντων ἀνθρώπων πλεῦσαι. διὸ καὶ ὡς θεὸν αὐτὸν μετὰ θάνατον ἐσεβάσθησαν. καλεῖσθαι δὲ αὐτὸν καὶ Δία Μειλίχιον· οἱ δὲ τοὺς ἀδελφοὺς αὐτοῦ τοίχους φασὶν ἐπινοῆσαι ἐκ πλίνθων. (12) μετὰ ταῦτα ἐκ τοῦ γένους τούτων γενέσθαι νεανίας δύο, καλεῖσθαι δὲ αὐτῶν τὸν μὲν Τεχνίτην, τὸν δὲ Γήινον Αὐτόχθονα· οὗτοι ἐπενόησαν τῶι πηλῶι τῆς πλίνθου συμμιγνύειν

---

1 ἐξελέξαντο A 2 γένους Clemen, Mras 4 εὗρον ἐκ π. ξ. πῦρ A 6 κάσσιον BO κάσβιον A 7 καὶ τὸν Ἀντιλίβανον om. A 7-9 Ἀντιλίβανον – γυναικῶν om. B 7-8 ἐγεννήθησαν μημρουμος (so!) A ἐγεννήθη σαμημροῦμος O ἐγεννήθη Σαμηροῦμος Bochart 8 ὁ καὶ AO <καὶ Οὔσωος> Ddf 9 ἐχρημάτιζον τῶν B(?) O ἐχρηματίζοντο A ἀνέδην v ἀναίδην ABO ἂν om. A 10 τὸν – Τύρον om. B 11 θρίων B(?) παπύρου A -ρων BO οὔσωον AO οὔσων B 12 τῶι σώματι om. A πρῶτος A πρῶτον B om. O 14 αὐτῶν A αὐτόθι BO λαβομένου A Οὔσωον: οὔσωνα B[c] 15 θάλατταν A 15-16 τε δύο A 20 ἁλιείας καὶ ἄγρας AB[c] ἀγρείας καὶ ἄγρας O 21 ἐξ οὗ O 22 χουσὼρ BO(?) χρυσὼρ A: cf. 784 F 4 ἀσκήσεως A 23 εἶναι – ὀνομάζεται p. 809, 4 om. B εὑρεῖν δὲ (om. καὶ) ἄ. A 24 τε A δὲ O 25 δία μειλίχιον O διαμίχιον A 25-26 τὸν ἀδελφὸν Clemen 26 αὐτοῦ O αὐτῶν A 27 νεανίας O γενεὰς AH 28 συμμιγνύειν O -νυσιν A

φορυτόν, καὶ τῶι ἡλίωι αὐτὰς τερσαίνειν· ἀλλὰ καὶ στέγας ἐξεῦρον. ἀπὸ τούτων ἐγένοντο ἕτεροι, ὧν ὁ μὲν Ἀγρὸς ἐκαλεῖτο, ὁ δὲ Ἀγροῦ ἥρως ἢ Ἀγρότης, οὗ καὶ ξόανον εἶναι μάλα σεβάσμιον καὶ ναὸν ζυγοφορούμενον ἐν Φοινίκηι· παρὰ δὲ Βυβλίοις ἐξαιρέτως θεῶν ὁ μέγιστος ὀνομάζεται. (13) ἐπενόησαν δὲ οὗτοι αὐλὰς προστιθέναι τοῖς οἴκοις καὶ περιβόλους καὶ σπήλαια. ἐκ τούτων ἀγρόται καὶ κυνηγοί. οὗτοι δὲ καὶ Ἀλῆται καὶ Τιτᾶνες καλοῦνται. ἀπὸ τούτων γενέσθαι Ἄμυνον καὶ Μάγον, οἳ κατέδειξαν κώμας καὶ ποίμνας. ἀπὸ τούτων γενέσθαι Μισὼρ καὶ Συδύκ, τουτέστιν εὔλυτον καὶ δίκαιον. οὗτοι τὴν τοῦ ἁλὸς χρῆσιν εὗρον. (14) ἀπὸ Μισὼρ Τάαυτος, ὃς εὗρε τὴν τῶν πρώτων στοιχείων γραφήν, ὃν Αἰγύπτιοι μὲν Θωύθ, Ἀλεξανδρεῖς δὲ Θώθ, Ἕλληνες δὲ Ἑρμῆν ἐκάλεσαν. ἐκ δὲ τοῦ Συδὺκ Διόσκουροι ἢ Κάβειροι ἢ Κορύβαντες ἢ Σαμοθρᾶικες· οὗτοι (φησί) πρῶτοι πλοῖον εὗρον. ἐκ τούτων γεγόνασιν ἕτεροι, οἳ καὶ βοτάνας εὗρον καὶ τὴν τῶν δακετῶν ἴασιν καὶ ἐπωιδάς.

(15) κατὰ τούτους γίνεταί τις Ἐλιοῦν καλούμενος Ὕψιστος καὶ θήλεια λεγομένη Βηρούθ, οἳ καὶ κατώικουν περὶ Βύβλον. ἐξ ὧν γεννᾶται Ἐπίγειος Αὐτόχθων, ὃν ὕστερον ἐκάλεσαν Οὐρανόν, ὡς ἀπ' αὐτοῦ καὶ τὸ ὑπὲρ ἡμᾶς στοιχεῖον δι' ὑπερβολὴν τοῦ κάλλους ὀνομάζειν οὐρανόν. γεννᾶται δὲ τούτωι ἀδελφὴ ἐκ τῶν προειρημένων, ἣ καὶ ἐκλήθη Γῆ· καὶ διὰ τὸ κάλλος ἀπ' αὐτῆς (φησίν) ἐκάλεσαν τὴν ὁμώνυμον γῆν. ὁ δὲ τούτων πατὴρ ὁ Ὕψιστος ἐν συμβολῆι θηρίων(?) τελευτήσας ἀφιερώθη, ὧι χοὰς καὶ θυσίας οἱ παῖδες ἐτέλεσαν. (16) παραλαβὼν δὲ ὁ Οὐρανὸς τὴν τοῦ πατρὸς ἀρχὴν ἄγεται πρὸς γάμον τὴν ἀδελφὴν Γῆν, καὶ ποιεῖται ἐξ αὐτῆς παῖδας τέσσαρας· Ἦλον τὸν καὶ Κρόνον καὶ Βαίτυλον καὶ Δαγὼν (ὅς ἐστι Σίτων) καὶ Ἄτλαντα. καὶ ἐξ ἄλλων δὲ γαμετῶν ὁ Οὐρανὸς πολλὴν ἔσχε γενεάν· διὸ χαλεπαίνουσα ἡ Γῆ τὸν Οὐρανὸν ζηλοτυποῦσα ἐκάκιζεν, ὡς καὶ διαστῆναι ἀλλήλων. (17) ὁ δὲ Οὐρανὸς ἀποχωρήσας αὐτῆς, μετὰ βίας ὅτε καὶ ἐβούλετο ἐπιὼν καὶ πλησιάζων αὐτῆι,

2 ἀγροῦ ἥρως AO ἀγρούηρως NV (v vor Mras) ἀγρότης O ἀβρότης A 4 βιβλίοις A 5 περιβόλους AO -λαια B 7 ποίμνας A ποίμνια B (O fehlt) 8 μισὼρ A μείσωρα B (O unleserlich) συδύκ A συδέκ G (O unleserlich) σεδέκ B; cf. § 25; 38 9 μισὼρ A μείσωρ B G (O zerstört) 9-11 Τάαυτος – ἐκάλεσαν: F 1 § 24 9 οὐ τάαυτος BO οὗτος αὐτὸς A ὁ Τάαυτος Mras οὖν T.? s. zu p. 804, 25 10 θωύθ A θωὼρ BO ἀλ. δὲ θώθ BO om. A 11 τοῦ om. A συδὺκ A συδὲκ BO κάβιροι A κορύβαντες A κύρβαντες BO (richtig?) 13 δακετῶν AB δεκάτων O 14 ἐλιοῦν A ἐλιούμ (ἐλ- V) O (N) ἐνούμ B 15 βηρούθ BO ῥουθ A βίβλον A βέβλον B[1] 15-16 ἐπίγειος αὐτόχθων (cf. § 12) A ἐπ. ἢ αὐ. BO 16-17: ὃν ὕστερον <δι' ὑπερβολὴν τοῦ κάλλους> ἐκ. Οὐρανόν, ὡς – στοιχεῖον [δι' ὑ.τ.κ.] ὀνομάζειν οὐρανόν? τοῦ περὶ ἡμᾶς στοιχείου A[1] 18 ἀπ' αὐτῆς BO αὐτῆς A 19-20 ἐν συμβολῆι A ἐν (ἐκ B[2]) συμβολῆς B ἐν συμβολαῖς O 20 θηρίων BO αιψριων (so) A οἱ om. B (O unleserlich) 21 ἄγε' B[2] 22 ἦλον A ἶλον BO 23 βαίτυλον O βέτυλον B β . . τυλον (rasur) A 23-24 γαμετῶν BO γενετῶν A 25 ἐκάκιζεν BO κακίζειν A κακίζει Mras 26 ἐπιὼν A[c]O ἐστιῶν B[1] ἐστιῶν B[2]

πάλιν ἀπηλλάττετο· ἐπιχειρεῖν δὲ καὶ τοὺς ἐξ αὐτῆς παῖδας διαφθείρειν, τὴν δὲ Γῆν ἀμύνασθαι πολλάκις, συμμαχίαν αὐτῆι συλλεξαμένην. εἰς ἄνδρας δὲ προελθὼν ὁ Κρόνος, Ἑρμῆι τῶι τρισμεγίστωι συμβούλωι καὶ βοηθῶι χρώμενος – οὗτος γὰρ ἦν αὐτῶι γραμματεύς – τὸν πατέρα Οὐρανὸν ἀμύνεται τιμωρῶν τῆι μητρί. (18) Κρόνωι δὲ γίνονται παῖδες Περσεφόνη καὶ Ἀθηνᾶ. ἡ μὲν οὖν πρώτη παρθένος ἐτελεύτα, τῆς δὲ Ἀθηνᾶς γνώμηι καὶ Ἑρμοῦ κατεσκεύασε Κρόνος ἐκ σιδήρου ἅρπην καὶ δόρυ. εἶτα ὁ Ἑρμῆς τοῖς τοῦ Κρόνου συμμάχοις λόγους μαγείας διαλεχθεὶς πόθον ἐνεποίησε τῆς κατὰ τοῦ Οὐρανοῦ μάχης ὑπὲρ τῆς Γῆς· καὶ οὕτως Κρόνος τὸν Οὐρανὸν πολέμωι συμβαλὼν τῆς ἀρχῆς ἤλασε, καὶ τὴν βασιλείαν διεδέξατο. ἑάλω δὲ ἐν τῆι μάχηι καὶ ἡ ἐπέραστος τοῦ Οὐρανοῦ σύγκοιτος ἐγκύμων οὖσα, ἣν ἐκδίδωσιν ὁ Κρόνος Δαγῶνι πρὸς γάμον· τίκτει δὲ παρὰ τούτωι ὃ κατὰ γαστρὸς ἐξ Οὐρανοῦ ἔφερεν, ὃ καὶ ἐκάλεσε Δημαροῦν. (19) ἐπὶ τούτοις ὁ Κρόνος τεῖχος περιβάλλει τῆι ἑαυτοῦ οἰκήσει, καὶ πόλιν πρώτην κτίζει τὴν ἐπὶ Φοινίκης Βύβλον. (20) μετὰ ταῦτα τὸν ἀδελφὸν τὸν ἴδιον Ἄτλαντα ὑπονοήσας ὁ Κρόνος μετὰ γνώμης τοῦ Ἑρμοῦ εἰς βάθος γῆς ἐμβαλὼν κατέχωσε. κατὰ τοῦτον τὸν χρόνον οἱ ἀπὸ τῶν Διοσκούρων σχεδίας καὶ πλοῖα συνθέντες ἔπλευσαν, καὶ ἐκριφέντες κατὰ τὸ Κάσσιον ὄρος ναὸν αὐτόθι ἀφιέρωσαν. οἱ δὲ σύμμαχοι Ἤλου τοῦ Κρόνου Ἐλωεὶμ ἐπεκλήθησαν, ὡς ἂν Κρόνιοι οὗτοι ἦσαν οἱ λεγόμενοι ἐπὶ Κρόνου. (21) Κρόνος δὲ υἱὸν ἔχων Σάδιδον ἰδίωι αὐτὸν σιδήρωι διεχρήσατο δι' ὑπονοίας αὐτὸν ἐσχηκώς, καὶ τῆς ψυχῆς αὐτόχειρ τοῦ παιδὸς γενόμενος ἐστέρησεν· ὡσαύτως καὶ θυγατρὸς ἰδίας τὴν κεφαλὴν ἀπέτεμεν, ὡς πάντας ἐκπεπλῆχθαι θεοὺς τὴν Κρόνου γνώμην. (22) χρόνου δὲ προιόντος Οὐρανὸς ἐν φυγῆι τυγχάνων θυγατέρα αὐτοῦ παρθένον Ἀστάρτην μεθ' ἑτέρων ἀδελφῶν αὐτῆς δύο Ῥέας καὶ Διώνης, δόλωι τὸν Κρόνον ἀνελεῖν ὑποπέμπει, ἃς καὶ ἑλὼν ὁ Κρόνος κουριδίας γαμετὰς ἀδελφὰς οὔσας ἐποιήσατο. (23) γνοὺς δὲ Οὐρανὸς ἐπιστρατεύει κατὰ τοῦ Κρόνου Εἱμαρμένην καὶ Ὥραν μεθ' ἑτέρων συμμάχων, καὶ ταύτας ἐξοικειωσάμενος ὁ Κρόνος παρ' ἑαυτῶι κατέσχεν. ἔτι δὲ (φησίν) ἐπενόησε θεὸς Οὐρανὸς βαιτύλια, λίθους ἐμψύχους μηχανησάμενος. (24) Κρόνωι δὲ ἐγένοντο ἀπὸ

---

1 ἀπηλλάσσετο A ἐπιχειρεῖν A ἐπεχείρει BO 2 αὐτῆι o 3 ἑρμεῖ A Ἑρμοῦ BO μετὰ γνώμης καὶ μετὰ ἑρμοῦ A 4 αὐτῶι AO αὐτοῦ B ἀμύνεται om. A 6 οὖν om. O τελευτᾶι A Ἀθηνᾶς – οὐρανοῦ A κατ' οὐρανὸν BO 8 πότον B τοῖς κατὰ B κατὰ τοῦ 9 ὑπὲρ γῆς A οὕτω(ς) B(O) οὗτος A πολεμῶν A 10 ἑάλω δὲ καὶ ἐν τ.μ. A 11-12 δαγῶνι πρὸς γάμον A πρὸς (εἰς O) γάμον τῶ δαγὼν BO 13 δημαροῦν BIO διμάρουν A; cf. § 27/8; 31 τῆι om. O 14 πόλιν πρώτην A πρ. π. BO φοινίκης A –κη BO βύβλον O βίβλον A βέβλον B 17 συνθέντες AB σύνθετα O κατὰ BO περὶ A 18-23 οἱ δὲ – γνώμην om. B 18 ἤλου A ἴλου O ἐλωεὶμ ἐπεκλήθησαν O ἐλωι μετεβλήθησαν A 19 ἦσαν v εἴησαν Schwartz 21 γινόμενος A 22 ἐκπεπλῆσθαι A χρόνου A χρόνου BO 24 ῥέα(ν) καὶ διώνη(ν) A[c] (m. 1) 27-28 οἰκειωσάμενος B 28 ὁ om. A

'Αστάρτης θυγατέρες ἑπτὰ Τιτανίδες ἢ 'Αρτέμιδες. καὶ πάλιν τῶι αὐτῶι γίνονται ἀπὸ 'Ρέας παῖδες ἑπτά, ὧν ὁ νεώτατος ἅμα τῆι γενέσει ἀφιερώθη· καὶ ἀπὸ Διώνης θήλειαι * *, καὶ ἀπὸ 'Αστάρτης πάλιν ἄρρενες δύο, Πόθος καὶ Ἔρως. (25) ὁ δὲ Δαγὼν ἐπειδὴ εὗρε σῖτον καὶ ἄροτρον, ἐκλήθη Ζεὺς 'Αρότριος. Συδύκωι δὲ τῶι λεγομένωι δικαίωι μία τῶν Τιτανίδων συνελθοῦσα γεννᾶι τὸν 'Ασκληπιόν. (26) ἐγεννήθησαν δὲ καὶ ἐν Περαίαι Κρόνωι τρεῖς παῖδες, Κρόνος ὁμώνυμος τῶι πατρὶ καὶ Ζεὺς Βῆλος καὶ 'Απόλλων. κατὰ τούτους γίνονται Πόντος καὶ Τυφὼν καὶ Νηρεὺς πατὴρ Πόντου, Βήλου δὲ παῖς. (27) ἀπὸ δὲ τοῦ Πόντου γίνεται Σιδών, ἣ καθ' ὑπερβολὴν εὐφωνίας πρώτη ὕμνον ὠιδῆς εὗρε, καὶ Ποσειδῶν. τῶι δὲ Δημαροῦντι γίνεται Μέλκαθρος ὁ καὶ 'Ηρακλῆς. (28) εἶτα πάλιν Οὐρανὸς πολεμεῖ Πόντωι, καὶ ἀποστὰς Δημαροῦντι † προστίθεται ἔπεισί τε Πόντωι ὁ Δημαροῦς, τροποῦται δὲ αὐτὸν ὁ Πόντος· ὁ δὲ Δημαροῦς φυγῆς θυσίαν ηὔξατο. (29) ἔτει δὲ τριακοστῶι δευτέρωι τῆς ἑαυτοῦ κρατήσεως καὶ βασιλείας ὁ Ἦλος (τοῦτ' ἔστιν ὁ Κρόνος) Οὐρανὸν τὸν πατέρα λοχήσας ἐν τόπωι τινὶ μεσογείωι καὶ λαβὼν ὑποχείριον ἐκτέμνει αὐτοῦ τὰ αἰδοῖα σύνεγγυς πηγῶν τε καὶ ποταμῶν, ἔνθα ἀφιερώθη Οὐρανός, καὶ ἀπηρτίσθη αὐτοῦ τὸ πνεῦμα, καὶ ἀπέσταξεν αὐτοῦ τὸ αἷμα τῶν αἰδοίων εἰς τὰς πηγὰς καὶ τῶν ποταμῶν τὰ ὕδατα· καὶ μέχρι τούτου δείκνυται τὸ χωρίον.

(30) τοσαῦτα μὲν δὴ τὰ τοῦ Κρόνου, καὶ τοιαῦτά γε τὰ σεμνὰ τοῦ παρ' Ἕλλησι βοωμένου βίου τῶν ἐπὶ Κρόνου, οὓς καί φασι γεγονέναι πρῶτον χρύσεόν τε γένος μερόπων ἀνθρώπων, τῆς μακαριζομένης ἐκείνης τῶν παλαιῶν εὐδαιμονίας. πάλιν δὲ ὁ συγγραφεὺς τούτοις μεθ' ἕτερα ἐπιφέρει λέγων·

(31) «'Αστάρτη δὲ ἡ μεγίστη καὶ Ζεὺς Δημαροῦς καὶ Ἄδωδος βασιλεὺς θεῶν ἐβασίλευον τῆς χώρας Κρόνου γνώμηι. ἡ δὲ 'Αστάρτη ἐπέθηκε τῆι ἰδίαι κεφαλῆι βασιλείας παράσημον

1-2 θυγατέρας – 'Ρέας om. BO 3 * * (zahl und namen?) Jac 5 συδύκωι A συδὲκ O σεδὲκ B; cf. § 13 6 περαίαι A (Steph. Byz. s.v.?) τῆι περαίαι BO 7 Ζεὺς Βῆλος: *P.E.* 3, 10, 20 Φοινίκων μὲν οὖν οἱ πρῶτοι θεολόγοι, ὡς ἐν τῶι πρώτωι συγγράμματι παρεστήσαμεν, τὸν Δία παῖδα Κρόνου θνητὸν ἀπὸ θνητοῦ γενόμενον, ἄνδρα Φοίνικα τὸ γένος, ἀπεμνημόνευον 8 βήλου δὲ παῖς A om. BO 9 σιδών, ἣ BO σιδώνη A 10 διμαροῦντι (auch v. 11/2) A μέλκαθρος A μέλκαρθος BO 11-12 ἀποστὰς Δημαροῦς (αὐτῶι)? 12-13 ἔπεισί – Πόντος om. A 13 δὲ A τε BO διμαροῦς A 13 ηὔξαντο O ἔτει AB² ἔτι B¹O 14 Ἴλος BO 15 περιτέμνει λοχήσας A 15-16 μεσογείωι – αὐτοῦ om. A περιτέμνει λοχήσας ἐν τόπωι τινὶ τὰ αἰδοῖα AH 17 πνεῦμα A αἷμα BGDV (O unleserlich) 20-23 εὐδαιμονίας: zusammenfassung eher Eusebs als Ph.s (s. § 20) 20 τὰ τοῦ: τοῦ om. A 20-21 τὰ σεμνὰ – κρόνου A τὰ παρ' – κρόνου τὰ σεμνὰ O τὰ παρ' – τοῦ ἐπὶ Κρόνου τὰ σεμνὰ B 21 οὓς om. A 22 τῶν παλ. ἐκείνης B 23 δὲ A om. BO ὁ συγγραφεύς: Philon? τούτοις om. B ἐπιφέρει μεθ' ἕτ. B 24 καὶ ζεὺς δημαροῦς BO καὶ ζεύς· καὶ διμάρους A <ὁ> καὶ Ἄδωδος Gruppe

κεφαλὴν ταύρου· περινοστοῦσα δὲ τὴν οἰκουμένην εὗρεν ἀεροπετῆ ἀστέρα, ὃν καὶ ἀνελομένη ἐν Τύρωι τῆι ἁγίαι νήσωι ἀφιέρωσε. τὴν δὲ Ἀστάρτην Φοίνικες τὴν Ἀφροδίτην εἶναι λέγουσι. (32) καὶ ὁ Κρόνος δὲ περιιὼν τὴν οἰκουμένην Ἀθηνᾶι τῆι ἑαυτοῦ θυγατρὶ δίδωσι τῆς Ἀττικῆς τὴν βασιλείαν. (33) λοιμοῦ δὲ γενομένου καὶ φθορᾶς, τὸν ἑαυτοῦ μονογενῆ υἱὸν * * ὁ Κρόνος Οὐρανῶι τῶι πατρὶ ὁλοκαρποῖ, καὶ τὰ αἰδοῖα F 3; 10 περιτέμνεται, ταὐτὸν ποιῆσαι καὶ τοὺς ἅμ' αὐτῶι συμμάχους ἐξαναγκάσας. (34) καὶ μετ' οὐ πολὺ ἕτερον αὐτοῦ παῖδα ἀπὸ Ῥέας ὀνομαζόμενον Μοὺθ ἀποθανόντα ἀφιεροῖ· Θάνατον δὲ τοῦτον καὶ Πλούτωνα Φοίνικες ὀνομάζουσι. (35) καὶ ἐπὶ τούτοις ὁ Κρόνος Βύβλον μὲν τὴν πόλιν θεᾶι Βααλτίδι τῆι καὶ Διώνηι δίδωσι, Βηρυτὸν δὲ Ποσειδῶνι καὶ Καβείροις Ἀγρόταις τε καὶ Ἁλιεῦσιν, οἳ καὶ τὰ τοῦ Πόντου λείψανα εἰς τὴν Βηρυτὸν ἀφιέρωσαν. (36) πρὸ δὲ τούτων θεὸς Τάαυτος μιμησάμενος τῶν συνόντων(?) θεῶν ὄψεις, Κρόνου τε καὶ Δαγῶνος καὶ τῶν λοιπῶν, διετύπωσεν τοὺς ἱεροὺς τῶν στοιχείων χαρακτῆρας. F 4 ἐπενόησε δὲ καὶ τῶι Κρόνωι παράσημα βασιλείας ὄμματα τέσσαρα ἐκ τῶν ἐμπροσθίων καὶ ὀπισθίων μερῶν, <δύο μὲν ἐγρηγορότα>, δύο δὲ ἡσυχῆ μύοντα· καὶ ἐπὶ τῶν ὤμων πτερὰ τέσσαρα, δύο μὲν ὡς ἱπτάμενα, δύο δὲ ὡς ὑφειμένα. (37) τὸ δὲ σύμβολον ἦν, ἐπειδὴ Κρόνος κοιμώμενος ἔβλεπε, καὶ ἐγρηγορῶς ἐκοιμᾶτο· καὶ ἐπὶ τῶν πτερῶν ὁμοίως, ὅτι ἀναπαυόμενος ἵπτατο, καὶ ἱπτάμενος ἀνεπαύετο. τοῖς δὲ λοιποῖς θεοῖς δύο ἑκάστωι πτερώματα ἐπὶ τῶν ὤμων, ὡς ὅτι δὴ συνίπταντο τῶι Κρόνωι· καὶ αὐτῶι δὲ πάλιν ἐπὶ τῆς κεφαλῆς πτερὰ δύο, ἓν ἐπὶ τοῦ ἡγεμονικωτάτου νοῦ καὶ ἓν ἐπὶ τῆς αἰσθήσεως. (38) ἐλθὼν δὲ ὁ Κρόνος εἰς νότου χώραν ἅπασαν τὴν Αἴγυπτον παρέδωκε θεῶι Ταaύτωι, ὅπως βασίλειον αὐτῶι γένηται. ταῦτα δὲ (φησί)

2 ἀστέρα om. B 3-17 τὴν δὲ – χαρακτῆρας om. B 7 * *: ἐξ ἐπιχωρίας νύμφης Ἀνωβρὲτ (F 3b)? 'ex legitima uxore' Mue ὁλοκαυτοῖ Mue 8 ταυτὸν A ταυτὸ O 9 ἐξαναγκάσας A καταν- O 10 ἀφιεροῖ O ἱεροῖ A 12 βίβλον A 13 διώνηι (cf. § 22) A διώδη O ποσειδῶνι A ποσειδὼν O καβήροις A 15 τάαυτος O ταῦθ' ὅς A; cf. F 1 § 23; F 2 § 14; 38; F 4 § 53; F 10 15-16 τῶν συνόντων θ. ὄψεις O τὸν οὐρανὸν τῶν θεῶν ὄψει A τῶν οὐρανοέντων (o. οὐρανιώνων) δ.? Mue τῶν τὸν οὐρανὸν ἐχόντων θ.δ.? 16 δαγῶνος A δαγὼν O 18 καὶ om. B 19-20 <δ. μ. ἐ.> Jac <δύο μὲν *> Gaisford <δ. μ. ἀτενὲς βλέποντα> Mras 20 μύοντα BO νεύοντα A 21 ἱπτάμενα A -μένου BO · ὡς om. A 23 ὅτι BO ἔτι A 24 ἵπταται B δύο <ἦν>? 25 συνίπτανται B 28 παρέδωκεν A ἔδωκε BO 29 ταaύτωι BO ταυθω (so) A

πρῶτοι πάντων ὑπεμνηματίσαντο οἱ ἑπτὰ Συδὲκ παῖδες Κάβειροι καὶ ὁ ὄγδοος αὐτῶν ἀδελφὸς Ἀσκληπιός, ὡς αὐτοῖς ἐνετείλατο θεὸς Τάαυτος.

(39) ταῦτα πάντα ὁ Θαβίων, ὃς πάμπρωτος τῶν ἀπ' αἰῶνος γεγονότων Φοινίκων ἱεροφάντης ἀλληγορήσας τοῖς τε φυσικοῖς καὶ κοσμικοῖς πάθεσιν ἀναμίξας, παρέδωκε τοῖς ὀργεῶσι καὶ τελετῶν κατάρχουσι προφήταις· οἱ δὲ τὸν τῦφον αὔξειν ἐκ παντὸς ἐπινοοῦντες τοῖς αὐτῶν διαδόχοις παρέδοσαν καὶ τοῖς ἐπεισάκτοις, ὧν ἦν καὶ Εἰσίριος <ὁ> τῶν τριῶν γραμμάτων εὑρετής, ἀδελφὸς Χνᾶ τοῦ πρώτου μετονομασθέντος Φοίνικος>>. (40) εἶθ' ἑξῆς αὖθις ἐπιλέγει· <<οἱ δὲ Ἕλληνες εὐφυίαι πάντας ὑπερβαλλόμενοι τὰ μὲν πρῶτα πλεῖστα ἐξιδιώσαντο, εἶτα καὶ τοῖς προκοσμήμασι ποικίλως ἐξετραγώιδησαν, ταῖς τε τῶν μύθων ἡδοναῖς θέλγειν ἐπινοοῦντες παντοίως ἐποίκιλλον. ἔνθεν Ἡσίοδος οἵ τε κυκλικοὶ περιηχημένοι Θεογονίας καὶ Γιγαντομαχίας καὶ Τιτανομαχίας ἔπλασαν ἰδίας καὶ ἐκτομάς, οἷς συμπεριφερόμενοι ἐξενίκησαν τὴν ἀλήθειαν. (41) σύντροφοι δὲ τοῖς ἐκείνων πλάσμασιν αἱ ἀκοαὶ ἡμῶν γενόμεναι καὶ προληφθεῖσαι πολλοῖς αἰῶσιν ὡς παρακαταθήκην φυλάσσουσιν ἥνπερ ἐδέξαντο μυθοποιίαν, καθάπερ καὶ ἀρχόμενος εἶπον, ἥτις συνεργηθεῖσα χρόνωι δυσεξίτητον αὐτῆς τὴν κατοχὴν ἀπείργασται, ὥστε τὴν μὲν ἀλήθειαν δοκεῖν λῆρον, τὸ δὲ τῆς ἀφηγήσεως νόθον ἀλήθειαν>>.

(42) ταῦτα ἀπὸ τῆς Σαγχουνιάθωνος προκείσθω γραφῆς, ἑρμηνευθείσης μὲν ὑπὸ Φίλωνος τοῦ Βυβλίου, δοκιμασθείσης δὲ ὡς ἀληθοῦς ὑπὸ τῆς Πορφυρίου τοῦ φιλοσόφου μαρτυρίας (F 1 § 21; es folgt F 10).

3 (3-4) **a)** PORPHYR. *De abst.* 2, 56 (EUSEB. *P.E.* 4, 16, 6): Φοίνικες F 2 § 33;
δὲ ἐν ταῖς μεγάλαις συμφοραῖς ἢ πολέμων ἢ αὐχμῶν ἢ λοιμῶν ἔθυον τῶν φιλ- F 10
τάτων τινά, ἐπιφημίζοντες Κρόνωι· καὶ πλήρης δὲ ἡ Φοινικικὴ ἱστορία

---

1 ὑπεμνηματίσαντο A ἀπ- BO συδὲκ BO σύδου A Συδύκου Mras; cf. § 25 1-2 κάβηροι A 2 ὄγδοος BO ἴδιος A 3 τάαυτος BO ταυθός A 4-22: F 1 § 25/8 4 θαβίων, ὃς πάμπρωτος A θαυίωνος παῖς πρῶτος BO 6 ὀργεῶσι BO ὀργαιῶσι A 7-25 οἱ δὲ – μαρτυρίας om. B τοῖς αὐτῶν διαδόχοις (cf. F 1 § 26) v ταῖς αὐ. διαδοχαῖς AO (Mras) 9 ἦν A εἷς ἔτι O εἰσίριος A ἴσιρις O <ὁ> Jac γραμμάτων O -τέων A 10 πρώτου O om. A 11 ἐπιλέγει: *i.e.* Philon 12 εἶτα om. A καὶ om. O 13 τε om. O 17 δὲ om. O 19 ἥνπερ ἐδέξαντο A ἣν παρεδέξαντο O 20 εἶπον O εἶπεν A 21 δυσεξίτηλον? Mras ἀπείργασται A εἴργασται O 23-25: F 1 § 20 23 προσκείσθω O 24 βιβλίου A ἀληθοῦς Vigier -θῶς o 27 ἢ λ. ἢ αὐ. Eus ἔθυον Eus ἐθύοντο Porph 28 ἐπιφημίζοντες Lobeck ἐπιψηφίζοντες Porph Eus τῶι χρόνωι Eus (O) πλήρης δὲ Porph π. γε (τε BO) Eus

τῶν θυσάντων, ἣν Σαγχουνιάθων μὲν τῆι Φοινίκων γλώττηι συνέγραψεν, Φίλων δὲ ὁ Βύβλιος εἰς τὴν Ἑλλάδα γλῶσσαν δι' ὀκτὼ βιβλίων ἡρμήνευσεν. **b**) Euseb. *P.E.* 4, 16, 11: ταῦτα μὲν οὖν ἐκ τῆς προδηλωθείσης κείσθω γραφῆς (*scil.* τοῦ Πορφυρίου). ἐκ δὲ τοῦ πρώτου συγγράμματος τῆς Φίλωνος Φοινικικῆς ἱστορίας παραθήσομαι ταῦτα· «ἔθος ἦν τοῖς παλαιοῖς ἐν ταῖς μεγάλαις συμφοραῖς τῶν κινδύνων ἀντὶ τῆς πάντων φθορᾶς τὸ ἠγαπημένον τῶν τέκνων τοὺς κρατοῦντας ἢ πόλεως ἢ ἔθνους εἰς σφαγὴν ἐπιδιδόναι λύτρον τοῖς τιμωροῖς δαίμοσι· κατεσφάττοντο δὲ οἱ διδόμενοι μυστικῶς. Κρόνος τοίνυν, ὃν οἱ Φοίνικες Ἦλ προσαγορεύουσιν, βασιλεύων τῆς χώρας καὶ ὕστερον μετὰ τὴν τοῦ βίου τελευτὴν εἰς τὸν τοῦ Κρόνου ἀστέρα καθιερωθείς, ἐξ ἐπιχωρίας νύμφης Ἀνωβρὲτ λεγομένης υἱὸν ἔχων μονογενῆ, ὃν διὰ τοῦτο Ἰεοὺδ ἐκάλουν (τοῦ μονογενοῦς οὕτως ἔτι καὶ νῦν καλουμένου παρὰ τοῖς Φοίνιξι) κινδύνων ἐκ πολέμου μεγίστων κατειληφότων τὴν χώραν, βασιλικῶι κοσμήσας σχήματι τὸν υἱὸν βωμόν τε κατασκευασάμενος κατέθυσεν».

***4** (9) Euseb. *P.E.* 1, 10, 45: (F 10) ὁ δ' αὐτὸς πάλιν περὶ τῶν Φοινίκων F 2 § 14?
στοιχείων ἐκ τῶν Σαγχουνιάθωνος μεταβάλλων θέα(?) ὁποῖά φησι περὶ τῶν ἑρπυστικῶν καὶ ἰοβόλων θηρίων, ἃ δὴ χρῆσιν μὲν ἀγαθὴν ἀνθρώποις οὐδεμίαν συντελεῖ, φθορὰν δὲ καὶ λύμην οἷς ἂν τὸν δυσαλθῆ καὶ χαλεπὸν ἰὸν ἐγχρίμψειεν ἀπεργάζεται. γράφει δὲ καὶ ταῦτα πρὸς λέξιν ὧδέ πως λέγων·

(46) «τὴν μὲν οὖν τοῦ δράκοντος φύσιν καὶ τῶν ὄφεων αὐτὸς ἐξεθείασεν ὁ Τάαυτος, καὶ μετ' αὐτὸν αὖθις Φοίνικές τε καὶ Αἰγύπτιοι· πνευματικώτατον γὰρ τὸ ζῶιον πάντων τῶν ἑρπετῶν καὶ πυρῶδες ὑπ' αὐτοῦ παρεδόθη· παρ' ὃ καὶ τάχος ἀνυπέρβλητον διὰ τοῦ πνεύματος παρίστησι, χωρὶς ποδῶν τε καὶ χειρῶν ἢ ἄλλου τινὸς τῶν ἔκτοσθεν, δι' ὧν τὰ λοιπὰ ζῶια τὰς κινήσεις

1 σαγχωνιάθων Eus (BO) γλώττηι Porph Eus (A) γλώσσηι Eus (BO) 2-3 Φίλων – ἡρμήνευσεν om. Eus (B) 2 βίβλιος Eus (A) 2-3 δι' ὀκτὼ βιβλίων Porph Eus (διὸ ἐκ τῶν A); cf. F 1 § 23 2 γλῶσσαν Porph Eus 3 οὖν om. O 5 φοινικῆς A 9 τιμωροῖς A πονηροῖς O κατέσφαττον τότε A 10 ἦλ O ιηλ (*i.e.* Ἰσραήλ) A (1, 10, 44 = F 10: ἦλ A ἰσραὴλ BGNV; O fehlt) 13 ἀνοβρὲτ O ἄνωβριν 1, 10, 44 (A) τὸν διὰ τοῦτον A ἰεοὺδ D, Eissfeldt ιουεουτ A ἰεδοὺδ N (1, 10, 44: ἰδοῦδ A ἰροὺδ BO ἰεροὺδ N) 14 καὶ νῦν ἔτι O 15 κινδ. – μεγίστων: s. F 2 § 33 16 χώραν: πόλιν 1, 10, 44 (BO) 18-p. 816, 12: nach Gruppe *Griech. Kulte u. Mythen* I p. 367 ff. 'interpolation' aus einem 'allegorisierenden philosophen'; s. Komm. 18 αὐτός: d.i. Philon φοινικικούς O 19 μεταβάλλων A -αλῶν BO 21-22 ἐγχρίμψειεν A -ρίψ- BO 22 πως AB πη O 24 (p. 815, 6) τάαυτος BO ταυθὸς A 25 τῶν om. A 26 παρ' ὧι BO 28 ἔκτοσθεν Gaisford, Ddf ἔκτοθεν A ἔξωθεν BO δι' ὧν A ἐξ ὧν BO

ποιεῖται· καὶ ποικίλων σχημάτων τύπους ἀποτελεῖ, καὶ κατὰ τὴν πορείαν ἑλικοειδεῖς ἔχει τὰς ὁρμὰς ἐφ' ὃ βούλεται τάχος. (47) καὶ πολυχρονιώτατον δέ ἐστιν, οὐ μόνον τε ἐκδυόμενον τὸ γῆρας νεάζειν, ἀλλὰ καὶ αὔξησιν ἐπιδέχεσθαι μείζονα πέφυκε· καὶ ἐπειδὰν τὸ ὡρισμένον μέτρον πληρώσηι, εἰς ἑαυτὸν ἀναλίσκεται, ὡς ἐν ταῖς ἱεραῖς ὁμοίως αὐτὸς ὁ Τάαυτος κατέταξε γραφαῖς. διὸ καὶ ἐν ἱεροῖς τοῦτο τὸ ζῶιον καὶ μυστηρίοις συμπαρείληπται. (48) εἴρηται δὲ ἡμῖν περὶ αὐτοῦ ἐν τοῖς ἐπιγραφομένοις Ἐθωθ(ι)ῶν(?) ὑπομνήμασιν (F 8) ἐπὶ πλεῖον, ἐν οἷς κατασκευάζεται, ὅτι ἀθάνατον εἴη, καὶ ὡς εἰς ἑαυτὸν ἀναλύεται, ὥσπερ πρόκειται· οὐ γὰρ θνήσκει ἰδίωι θανάτωι εἰ μὴ βίαι τινὶ πληγὲν τοῦτο τὸ ζῶιον. Φοίνικες δὲ αὐτὸ Ἀγαθὸν δαίμονα καλοῦσιν. ὁμοίως καὶ Αἰγύπτιοι κνὴφ ἐπονομάζουσι· προστιθέασι δὲ αὐτῶι ἱέρακος κεφαλὴν διὰ τὸ πρακτικὸν τοῦ ἱέρακος. (49) καί φησιν Ἐπήεις(?) ἀλληγορῶν – ὁ ὀνομασθεὶς παρ' αὐτοῖς μέγιστος ἱεροφάντης καὶ ἱερογραμματεύς, ὃν μετέφρασεν Ἄρειος Ἡρακλεοπολίτης – κατὰ λέξιν οὕτως· 'τὸ πρῶτον ὂν θειότατον ὄφις ἐστίν, ἱέρακος ἔχων μορφήν, ἄγαν ἐπίχαρις, ὃς εἰ ἀναβλέψειε, φωτὸς τὸ πᾶν ἐπλήρου ἐν τῆι πρωτογόνωι χώραι αὐτοῦ· εἰ δὲ καμμύσειε, σκότος ἐγίνετο, ἔμφασιν διδοὺς ὁ Ἐπήεις, ὅτι καὶ διάπυρόν ἐστι διὰ τοῦ φάναι διηύγασε'· φωτὸς γὰρ ἴδιόν ἐστι τὸ διαυγάσαι. (50) παρὰ Φοινίκων δὲ καὶ Φερεκύδης (Vorsokr.^{5} 7 [71] B 4) λαβὼν τὰς ἀφορμὰς ἐθεολόγησε περὶ τοῦ παρ' αὐτῶι λεγομένου Ὀφιονέως(?) θεοῦ καὶ τῶν Ὀφιονιδῶν, περὶ ὧν αὖθις λέξομεν. (51) ἔτι μὴν οἱ Αἰγύπτιοι ἀπὸ τῆς αὐτῆς ἐννοίας τὸν κόσμον γράφοντες περιφερῆ κύκλον ἀεροειδῆ καὶ πυρωπὸν χαράσσουσι καὶ μέσα τεταμένον ὄφιν ἱερακόμορφον (καὶ ἔστι τὸ πᾶν σχῆμα ὡς τὸ παρ' ἡμῖν Θῆτα), τὸν μὲν κύκλον κόσμον μηνύοντες, τὸν δὲ μέσον ὄφιν συνεκτικὸν τούτου Ἀγαθὸν δαίμονα σημαίνοντες. (52) καὶ Ζωροάστρης δὲ ὁ μάγος ἐν τῆι Ἱεραῖ Συναγωγῆι τῶν Περσικῶν φησι κατὰ

---

3 τε BO τὸ A^{ac} τῶι A^c (m. 1?) 6-11 ὡς – ἀναλύεται om. B 7 ἐν μυστ. v (vor Mras) 8-9 ἐπιγραφομένοις O -γεγραμμένοις A γεγραμμένοις AH 9 ἐθωθων A ἐθωθῶν O ἐθωθιῶν NDV^{ac} Θωθείων ('Kommentar zu den schriften oder lehren des Thot') Gutschmid, Eissfeldt ἐθῶν θείων Scal Ἐθῶν Ὀθνείων Mras 10 ἀθάνατον A -τος O 13 κνὴτ I 15 (21) ἐπήεις BO ὀπήεις A ὁ om. A 16 παρ' αὐτοῖς: *scil.* τοῖς Αἰγυπτίοις? 17 μετέφρασεν ‹εἰς Ἑλλάδα φωνὴν› Gaisford 18 τὸ πρῶτον om. B ὂν A ὃν BO 19 ἐπίχαρες O 21 ὁ ἐπήεις BO ὀπήεις A καὶ om. BO 24 Ὀφιονέως Orig. *c. Cels.* 6, 42(?) ὀφιωνέως B^1 O ὀφίονος A 25 ὀφιονιδῶν A -ωνίδων O -εωνίδων B 27 μέσα A μέσον BO

λέξιν· ‘ὁ δὲ θεός ἐστι κεφαλὴν ἔχων ἱέρακος, οὗτός ἐστιν ὁ πρῶτος· ἄφθαρτος, ἀίδιος, ἀγένητος, ἀμερής, ἀνομοιότατος(?), ἡνίοχος παντὸς καλοῦ, ἀδωροδόκητος, ἀγαθῶν ἀγαθώτατος, φρονίμων φρονιμώτατος. ἔστι δὲ καὶ πατὴρ εὐνομίας καὶ δικαιοσύνης, αὐτοδίδακτος, φυσικὸς καὶ τέλειος καὶ σοφὸς καὶ ἱεροῦ φυσικοῦ μόνος εὑρετής’. τὰ δ’αὐτὰ καὶ ’Οστάνης φησὶ περὶ αὐτοῦ ἐν τῆι ἐπιγραφομένηι ’Οκτατεύχωι. (53) πάντες δὲ τὰς ἀφορμὰς ἀπὸ τοῦ Τααύτου λαβόντες ἐφυσιολόγησαν, ὥσπερ πρόκειται. καὶ τὰ μὲν πρῶτα στοιχεῖα τὰ διὰ τῶν ὄφεων ναοὺς κατασκευασάμενοι ἐν ἀδύτοις ἀφιέρωσαν, καὶ τούτοις ἑορτὰς καὶ θυσίας ἐπετέλουν καὶ ὄργια, θεοὺς τοὺς μεγίστους νομίζοντες καὶ ἀρχηγοὺς τῶν ὅλων. τοσαῦτα καὶ περὶ τῶν ὄφεων».

(54) ἀλλὰ γὰρ τὰ μὲν τῆς Φοινίκων θεολογίας τοῦτον περιέχει τὸν τρόπον, ἣν ἀμεταστρεπτὶ φεύγειν .... ὁ σωτήριος εὐαγγελίζεται λόγος. (55) ὅτι δὲ μὴ μῦθοι ταῦτα καὶ ποιητῶν ἀναπλάσματα λανθάνουσάν τινα ἐν ὑπονοίαις ἔχοντα θεωρίαν τυγχάνει, σοφῶν δὲ καὶ παλαιῶν (ὡς ἂν αὐτοὶ φαῖεν) θεολόγων ἀληθεῖς μαρτυρίαι τὰ καὶ ποιητῶν ἁπάντων καὶ λογογράφων πρεσβύτερα περιέχουσαι, τό τε πιστὸν τῶν λόγων ἐπαγόμεναι ἀπὸ τῆς εἰσέτι δεῦρο ἐν ταῖς κατὰ Φοινίκην πόλεσί τε καὶ κώμαις κρατούσης τῶν θεῶν προσηγορίας τε καὶ ἱστορίας τῶν τε παρ’ ἑκάστοις ἐπιτελουμένων μυστηρίων, δῆλον ἂν εἴη ὡς μηκέτι χρῆναι τούτων βιαίους ἀνιχνεύειν φυσιολογίας, σαφῆ τὸν ἐξ αὐτῶν ἔλεγχον ἐπιφερομένων τῶν πραγμάτων. τοιαύτη μὲν οὖν ἡ Φοινίκων θεολογία.

B

5 (7) LYDUS *De mens.* 4, 154 p. 170, 3 Wü: (οἱ δὲ Φοίνι)κες κατὰ τ(ὸν τῆ)ς ὁμωνυμίας (τρόπον εἴτε κατ)ά τινα ἀ(λληγορ)ίαν ἄλλως πως περὶ Κρόνου ἔχου(σιν, ὡς ἐκ τῆ)ς δευτέρας τῶν Φοινικικῶν τοῦ ‘Ερεννίου Φίλωνος (ἔστι λαβεῖ)ν. καὶ βασιλεῦσαι δὲ αὐτὸν ἡ ἱστορία πα(ρα)δίδωσιν, (ὡς ἔμπρο)σθεν ἀφηγησάμην, κ(ατά) τε τὴν Λιβύην (καὶ) Σικελίαν (καὶ τοὺς ἑσπερίους τό)πους, καὶ π(ό)λιν κτίσαι, ὡς ὁ Χάραξ (103 F 32) φησίν, τ(ὴν τότε μὲν λεγ)ομένην

---

2 ἀγεννητος BO 4-5 δικαιοσύνη A 6-10 καὶ ὀστάνης – ἀφιέρωσαν om. B 7 ὀκτατεύχωι A -τέχνω O 8 ἀπὸ τοῦ τααύτου O παρὰ ταυθοῦ A 10 ἀδύτοις A αὐτοῖς GNV (O zerstört) 11 τούς τε B 13-22: Euseb. *P.E.* 2 pr. 1-2 (= Eus²) 14 ἣν ἀμεταστρεπτὶ BO ἧς -τεὶ A 15 τινα BO τὴν A 19 θεῶν BO θείων A 20-22: δῆλον ἂν εἴη ἀπό τε τῆς τῶν λοιπῶν συγγραφέων καὶ δὴ καὶ τῶν νομιζομένων θεολόγων ὁμολογίας, δι’ ἧς ἐμαρτύρησαν τοὺς παλαιοὺς καὶ πρώτους τὰ περὶ θεῶν συστησαμένους μηδὲν εἰς φυσικὰς ἀναφέρειν τροπολογίας μηδ’ ἀλληγορεῖν τοὺς περὶ θεῶν μύθους, ἐπὶ μόνης δὲ τῆς λέξεως φυλάττειν τὰς ἱστορίας Eus² 22 οὖν om. A 24-p. 817, 3: ( ) edd 28-29 (καὶ – τό)πους Wünsch (οἰκίσαι τε τοὺς τό)πους Hase 29 κτίσαι ν κτῆσαι O

Κρονίαν, νῦν δὲ 'Ιερὰν πόλιν, ὡς 'Ισίγονος (περὶ Παλ?)ικῶν θεῶν (IV) καὶ Πολέμων (IV) καὶ Αἰσχύλος ἐν τῆι Αἴτνηι (F 11 N²) π(αραδιδόασιν, καὶ ὡς πᾶσ)α ἡ ἱστορία κατὰ τὸν Εὐήμερον (63 T 4) ποικίλλ(εται) . . . .

OHNE BUCHZAHL (BUCHTITEL)

6 (8) STEPH. BYZ. s.v. Νίσιβις· πόλις ἐν τῆι περαίαι τῆι πρὸς τῶι Τίγρητι ποταμῶι. Φίλων ἐν Φοινικικοῖς Νάσιβις φησὶ διὰ τοῦ ᾱ· Οὐράνιος (675 F 30) δὲ διὰ τοῦ ε̄ Νέσιβις. σημαίνει δέ, ὥς φησι Φίλων, νάσιβις τὰς στήλας· ὁ δὲ Οὐράνιος «νέσιβις» φησί, «σημαίνει τῆι Φοινίκων φωνῆι λίθοι συγκείμενοι, συμφορητοί».

7 (–) LYDUS *De mens.* 4, 53 p. 109, 13 Wü: ὅτι πολλὴ τοῖς θεολόγοις διαφωνὴ περὶ τοῦ παρ' 'Εβραίων τιμωμένου θεοῦ καὶ γέγονε καὶ ἔστιν . . . . . . ὁ μέντοι Πορφύριος ἐν τῶι 'Υπομνήματι τῶν λογίων τὸν δὶς ἐπέκεινα (τουτέστιν τὸν τῶν ὅλων δημιουργόν) τὸν παρὰ 'Ιουδαίων τιμώμενον εἶναι ἀξιοῖ, ὃν ὁ Χαλδαῖος δεύτερον ἀπὸ τοῦ ἅπαξ ἐπέκεινα (τουτέστιν τοῦ ἀγαθοῦ) θεολογεῖ. οἱ μέντοι περὶ 'Ιάμβλιχον καὶ Συριανὸν καὶ Πρόκλον δημιουργὸν αὐτὸν τοῦ αἰσθητοῦ κόσμου νομίζουσιν εἶναι, καλοῦντες αὐτὸν τῆς τετραστοίχου θεόν. ὁ δὲ 'Ρωμαῖος Βάρρων περὶ αὐτοῦ διαλαβών φησ· παρὰ Χαλδαίοις ἐν τοῖς μυστικοῖς αὐτὸν λέγεσθαι 'Ιάω ἀντὶ τοῦ φῶς νοητὸν τῆι Φοινίκων γλώσσηι, ὥς φησιν 'Ερέννιος. καὶ Σαβαὼθ δὲ πολλαχοῦ λέγεται, οἷον ὁ ὑπὲρ τοὺς ἑπτὰ πόλους (τουτέστιν ὁ δημιουργός). πολλαὶ μὲν οὖν οὕτω περὶ αὐτοῦ δόξαι, κρείττους δὲ μᾶλλον οἱ ἄγνωστον αὐτὸν καὶ ἄδηλον θεολογοῦντες. ὅτι δὲ σφάλλονται οἱ Διόνυσον αὐτὸν εἶναι νομίζοντες . . . . ἐξ αὐτῶν ἄν τις τῶν παρ' αὐτοῖς νομίμων λάβοι . . . .

[2. ΠΕΡΙ ΤΩΝ ΦΟΙΝΙΚΩΝ ΣΤΟΙΧΕΙΩΝ]

(F 4)

3. ΕΘΩΘ(Ι)ΩΝ (?) ΥΠΟΜΝΗΜΑΤΑ

8 (9) EUSEB. *P.E.* 1, 10, 48: s. F 4 p. 815, 8 ff.

4. ΠΕΡΙ ΙΟΥΔΑΙΩΝ

(cf. F 1 § 21; F 7)

9 (6) ORIGENES *c. Cels.* 1, 15 p. 67, 21 Koetschau: πόσωι δὲ βελτίων Κέλσου . . . ὁ Πυθαγόρειος Νουμήνιος, ὅστις ἐν τῶι πρώτωι Περὶ τἀγαθοῦ λέγων περὶ τῶν ἐθνῶν ὅσα περὶ τοῦ θεοῦ ὡς ἀσωμάτου διείληφεν, ἐγκατέταξεν αὐτοῖς καὶ 'Ιουδαίους . . . . . λέγεται δὲ καὶ "Ερμιππον (IV) ἐν τῶι πρώτωι Περὶ νομοθετῶν ἱστορηκέναι Πυθαγόραν τὴν ἑαυτοῦ φιλοσοφίαν ἀπὸ 'Ιουδαίων εἰς "Ελληνας ἀγαγεῖν. καὶ 'Εκαταίου δὲ

---

1 (περὶ Παλ)ικῶν M. Mayer (περὶ 'Ελλην)ικῶν Hase 2 καὶ ὡς Wünsch ἢ ὡς v 6 νάσιβες R 7 νέσιβες R 8 νάσιβες R ὁ δὲ P ὡς δὲ RV νέσιβες R 16-19 οἱ χαλδαῖοι τὸν θεὸν ἰαὼ λέγουσιν ἀντὶ – δημιουργός X ὅτι Ηαω (so!) παρὰ Χαλδαίοις ἑρμηνεύεται φῶς νοητὸν τῆι Φοινίκων γλώσσηι Kedren. p. 296, 19 Bonn. 18 ὥς φησιν 'Ερέννιος om. X 24: s. zu p. 815, 9 30 ἐγκατέταξεν: s. Euseb. *P.E.* 9, 7 31-32 λέγεται – ἀγαγεῖν: Joseph. *c. Ap.* 1, 161 ff. (737 F 1)

τοῦ ἱστορικοῦ φέρεται Περὶ Ἰουδαίων βιβλίον (264 T 7c), ἐν ὧι προστίθεται μᾶλλόν πως ὡς σοφῶι τῶι ἔθνει ἐπὶ τοσοῦτον, ὡς καὶ Ἑρέννιον Φίλωνα ἐν τῶι Περὶ Ἰουδαίων συγγράμματι πρῶτον μὲν ἀμφιβάλλειν, εἰ τοῦ ἱστορικοῦ ἐστι τὸ σύγγραμμα, δεύτερον δὲ λέγειν ὅτι εἴπερ ἔστιν αὐτοῦ, εἰκὸς αὐτὸν συνηρπάσθαι ἀπὸ τῆς παρὰ Ἰουδαίοις πιθανότητος, καὶ συγκατατεθεῖσθαι αὐτῶν τῶι λόγωι.

10 (5) Euseb. *P.E.* I, 10, 42: (F 2) ὁ δ' αὐτὸς ἐν τῶι Περὶ Ἰουδαίων συγγράμματι ἔτι καὶ ταῦτα περὶ τοῦ Κρόνου γράφει·
(43) «Τάαυτος, ὃν Αἰγύπτιοι προσαγορεύουσι Θωύθ, σοφίαι διενεγκὼν παρὰ τοῖς Φοίνιξι, πρῶτος τὰ κατὰ τὴν θεοσέβειαν ἐκ τῆς τῶν χυδαίων ἀπειρίας εἰς ἐπιστημονικὴν ἐμπειρίαν διέταξεν, ὧι μετὰ γενεὰς πλείους(?) θεὸς Σουρμουβηλὸς Θουρώ τε ἡ μετονομασθεῖσα Χούσαρθις(?) ἀκολουθήσαντες κεκρυμμένην τοῦ Τααύτου καὶ ἀλληγορίαις ἐπεσκιασμένην τὴν θεολογίαν ἐφώτισαν».
(44) καὶ μετὰ βραχέα φησίν· «ἔθος ἦν – κατέθυσεν» (= F 3b). (Es folgt F 4).

***11** (–) Helladios *Chrestomath.* (Phot. *Bibl.* p. 529 b 27): ὅτι φλυαρεῖ καὶ οὗτος τὸν Μωσῆν Ἄλφα καλεῖσθαι, διότι ἀλφοῖς τὸ σῶμα κατάστικτος ἦν, καὶ καλεῖ τοῦ ψεύδους τὸν Φίλωνα μάρτυρα.

5. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΑΔΡΙΑΝΟΥ

(T 1)

6. ΠΑΡΑΔΟΞΟΣ ΙΣΤΟΡΙΑ Ᾱ – Γ̄

12 (1) Euseb. *P.E.* I, 9, 28: s. F 1 § 28.

13 (10) Suda s.v. Παλαίφατος Ἀβυδηνός· ἱστορικός (44 T 3) .... γέγονε δὲ ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος· παιδικὰ δὲ Ἀριστοτέλους τοῦ φιλοσόφου, ὡς Φίλων ἐν τῶι ει̅ στοιχείωι τοῦ Περὶ παραδόξου ἱστορίας βιβλίου ᾱ καὶ Θεόδωρος ὁ Ἰλιεὺς ἐν δευτέρωι Τρωικῶν (48 F 1).

7. ΠΕΡΙ ΧΡΗΣΤΟΜΑΘΙΑΣ

14 (p. 560) Et. Gen. (Et. M. p. 227, 52; Et. Gud. p. 306, 16 Stef) s.v. γέρανος· ὁ ὄμβρος ὑπὸ Κυρηναίων παρὰ τὸ τὴν γῆν ῥαίνειν· οὕτως Ἑρέννιος Φίλων ἐν τῶι Περὶ χρηστομαθίας· φησὶ δὲ τὴν δευτέραν δασύνεσθαι.

---

6 αὐτῶν Bohéreau αὐτῶι O   7-8 ὁ δ' – γράφει om. B   8 ἔτι καὶ ταῦτα: s. F 1 § 21?   9-15: cf. F 1 § 24/6   9 τάαυτος BO ταυθός A   προσαγ. θωυθ̅ A θὼθ πρ. BO   11 τῶν om. B   12 ὧι BO ὡς A   πλείους A πλείστας B²O πλείστους B¹   13 χούσαρθις BO εὔσαρθις A   25-28 om. AF (V fehlt)   27-28 [ἐν τῶι ει̅ στοιχείωι] Kuester ἐν τῶι * στοιχείωι τοῦ [περὶ π. ἱ.] ᾱ βιβλίου Bernhardy   27 ει GM ε S ν ῡ Eudok; s. Rohde *Kl. Schr.* I p. 365 n. 2   στοιχείωι: στίχωι He, Nauck   28 βιβλίου Eudok βιβλίον GMS

8. ΠΕΡΙ ΠΟΛΕΩΝ ΚΑΙ ΟΥΣ ΕΚΑΣΤΗ ΑΥΤΩΝ ΕΝΔΟΞΟΥΣ ΗΝΕΓΚΕΝ Α̅-Λ̅ (T1; 4)

15 (16) STEPH. BYZ. s.v. Ἀμισός· .... ἐν τῶι Πόντωι ... <τὸ ἐθνικόν> Ἀμισηνός. λέγεται καὶ Ἀμίσιος, ὡς Φίλων ἐν τῶι Περὶ πόλεων.

16 (14) STEPH. BYZ. s.v. Ἀνδανία· πόλις Μεσσήνης ὁμώνυμος τῆι χώραι· οὕτω γὰρ καὶ ἡ Μεσσήνη Ἀνδανία ἐκαλεῖτο, ἣν οἰκίσαι φασί τινας τῶν μετὰ Κρεσφόντου, καὶ οὕτω καλέσαι διὰ τὸ μὴ ἀνδάνειν αὐτοῖς. τὸ ἐθνικὸν Ἀνδανιεύς, ὡς Φίλων ἐν τῆι Περὶ πόλεων. ἐκ ταύτης Ἀριστομένης ἐγένετο, ἐπιφανέστατος στρατηγός ..... λέγεται δὲ καὶ Ἀνδάνιος ὡς Ῥιανός (265 F 46).

17 (18a) ET. GEN. (ET. M. p. 149, 50) s.v. Ἀρσινόη· πόλις ἐν Συρίαι ἐπὶ βουνῶι κειμένη· ἐπὶ δὲ τοῦ βουνοῦ πηγὰς ἐξερεύγεσθαι πλείονας, καὶ ποταμοὺς γίνεσθαι μεγάλους, ἀφ' ὧν ἡ πόλις ὠνόμασται· ἄρσαι γὰρ τὸ ποτίσαι, ἀφ' οὗ καὶ ἄρσην ὁ τὴν γυναῖκα ποτίζων ἐν τῆι σπορᾶι. οὕτως Σερῆνος ἐν τῆι Ἐπιτομῆι τῶν Φίλωνος.

18 (18b) ET. GEN. (ET. M. p. 207, 42) s.v. Βουκεραίς· κρήνη ἐν Πλαταιαῖς, ἥτις ὠνομάσθη ὅτι Πόλυβος ἐξ Ἄργους ἐπέκτισεν Πλαταιὰς μετὰ τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμόν, βοὸς αὐτοῦ ἡγουμένης κατὰ χρησμόν, ὥς ποτε Κάδμου, ἣν ἐκεῖσε κατακλιθεῖσαν τῶι κέρατι πατάξαι τὴν γῆν· καὶ κρήνην ἀναφανῆναι, ἣν ἀπὸ τοῦ κέρατος τῆς βοὸς Βουκεραίδα καλεῖσθαι. οὕτως Θέων ἐν τῶι ὑπομνήματι τοῦ α̅ Αἰτίων Καλλιμάχου (F 42 Pf). οὕτω καὶ Σερῆνος ἐν τῆι Ἐπιτομῆι τῶν Φίλωνος Περὶ πόλεων, Πολύιδον λέγων τὸν λαβόντα τὸν χρησμόν.

OHNE BUCHTITEL

19 (12) STEPH. BYZ. s.v. Ἀγάθη· πόλις Λιγύων ἢ Κελτῶν· Σκύμνος (206 ff.) δὲ Φωκαέων αὐτήν φησιν ἐν τῆι Εὐρώπηι ..... ἔστι δὲ καὶ ἄλλη πόλις, ὡς Φίλων, Λ<ιγ>υστίων ἐπὶ λίμνης Λ<ιγ>υστίας· τάχα δὲ ἡ αὐτή ἐστι τῆι πρώτηι, ὡς Εὔδοξος (V)· βαρύνεται δέ. τὸ ἐθνικὸν Ἀγαθῖνος ....

20 (14) STEPH. BYZ. s.v. Ἀζανία· μέρος τῆς Ἀρκαδίας ..... καὶ ἔχει ἡ Ἀζανία πόλεις ιζ̅, ἃς ἔλαχεν Ἀζήν. ἔστι καὶ Μασσαλίας(?) ἄλλη, ὡς Φίλων.

3-4 <τὸ ἐθν.> Berkel 4 ἀμῆνός R^1 ἀμισίσιος V 5 μεσήνης o 6 οἰκίσαι PR^c -ῖσαι V -ῆσαι R^{ac} 7 αὐτοῖς P αὐτούς RV 19 ὥς B καὶ A τῶι κέρατι Et. M. τῆς κέρατος AB 21 τοῖς ὑπομνήμασι (ὑπομνήσεως DM) Et. M. Αἰτίων Syl αἰτίου o 21-23 οὕτω – χρησμόν om. B 25 Λιγύων ἢ ν λιγυώνη RVP 27 Λιγυστίων Xyl λυστίων o Λιγυστίνων Holste ἐπὶ Schubart ἀπὸ o Λιγυστίας Xyl λυστίας o 28 Εὔδοξος Xyl εὐδόξιος o βαρύνεται τὸ (om. δὲ) V 30 μασαλίας P Αἰθιοπίας Berkel Ἀζανία Ἀραβίας o. Λιβύης o.ä. (Peripl. M. Er. 15 ff.; Ptolem. 1, 17, 5)?

21 (14) Steph. Byz. s.v. Ἀθῆναι· πόλεις κατὰ μὲν Ὧρον ε̄, κατὰ δὲ Φίλωνα ς̄.

22 (16) Steph. Byz. s.v. Αἴγειρα· πόλις Ἀχαΐας...... Φίλων δέ φησι Κιλικίας πόλιν εἶναι Αἴγειραν.

23 (16) Steph. Byz. s.v. Ἁλικαρνασσός· πόλις Καρίας...... ἐκαλεῖτο δὲ Ἰσθμὸς καὶ Ζεφύριον, ὡς Φίλων, καὶ Ζεφυρία.

***24** (–) Steph. Byz. s.v. Ἀλόπη· πόλις Θεσσαλίας, ἀπὸ Ἀλόπης τῆς Κερκυόνος, ὡς Φερεκύδης (3 F 147), ἢ τῆς Ἄκτορος, ὡς Φίλων· ἔστι δὲ μεταξὺ Λαρίσσης τῆς Κρεμαστῆς καὶ Ἐχίνου. β̄ ἔστι καὶ τῆς Ἀττικῆς Ἀλόπη· γ̄ Ποντου, ἀφ' ἧς Πενθεσίλεια· δ̄ περὶ Εὔβοιαν· ε̄ περὶ Δελφούς· ς̄ περὶ Λοκρίδα.

25 (14) Steph. Byz. s.v. Ἄνθεια· πόλις Πελοποννήσου πλησίον Ἄργους, ὡς Φίλων. τὸ ἐθνικὸν Ἀνθεύς. ἔστιν Ἄνθεια καὶ τοῦ Πόντου πόλις πρὸς τῆι Θράικηι... ἧς μέμνηνται πολλοὶ καὶ Φιλέας (V). ἔστι καὶ κώμη Λιβύης. ἔστι καὶ Ἰταλίας Ῥώμης πλησίον, ἥτις καὶ Ἄντιον μετωνομάσθη, ὡς εἰρήσεται.

26 (16) Steph. Byz. s.v. Ἄντισσα· πόλις Λέσβου ἐφεξῆς τῶι Σιγρίωι, ἀφ' ἧς Τέρπανδρος ὁ Ἀντισσαῖος, διασημότατος κιθαρωιδός· ἀπὸ Ἀντίσσης τῆς Μάκαρος θυγατρὸς ἐν τοῖς Φίλωνος. ἔστι καὶ νῆσος μία τῶν Κυκλάδων· καὶ γ̄ Ἰνδικῆς, ἣν ἀναγράφει Φίλων καὶ Δημοδάμας ὁ Μιλήσιος (428 F 3).

27 (15) Steph. Byz. s.v. Ἄργουρα· πόλις Θεσσαλίας ἡ πρότερον Ἄργισσα. ἔστι καὶ τόπος τῆς Εὐβοίας Ἄργουρα, ὅπου δοκεῖ τὸν Πανόπτην Ἑρμῆς πεφονευκέναι. τὸ ἐθνικὸν ἔδει Ἀργουραῖος, ὡς καὶ Φίλων· Ἀπολλόδωρος (244 F 154) δέ φησιν... Ἀργείους ὀνομάζεσθαι....

28 (13) Steph. Byz. s.v. Ἀρτέμιτα· νῆσος Τυρρηνικὴ παρὰ τὴν <Αἰ>θάλειαν νῆσον, ὡς Φίλων.

29 (18) Steph. Byz. s.v. Ἀσπίς· πόλις Λιβύης, ὡς Φίλων.

30 (17) Steph. Byz. s.v. Βαβυλών· Περσικὴ πόλις, μητρόπολις, Σελεύκεια καλουμένη. κτίσμα Βαβυλῶνος, ἀνδρὸς σοφωτάτου, παιδὸς Βήλου, παλαίτατον, οὐχ ὡς Ἡρόδοτος (1, 184?) ὑπὸ Σεμιράμιδος· ταύτης γὰρ ἦν ἀρχαιοτέρα ἔτεσι α̅β̅, ὡς Ἑρέννιος. ἔστι καὶ ἐν Αἰγύπτωι πόλις. Φοιν.?

---

3 φίλην V 4 <καὶ> Κιλικίας? Mei πόλις P εἶναι R εἶπεν VP ἄλγειραν P 6 ζεφύριον RV ζεφύρια P ζεφυρία RP -ρίων V 8 Φίλων Mei φιλωνίδης ο 9 ἔστι τῆς R Ἀττικῆς: Hesych. s.v. Ἀλόπη ἐν Ἄργει καὶ κρήνη ἐν Ἐλευσῖνι, ἥτις Φιλότης ἐκαλεῖτο 10 πενθεσίλεια P πενθεσίλεια RV 12 ἄνθα V 14 φιλήας V 20 καὶ γ̄ RP ς̅γ̅ V 23 ἀργούρουρα P 24 ἑρμῆν V δὲ ἔδει R VP 26 ἀρτέμιτα V ἀρτέμήτα (so) R ἀρτεμίτα(?) P 29-30 Σελεύκεια v σελευκ' R σελευκία VP 30 Βήλου (Pal?) Salm μήδου ο Eust. Dion. Per. 1005 31 ὡς om. V 32 α̅β̅ ο χιλίοις ὀκτακοσίοις Eust Ἑρέννιος v ἑρρένιος RP ἑρένιος V

31 (16) Steph. Byz. s.v. Βόσπορος· πόλις Πόντου κατὰ τὸν Κιμμέριον Φοιν.?
κόλπον, ὡς Φίλων, καὶ πορθμὸς ὁμώνυμος ἀπὸ Ἰοῦς <τῆς Ἰνάχου> καλούμενος, <καθὼς> Αἰσχύλος ἐν Προμηθεῖ δεσμώτηι (732/4) <γράφει>.

32 (15) Steph. Byz. s.v. Βουθόη· πόλις Ἰλλυρίδος, ὡς Φίλων, Φοιν.?
διὰ τὸ Κάδμον ἐπὶ ζεύγους βοῶν ὀχούμενον ταχέως ἀνύσαι τὴν ἐς Ἰλλυριοὺς ὁδόν· οἱ δὲ τὸν Κάδμον ἀπὸ τῆς Αἰγυπτίας Βουτοῦς ὀνομάσαι αὐτήν, καὶ παραφθαρεῖσαν καλεῖσθαι Βουθόην.

33 (14) Steph. Byz. s.v. Βοῦρα· πόλις Ἀχαίας· θηλυκῶς· ἀπὸ Βούρας θυγατρὸς Ἴωνος τοῦ Ξούθου καὶ Ἑλίκης. τὸ ἐθνικὸν Βουραῖος· Λυκόφρων (*Al.* 591) «Δύμη τε Βουραίοισιν ἡγεμὼν στόλου». ἐκ ταύτης ἦν Πυθέας ζωγράφος, οὗ ἐστιν ἔργον ὁ ἐν Περγάμωι ἐλέφας, ἀπὸ τοιχογραφίας ὤν, ὡς Φίλων.

34 (17) Steph. Byz. s.v. Γέρασα· πόλις τῆς Κοίλης Συρίας τῆς δεκαπόλεως. ἐξ αὐτῆς Ἀρίστων ῥήτωρ ἀστεῖός ἐστιν, ὡς Φίλων, καὶ Κήρυκος σοφιστὴς καὶ Πλάτων νομικὸς ῥήτωρ, πᾶσαν παίδευσιν ὡς μίαν ἀποστοματίζων καὶ ἐν συνηγορίαις καὶ παρεδρευταῖς καὶ θρόνοις τὴν ὀρθότητα τῶν νόμων ἐπιτηδεύων.

35 (15) Steph. Byz. (plen.) s.v. Δυρράχιον· πόλις Ἰλλυρική, Ἐπίδαμνος κληθεῖσα ἀπὸ Ἐπιδάμνου. τούτου θυγάτηρ Μέλισσα, ἧς καὶ Ποσειδῶνος Δυρράχιος· ἀφ' ἧς ἐστιν ἐν Ἐπιδάμνωι τόπος Μελισσώνιος, ἔνθα Ποσειδῶν αὐτῆι συνῆλθεν, <ὡς Φίλων. Στράβων δ' ἐν ζ̄ (5, 8) φησί>· «μετὰ δὲ τὸν Ῥιζονικὸν <κόλπον> Λίσσος ἐστὶ πόλις καὶ Ἀκρόλισσος καὶ Ἐπίδαμνος, Κερκυραίων κτίσμα, ἡ νῦν Δυρράχιον ὁμωνύμως τῆι χερρονήσωι [πρότερον] λεγομένη, ἐφ' ἧς ἵδρυται, [ὡς Φίλων]. F 53.

36 (13) Steph. Byz. s.v. Ἔγεστα· πόλις Σικελίας, ἔνθα θερμὰ ὕδατα, ὡς Φίλων. ἀπὸ Ἐγέστου τοῦ Τρωός.

37 (17) Steph. Byz. s.v. Ἐλαία (Schol. Eust. Dion. Per. 910)· Φοιν.?
.....ἔστι καὶ πόλις Φοινίκης Ἐλαία μεταξὺ Τύρου καὶ Σιδῶνος, ὡς Φίλων.....

2 ὡς Φίλων om. Const. Porph. *De them.* 2, 12 2-3 < > aus Const 3 δεσμώτηι P δεσπότηι RV om. Const 4 βουθόην P Ἰλλυρίδος Xyl -ιάδος o 6 βουτούς RP om. V 8-9 θηλυκῶς – Ἑλίκης om. P 9 ξούθου R ξάνθου V 10 Δύμης Lyk ἡγεμήν RV στόλου: στρατοῦ Lyk 13-14 δεκαπόλεως (Plin. *N.H.* 5, 74; 77) Salm τεσσαρεσκαιδεκαπόλεως o 14 ἀστεῖος ὡς P 16-17 παρεδρίαις Berkel 18-19 καὶ Ἐπίδαμνος Const. Porph. *De them.* 2, 9 19 ὑπὸ Ἐπιδάμνου τοῦ ἀρχαίου ἥρωος Const 19-20 ποσειδῶνος S τὸ ποσ. RVP τοῦ Ποσειδῶνος Xyl 20 δυρράχιος S(P?) ὁ δυρράχιος Const δυρραχὶς(?) RV(cp.) 21-24 <ὡς Φίλων. Στράβων δ' ἐν η̄ (so!) φησί> – [ὡς Φίλων] Mei 22 <κόλπον> Strab 23 [πρότερον] (om. Strab) v 24 ὡς Στράβων? Mue 26 αἰγέστου τοῦ τρῶος RV 28 φοινίκη Schol Ἐλαία o Schol Ἐλαΐς Dion. Per. 910, Eust (οὕτω λέγεται διὰ τὸ ἐλαιοφόρος εἶναι)

38 (17) STEPH. BYZ. s.v. Ἰόπη· πόλις Φοινίκης πλησίον Ἰαμνίας, ὡς Φίλων· ὡς δὲ Διονύσιος (*Per.* 910) Παλαιστίνης· Φοινίκη γὰρ καὶ ἡ Παλαιστίνη. ἐκλήθη δὲ ἀπὸ Ἰόπης τῆς Αἰόλου θυγατρός, τῆς γυναικὸς Κηφέως τοῦ κτίσαντος καὶ βασιλεύσαντος – τοῦ καταστερισθέντος, οὗ ἐστι γυνὴ Κασσιέπεια· οἱ Ἕλληνες κακῶς φασιν –, ἀφ' οὗ Κηφῆνες οἱ Αἰθίοπες. ἔστι καὶ Θεσσαλίας ἄλλη. Φοιν.?

39 (14) STEPH. BYZ. s.v. Κῦνος· ἐπίνειον Ὀποῦντος, ὡς Φίλων καὶ Παυσανίας (10, 1, 2)· Ἑκαταῖος (1 F 131) δὲ πόλιν αὐτήν φησιν.

40 (14) STEPH. BYZ. s.v. Λάμπη· πόλις Κρήτης..... καὶ γ̄ τῆς Ἀργολίδος, ὡς Φίλων.

41 (17) STEPH. BYZ. s.v. Λαοδίκεια· πόλις τῆς Συρίας, ἡ πρότερον Λευκὴ ἀκτὴ λεγομένη καὶ πρὸ τούτου Ῥάμιθα· κεραυνωθείς γάρ τις(?) ἐν αὐτῆι ποιμὴν ἔλεγε 'ῥαμάνθας', τουτέστιν ἀφ' ὕψους ὁ θεός· ῥάμαν γὰρ τὸ ὕψος, ἄθας δὲ ὁ θεός. οὕτως Φίλων. Φοιν.?

42 (17) STEPH. BYZ. s.v. Μαρσύα· πόλις Φοινίκης, ὡς Ἀλέξανδρος (273 F 128) καὶ Φίλων, ἀπὸ † Μαρσοῦ. Φοιν.?

43 (11) STEPH. BYZ. s.v. Μεγάλη πόλις· .....ἔστι καὶ Ἰβηρίας Μεγάλη πόλις, ὡς Φίλων.

44 (–) STEPH. BYZ. s.v. Μεθύδριον· πόλις Ἀρκαδίας ....ἔστι καὶ ἑτέρα πόλις Θεσσαλίας, ὡς Φίλων.

45 (15) STEPH. BYZ. s.v. Μελίταια· πόλις Θεσσαλίας· Ἀλέξανδρος Ἀσίαι (V)· Θεόπομπος (115 F 373) δὲ Μελίτειαν αὐτήν φησιν. ὁ πολίτης Μελιταιεύς. Ἔφορος λ̄ (70 F 95)· 'οἱ δὲ τύραννοι τῶν Φερῶν καὶ Μελιταιεῖς φίλοι πρότερον ὑπάρχοντες'.

Μελίτεια· Φίλων οὕτω γράφει, τὰ αὐτὰ πράγματα τῆι εἰρημένηι προσάπτων. τὸ ἐθνικὸν Μελιτεύς(?). Φοιν.?

Μελίτη· νῆσος μεταξὺ Ἠπείρου καὶ Ἰταλίας, ὅθεν τὰ κυνίδια Μελιταῖά

1-6: s. Komm. 1-2 Ἰαμνίας: aus Ph. auch s.v. Ἰάμνια· πολίχνιον Φοινίκης – Στράβων (16, 2, 28) δὲ κώμην φησίν – ἀπὸ Ἰάμνου ἢ ὅτι ἰάμνους ἐκάλουν τοὺς καθύγρους καὶ τεθηλότας τόπους? 3 ἀπὸ τῆς Ἰοῦς ἢ ἀπὸ Ἰόπης Eust. Dion. Per. 910 11 Λαοδίκεια πόλις om. V τῆς om. R 12 ῥάμιθαι V ῥάμαθα Eust. Dion. Per. 915 12-13 γὰρ τούτις R (ι in ras.) γάρ πού τις? Mei (korrupter) eigenname? 13 ἐν αὐτῆι om. P(V?) ποιμὴν VP Eust om. R ἔλεγε: ἀνεβόα Eust ῥαμανάθας Salm 14 ῥάμαν (lac. ind.) om. V γὰρ παρ' ἐγχωρίοις Eust ἄθας RVP ἀθάν Eust ἄνθας Bochart 15 μαρσία R 16 μαρσοῦ RV μάρσου P Μαρσύου Berkel; s. Honigmann *RE* XIV col. 1986, 6 ff. 17 ἰβιρίας P 19 ἔστι δὲ καὶ P 20 Θεσσαλίας om. P(?) φίλων ο Φιλόξενος Ald 21-p. 823, 2: drei artikel (o); verwirrt 21 Μελίταια Mei μελιτταία ο Μελιταίά Berkel 22 Ἀσίαι: Εὐρώπηι? Mei 23 μελιταεῖς PR[c](?) μελιτταεῖς V 25-26 Μελίτεια – Μελιτεύς gehören zu 27-823, 1 (hinter Καρχηδονίων); mit 21-24 verbanden Berkel, Mei, Mue 27 Ἰταλίας. <ἔστι καὶ ἄλλη πλησίον Σικελίας>, ὅθεν Holste

φασιν. ὁ οἰκήτωρ Μελιταῖος. ἔστι καὶ πόλις ἄποικος Καρχηδονίων· καὶ δῆμος Οἰνηίδος φυλῆς. ὁ δημότης Μελιτεύς.

46 (16) STEPH. BYZ. s.v. Μυοῦς· πόλις Ἰωνίας, ὡς **Φίλων** καὶ Ἀπολλόδωρος ἐν ᾱ Χρονικῶν (244 F 1).

47 (16) STEPH. BYZ. s.v. Ὀλβία· πόλις Λιγυστική .... β̄ πόλις ἐν Πόντωι· γ̄ Βιθυνίας ἀπὸ Ὀλβίας νύμφης· δ̄ Παμφυλίας, ὡς **Φίλων** – οὐκ ἔστι δὲ Παμφυλίας ἀλλὰ τῆς τῶν Σολύμων γῆς καὶ οὐδὲ Ὀλβία ἀλλὰ Ὄλβα καλεῖται, καὶ οἱ πολῖται Ὀλβαῖοι καὶ Ὄλβιος καὶ Ὀλβία –· ε̄ Ἰβηρίας· ς̄ Σαρδοῦς· ζ̄ Ἰλλυρίδος· η̄ Ἑλλησπόντου· θ̄ Κιλικίας.

48 (16) STEPH. BYZ. s.v. Τελμησσός· πόλις Καρίας· ὡς δὲ **Φίλων** καὶ Στράβων (14, 3, 4) Λυκίας. ἔστι γὰρ ἀμφοτέρων ὅριον μετὰ Δαίδαλα.

49 (16) STEPH. BYZ. s.v. Τίος· πόλις Παφλαγονίας τοῦ Πόντου· ἀπὸ Τίου ἱερέως τὸ γένος Μιλησίου, ὡς **Φίλων**. Δημοσθένης δὲ ἐν Βιθυνιακοῖς (699 F 9) φησι κτίστην τῆς πόλεως γενέσθαι Πάταρον ἑλόντα Παφλαγονίαν, καὶ ἐκ τοῦ τιμᾶν τὸν Δία Τίον προσαγορεῦσαι.

50 (14) STEPH. BYZ. s.v. Φαραί· πόλις Μεσσήνης, ὅθεν ἦσαν οἱ Ἀφαρητιάδαι ..... εἰσὶ καὶ Φαραὶ Βοιωτίας ... ἔστι δ' ἄλλη Κρήτης, ἄποικος τῆς ἐν Μεσσήνηι, ὡς **Φίλων**.

51 (–) SUDA s.v. Φιλιστίων· Προυσαεὺς ἤ, ὡς **Φίλων**, Σαρδιανός· κωμικός.

9. ΠΕΡΙ ΚΤΗΣΕΩΣ ΚΑΙ ΕΚΛΟΓΗΣ ΒΙΒΛΙΩΝ Ā-ĪB̄.

(T 1; F 54? 55?)

Θ̄ (ΙΑΤΡΟΙ)

52 (19) **a)** STEPH. BYZ. s.v. Κύρτος· πόλις Αἰγύπτου ἐν τῶι μεσογείωι. ἐκ ταύτης Διονύσιος ἦν διάσημος ἰατρός, ἀπὸ τῆς πατρίδος, οὐκ ἀπὸ τοῦ σώματος Κυρτὸς ὀνομαζόμενος, οὗ μέμνηται Ἑρέννιος **Φίλων** ἐν τῶι Περὶ ἰατρῶν. ὁ τόνος τοῦ μὲν ἐθνικοῦ ὀξύς, ὁμόφωνος τῶι πάθει, τοῦ δὲ κυρίου τῆς πόλεως βαρύς, ὡς τὸ κόντος (?) καὶ πόντος. **b)** SCHOL. OREIBASIOS III p. 132 Raeder: οἱ περὶ Διονύσιον τὸν Κυρτόν] ὁ **Φίλων** ἐν τῶι θ̄ Περὶ βιβλιοθήκης κτήσεως καὶ Ἕρμιππος (IV) ἐν τῶι ε̄ Περὶ τῶν διὰ παιδείαν σεμνηθέντων ἐνδόξων ἀνδρῶν ἰατρῶν καὶ ὁ Σωρανὸς ἐν ταῖς τῶν

---

1 καὶ πόλις del. R[1] ἔστι <καὶ ἄλλη νῆσος> καὶ πόλις Klüwer 6 φίλων o Φιλόξενος Ald 7-8 ἀλλὰ – Ὀλβία om. V 10 Τελμησσός v -μισσός o 10-11 καὶ Στράβων Xyl, v ἢ Στ. o 11 ἀμφοτέρων Xyl ἀμφότερα o (?) 13 (18) φι^λ P 16 (18) μεσήνης o 16-17 Ἀφαρητιάδαι Xyl ἀφαριτιάδαι P φαριτιᾶδαι R φαρητιάδαι V 26 ἐρέννιος R ἐρρέννιος V[c] ἐρρένιος P 27 ἰατρικῶν P ἐθνικοῦ Salm ἐνικοῦ o(?) 28 πόντος καὶ κόντος P κόστος? Mei 30 κτήσεως o κτίσεως Schol Ἕρμιππος v ἕρμηπος Hs 31 παιδίαν Hs ἐνδόξων v εὐδόξων Hs [ἰατρῶν]?

Ἰατρῶν Διαδοχαῖς φασιν, ὅτι καὶ ὀξυτόνως εἴρηται κυρτὸς ὡς φοξὸς διὰ σωματικὴν ἀσθένειαν, βαρυτόνως δὲ ὡς ἵππος, πύργος, ἐπεὶ ἐκ μεσογαίου πόλεως τῆς Αἰγύπτου λεγομένης Κύρτου ὑπῆρχεν· ἢ ὥς φασί τινες, διὰ τὸ ἁλίσκεσθαι τοὺς ἀντιλέγοντας <ὑπ'> αὐτοῦ ὥσπερ τοὺς ἰχθῦς ὑπὸ τῶν ἁλιευτικῶν κύρτων.

53 (20) STEPH. BYZ. (plen.) s.v. Δυρράχιον· . . . . . ὅμως δὲ νῦν Δυρραχηνοὶ λέγονται· οὕτω γὰρ καὶ Βάλαγρος ἐν Μακεδονικοῖς (773 F 2) φησι. . . . καὶ Ἑρέννιος Φίλων ἐν τοῖς Ἰατροῖς Δυρραχηνὸν ἀναγράφει Φιλωνίδην οὕτως· «Ἀσκληπιάδης ἀκουστὰς ἔσχε Τῖτον Αὐφίδιον Σικελὸν καὶ Φιλωνίδην Δυρραχηνὸν καὶ Νίκωνα Ἀκραγαντῖνον». καὶ πάλιν· «Φιλωνίδης δὲ ὁ Δυρραχηνὸς ἤκουσε μὲν Ἀσκληπιάδου, ἰατρεύσας δὲ ἐν τῆι πατρίδι ἐνδόξως συνετάξατο βιβλία $\overline{\mu\epsilon}$».

10. VERSCHIEDENES

54 (–) SUDA s.v. Φίλων Βύβλιος: s. T 1 p. 802, 21.

55 (p. 560 **) LYDUS *De magistr.* 1, 12 p. 17, 6 Wü: ἐν γὰρ ταῖς Εἰκόσι Τερέντιος ὁ ἐπίκλην Βάρρων – τὸ δὲ Βάρρωνος ἐπώνυμον τὸν ἀνδρεῖον κατὰ τὴν Κελτῶν φωνήν, κατὰ δὲ Φοίνικας τὸν Ἰουδαῖον σημαίνει, ὡς Ἑρέννιός φησιν – . . . .

56 (15a) EUSTATH. Dion. Per. 752: ὅτι Φροῦροι Σκυθικὸν ἔθνος βαρυτόνως πρὸς ἀντιδιαστολὴν τοῦ φρουροί, ὅπερ ὀξυνόμενον δηλοῖ τοὺς φύλακας· τινὲς δὲ Φρῦνοι γράφουσιν ὁμωνύμως τῶι ζώιωι· φρῦνοι γάρ, καθὰ καὶ ὁ Φίλων γράφει, οἱ βάτραχοι.

57 (–) EUSTATH. Hom. *Il.* Λ 430 p. 855, 4: αἶνος καὶ παροιμία διαφέρουσιν, καθὸ ὁ μὲν αἶνος λόγος ἐστὶ μυθικὸς ἐκφερόμενος ἀπὸ ἀλόγων ζώιων ἢ φυτῶν πρὸς ἀνθρώπων παραίνεσιν, ὥς φησι Λούκιλλος ὁ Ταρραῖος (IV) ἐν πρώτωι Παροιμιῶν· ἀπὸ μὲν ἀλόγων, ὡς παρὰ Ἀρχιλόχωι (F 89 D) . . . καὶ Ἡσίοδος (*Opp.* 202) . . .· ἀπὸ δὲ φυτῶν ὡς παρὰ Καλλιμάχωι (F 194, 6 Pf) . . . . καὶ ἔστιν ὁ αἶνος ἐξηπλωμένη παροιμία. καὶ οὕτω μὲν καὶ τοῦτο κατεστρωμένον οὕτω ῥητῶς ἐν τοῖς Ἑρεννίου Φίλωνος.

791. ZENON VON SIDON

s. III i

T

1 (III 174) SUDA s.v. Ζήνων Μουσαίου· Σιδώνιος· φιλόσοφος Στωικός.

---

4 <ὑπ'> Daremberg(?)   8 ἑρέννιος S[c]VP ἐρρ- R(?)   ἰατροῖς SRVP Ἰατρικοῖς v   12 ἐνδόξως S[c] εὐδόξως RVP   17-19: *De magistr.* 1, 23 p. 27, 1 Wü (ohne autornamen)   19 Ἑρέννιος Fuss ερέννιοι (so!) O   24-29 (παροιμία): Ammon. *De diff. voc.* p. 9 ff.

μαθητὴς Διοδώρου τοῦ κληθέντος Κρόνου, † διδάσκαλος δὲ καὶ αὐτὸς Ζήνωνος τοῦ Κιτιέως. ἔγραψεν Ἀστρολογίαν ὑπὲρ Σωκράτους καὶ Σιδωνιακά.

F

ΣΙΔΩΝΙΑΚΑ

—

—. TEUKROS VON KYZIKOS c. 100/50^{a}

ΠΕΡΙ ΤΥΡΟΥ Α̅-Ε̅

274 T 1.

792. ASPASIOS VON BYBLOS s. II 1^{p}

T

1 (III 576) Suda s.v. Ἀσπάσιος Βύβλιος· σοφιστής, συγχρονῶν Ἀριστείδηι καὶ Ἀδριανῶι. ἔγραψε Περὶ Βύβλου· Περὶ στάσεων ἐσχηματισμένων· Μελέτας· Τέχνας· Ὑπομνήματα· Λαλιάς· Ἐγκώμιον εἰς Ἀδριανὸν τὸν βασιλέα καὶ εἰς ἄλλους τινάς.

F

ΠΕΡΙ ΒΥΒΛΟΥ. ΥΠΟΜΝΗΜΑΤΑ

—

793. ASPASIOS VON TYROS

T

***1** (III 576) Suda s.v. Ἀσπάσιος Τύριος· σοφιστὴς ἱστορικός. ἔγραψε Περὶ Τύρου καὶ τῶν ἐν αὐτῆι· Ἱστορίαν σύμμικτον ἐν βιβλίοις κ̅· Περὶ τέχνης ῥητορικῆς· καὶ ἄλλα.

F

ΠΕΡΙ ΤΥΡΟΥ ΚΑΙ ΤΩΝ ΕΝ ΑΥΤΗΙ. ΙΣΤΟΡΙΑ ΣΥΜΜΙΚΤΟΣ Α̅-Κ̅

—

794. ANHANG

F

1 a) Polyb. 12, 28a, 3: αὐτὸς (Timaios 566 F 7) γοῦν τηλικαύτην ὑπομεμένηκε δαπάνην καὶ κακοπάθειαν τοῦ συναγαγεῖν τὰ παρὰ Τυρίων

1 διδάσκαλος: verwechselung mit μαθητής (Diog. Laert. 7, 36; Ind. Stoic. Herc. 11); s. Komm. αὐτὸς: αὐτοῦ Volkmann 11-12 Βύβλιος – Βύβλου v βίβλιος – βίβλου o 21 Τύρου Mue ἠπείρου o αὐτῆι· Ἱστορίαν dist. Mue 29 παρὰ τυρίων M ('mihi certum' Boissevain)

ὑπομνήματα. **b)** JOSEPH. *A.J.* 9, 283: Μένανδρος (783 T 3) ὁ τῶ- χρονικῶν ποιησάμενος τὴν ἀναγραφὴν καὶ τὰ τῶν Τυρίων ἀρχεῖα μεταφράσας εἰς τὴν Ἑλληνικὴν γλῶτταν. **c)** JOSEPH. *c.Ap.* 1, 106: βούλομαι τοίνυν ἀπὸ τούτων (*scil.* τῶν Αἰγυπτίων) ἤδη μετελθεῖν ἐπὶ τὰ παρὰ τοῖς Φοίνιξιν ἀναγεγραμμένα περὶ τοῦ γένους ἡμῶν καὶ τὰς ἐξ ἐκείνων μαρτυρίας παρασχεῖν. (107) ἔστι τοίνυν παρὰ Τυρίοις ἀπὸ παμπόλλων ἐτῶν γράμματα δημοσίαι γεγραμμένα καὶ πεφυλαγμένα λίαν ἐπιμελῶς περὶ τῶν παρ' αὐτοῖς γενομένων καὶ πρὸς ἄλλους πραχθέντων μνήμης ἀξίων. (108) ἐν οἷς γέγραπται ὅτι ὁ ἐν Ἱεροσολύμοις ᾠκοδομήθη ναὸς ὑπὸ Σολομῶνος τοῦ βασιλέως ἔτεσι θᾶττον ρμγ καὶ μησὶν ὀκτὼ τοῦ κτίσαι Τυρίους Καρχηδόνα. (109) ἀνεγράφη δὲ παρ' ἐκείνοις οὐκ ἀλόγως ἡ τοῦ ναοῦ κατασκευὴ τοῦ παρ' ἡμῖν· Εἴρωμος γὰρ ὁ τῶν Τυρίων βασιλεὺς φίλος ἦν τοῦ βασιλέως ἡμῶν Σολομῶνος, πατρικὴν πρὸς αὐτὸν φιλίαν διαδεδεγμένος. (110) οὗτος οὖν συμφιλοτιμούμενος εἰς τὴν τοῦ κατασκευάσματος τῶι Σολομῶνι λαμπρότητα χρυσίου μὲν εἴκοσι καὶ ἑκατὸν ἔδωκε τάλαντα, τεμὼν δὲ καλλίστην ὕλην ἐκ τοῦ ὄρους, ὃ καλεῖται Λίβανος, εἰς τὸν ὄροφον ἀπέστειλεν· ἀντεδωρήσατο δὲ αὐτῶι ὁ Σολομὼν ἄλλοις τε πολλοῖς καὶ δὴ καὶ χώραν τῆς Γαλιλαίας ἐν τῆι Χαβουλὼν λεγομένηι <ἐπιδέδωκε>. (111) μάλιστα δ' αὐτοὺς εἰς φιλίαν ἡ τῆς σοφίας συνῆγεν ἐπιθυμία· προβλήματα γὰρ ἀλλήλοις ἀνταπέστελλον λύειν κελεύοντες, καὶ κρείττων ἐν τούτοις ἦν ὁ Σολομὼν καὶ τἆλλα σοφώτερος. σώιζονται δὲ

---

2 ἀρχεῖα ἀρχίων R *antiquitatum* Lat 3-p. 827, 2: Euseb. *Chron.* Cramer *An. Par.* II p. 184, 14 ff. (= Eus); Euseb. Arm. *Chron.* p. 54, 1 ff. Karst (= Arm); Synkell. p. 343, 1 ff.; [Theophil.] *Ad Autol.* 3, 22 4 ἤδη Eus ἔτι L *rursus* Lat 5 ἐξ L Arm ἐπ' Eus 6-7 ἀπὸ παμπόλλων ἐτῶν Eus Synk πολλῶν ἐτ. L Lat *von altersher gar viel alter jahre* Arm 7 δημοσίαι Synk δημόσια L Eus *königliches schrifttum* Arm γεγραμμένα L καὶ (om. Synk) γραφέντα Eus Synk 8-9 περὶ – ἀξίων om. Synk 8 πρὸς ἄλλους Gutschmid πρὸς ἀλλήλους L Lat παρ' ἄλλοις Eus *von sonstigen grosstaten* Arm 9 ἐν οἷς L Lat Synk (Arm) ἐν τούτοις Eus ὁ om. L 10 ὑπὸ L Synk (Arm) ἀπὸ Eus σολομῶντος L ρμγ L (auch § 116) Eus (auch *P.E.* 10, 13, 13) Synk Arm ρλδ Theoph 11 καρχηδόνα Eus Arm Synk χαλκηδόνα L *carthaginem charcedona* Lat 11-12 παρ' ἐκείνοις Eus π. ἐκείνου Synk π. αὐτοῖς Eus *von denselben* Arm 12 οὐκ ἀλόγως Eus Synk Arm om. L Lat 12 ἡ – ἡμῖν om. Eus 12-20: *A.J.* 8, 141/3 14 οὗτος Eus Synk Arm αὐτὸς L *is* Lat 15 χρυσοῦ Eus 16 εἰς τὴν οἰκοδομὴν ἀπέστειλε τοῦ ὀρόφου Eus (Arm?) 17 καὶ δὴ καὶ Niese καὶ γῆ κατὰ L καὶ δῆτα καὶ Eus καὶ διττὰ καὶ Synk *auch* Arm χώραν L Eus Synk *einige örtlichkeiten* Arm; cf. *A.J.* 8, 142 πόλεις αὐτῶι τῆς Γαλιλαίας εἴκοσι μὲν τὸν ἀριθμόν, οὐ πόρρω δὲ τῆς Τύρου κειμένας ἐχαρίσατο, ἃς ἐπελθὼν καὶ κατανοήσας Εἴρωμος καὶ δυσαρεστήσας τῆι δωρεᾶι, πέμψας πρὸς Σολόμωνα μὴ δεῖσθαι τῶν πόλεων ἔλεγε· κἀκτοτε προσηγορεύθησαν Χαβαλὼν (*v.l.* χαβάλων, χαβαλῶν, χαβωλὼν, χαβωλῶν, *gabala*) γῆ· μεθερμηνευόμενον δὲ τὸ χάβαλον ἡ κατὰ Φοινίκων γλῶτταν οὐκ ἀρέσκον σημαίνει' 18 Χαβουλὼν Bochart ζαβουλὼν L Lat χαβωλῶ Eus χαβόλωι Synk *chabula* Arm ἐπιδέδωκε add. Eus ἔδωκεν τὴν Χαβουλὼν λεγομένην Niese 19 ἀνταπέστελλον Eus ἀντεπ- L ἀντέστ- Synk

μέχρι νῦν παρὰ τοῖς Τυρίοις πολλαὶ τῶν ἐπιστολῶν, ἃς ἐκεῖνοι πρὸς ἀλλήλους ἔγραψαν. (Es folgen Dios 785 F 1b; Menandros 783 F 1). d) – *A.J.* 8, 55: διαμένει δὲ ἄχρι τῆς τήμερον τὰ τῶν ἐπιστολῶν τούτων ἀντίγραφα οὐκ ἐν τοῖς ἡμετέροις μόνον σωιζόμενα βιβλίοις, ἀλλὰ καὶ παρὰ Τυρίοις, ὥστε εἴ τις ἐθελήσειε τὸ ἀκριβὲς μαθεῖν, δεηθεὶς τῶν ἐπὶ τοῦ Τυρίων γραμματοφυλακείου δημοσίων εὕροι συμφωνοῦντα τοῖς εἰρημένοις ὑφ' ἡμῶν τὰ παρ' ἐκείνοις. e) – *c. Ap.* 1, 143: . . . οὐ μὴν ἀλλὰ κἀν τοῖς ἀρχείοις τῶν Φοινίκων σύμφωνα τοῖς ὑπὸ Βηρώσου (680 F 8a) ἀναγέγραπται . . .

2 PORPHYR. bei EUSEB. *P.E.* 1, 9, 21 (=790 F 1): Σαγχουνιάθων δὲ ὁ κατὰ τὴν Φοινίκων διάλεκτον φιλαλήθως πᾶσαν τὴν παλαιὰν ἱστορίαν ἐκ τῶν κατὰ πόλιν ὑπομνημάτων καὶ τῶν ἐν τοῖς ἱεροῖς ἀναγραφῶν συναγαγὼν (F 6a) . . . . . .

3 SCHOL. (EUST.) DION. PER. 912: Βύβλος ἀρχαιοτάτη πόλις εἴρηται [καὶ] ὅτι τὰ ἐν αὐτῆι ἀποτιθέμενα βιβλία ἄσηπτα διαφυλάττει· καὶ ἐπὶ τούτωι <τὸ ὄνομα> ἀπένειμον αὐτῆι Φοίνικες, ἐφ' ὧι τὰς παρ' αὐτοῖς βίβλους φυλάττει. οἱ δέ φασιν ὅτι ἡ Ἶσις ἀπὸ τῆς Αἰγύπτου παραγενομένη ἐκεῖ καὶ κλαίουσα τὸν Ὄσιριν τὸ διάδημα τῆς κεφαλῆς ἀπέθετο, βύβλινον ὑπάρχον ἀπὸ τῆς ἐν τῶι Νείλωι φυομένης βύβλου· ἢ ὅτι πολλὴ βύβλος ἐκεῖσε φύεται, ἤτοι πάπυρος.

4 a) EUSEB. *P.E.* 1, 9, 24 (=PHILON 790 F 1): Τάαυτος ὁ τῶν γραμμάτων τὴν εὕρεσιν ἐπινοήσας καὶ τῆς τῶν ὑπομνημάτων γραφῆς κατάρξας . . . . (26) ἀλλ' οἱ μὲν νεώτεροι τῶν ἱερολόγων . . . ἀλληγορίας δὲ καὶ μύθους ἐπινοήσαντες . . . πολὺν αὐτοῖς ἐπῆγον τῦφον, ὡς μὴ ῥαιδίως τινὰ συνορᾶν τὰ κατ' ἀλήθειαν γενόμενα· ὁ δὲ συμβαλὼν τοῖς ἀπὸ τῶν ἀδύτων εὑρεθεῖσιν ἀποκρύφοις Ἀμμουνέων γράμμασι συγκειμένοις . . . . . . ἐξηνύσατο τὴν πρόθεσιν, ἕως πάλιν οἱ ἐπιγενόμενοι ἱερεῖς χρόνοις ὕστερον ἠθέλησαν αὐτὴν ἀποκρύψαι καὶ εἰς τὸ μυθῶδες ἀποκαταστῆσαι . . . . b) – – 1, 10, 39 (=790 F 2): ταῦτα πάντα ὁ Θαβίων, ὃς πάμπρωτος τῶν ἀπ' αἰῶνος γεγονότων Φοινίκων ἱεροφάντης ἀλληγορήσας . . . παρέδωκε τοῖς ὀργεῶσι καὶ τελετῶν κατάρχουσι προφήταις· οἱ δὲ . . . τοῖς αὐτῶν διαδόχοις παρέδοσαν καὶ τοῖς ἐπεισάκτοις, ὧν ἦν καὶ Εἰσίριος <ὁ> τῶν τριῶν

---

1 μέχρι δεῦρο Eus Synk 2 πρὸς ἀλλήλους L Synk Arm πρὸς τυρίους Eus 6 τῶν (τοῦ RO) ἐπὶ τοῦ (Niese τῶν ROSP om. M) γραμματοφυλακείου (RO -λακίων SPM) δημοσίων L *custodem monumentorum publicorum tyriae civitatis* Lat 15 [καὶ] Jac 16 <τὸ ὄνομα> Jac * * v αὐτῆι Jac αὐτῶι Schol 22 νεώτεροι Jac -τατοι O 24 ὁ δέ: *i.e.* Sanchuniathon 27 αὐτὴν: *i.e.* τὴν ἀλήθειαν 28 θαβίων ὃς πάμπρωτος A θαυίωνος παῖς πρῶτος BO 30-31 τοῖς αὐτῶν διαδόχοις v ταῖς αὐ. διαδοχαῖς AO (B fehlt) 31 ἦν A εἰς ἔτι O εἰσίριος A ἴσιρις O <ὁ> Jac

γραμμάτων εὑρετής, ἀδελφὸς Χνᾶ, τοῦ πρώτου μετονομασθέντος Φοίνικος. c) – – 1, 10, 43 (= 790 F 10): Τάαυτος . . . πρῶτος τὰ κατὰ τὴν θεοσέβειαν ἐκ τῆς τῶν χυδαίων ἀπειρίας εἰς ἐπιστημονικὴν ἐμπειρίαν διέταξεν, ὧι μετὰ γενεὰς πλείους θεὸς Σουρμουβηλὸς Θουρώ τε ἡ μετονομασθεῖσα Χούσαρθις(?) ἀκολουθήσαντες κεκρυμμένην τοῦ Τααύτου καὶ ἀλληγορίαις ἐπεσκιασμένην τὴν θεολογίαν ἐφώτισαν. d) – – 1, 10, 49 (= 790 F 4) Ἐπήεις(?) ἀλληγορῶν, ὁ ὀνομασθεὶς παρ' αὐτοῖς μέγιστος ἱεροφάντης καὶ ἱερογραμματεύς, ὃν μετέφρασεν Ἄρειος Ἡρακλεοπολίτης.

5 a) Athen. 3, 100 p. 126 A (= 784 F 3b): παρὰ τοῖς τὰ Φοινικικὰ συγγεγραφόσι Σαγχουνιάθωνι (790) καὶ Μώχωι (784), τοῖς σοῖς πολίταις (des Ulpianos von Tyros). b) Joseph. *A.J.* 1, 107 (= 784 F 3a): Μῶχός τε καὶ Ἑστιαῖος (786) καὶ πρὸς αὐτοῖς ὁ Αἰγύπτιος Ἱερώνυμος (787) οἱ τὰ Φοινικικὰ συγγραψάμενοι. c) Tertullian. *Apol.* 19, 5 (= 609 T 6b): *reseranda antiquissimarum etiam gentium archiva, Aegyptiorum Chaldaeorum Phoenicum*; (6) *advocandi municipes eorum* . . . . *Manethon Aegyptius* (609) *et Berosus Chaldaeus* (680), *sed et Hieronimus Phoenix, Tyri rex* (787), *sectatores quoque ipsorum* . . . *Menander Ephesius* (783) . . . *Thallus* (256) *et* . . . *Judaeus Josephus*. d) Tatian. *Ad Graec.* 37 (= 784 T 1): . . . τὰ Φοινίκων οὕτως ἔχει· γεγόνασι παρ' αὐτοῖς ἄνδρες τρεῖς Θεόδοτος, Ὑψικράτης, Μῶχος· τούτων τὰς βίβλους εἰς Ἑλληνίδα κατέταξεν φωνὴν Λαῖτος . . .

6) a) Porphyr. bei Euseb. *P.E.* 1, 9, 21 (= 790 F 1): Σαγχουνιάθων ὁ Βηρύτιος, εἰληφὼς τὰ ὑπομνήματα (*scil.* τῶν Ἰουδαίων) παρὰ Ἱερομβάλου τοῦ ἱερέως θεοῦ Ἰευώ (?), ὃς Ἀβιβάλωι τῶι βασιλεῖ Βηρυτίων τὴν ἱστορίαν ἀναθείς . . . . οἱ δὲ τούτων χρόνοι καὶ πρὸ τῶν Τρωικῶν πίπτουσι χρόνων . . . Σαγχουνιάθων δὲ (F 2) . . . . ἐπὶ Σεμιράμεως γέγονε τῆς Ἀσσυρίων βασιλίδος, ἢ πρὸ τῶν Ἰλιακῶν ἢ κατ' αὐτούς γε τοὺς χρόνους γενέσθαι ἀναγέγραπται. τὰ δὲ τοῦ Σαγχουνιάθωνος εἰς Ἑλλάδα γλῶσσαν ἡρμήνευσε Φίλων ὁ Βύβλιος. b) Suda s.v. Σαγχωνιάθων· Τύριος· φιλόσοφος, ὃς γέγονε

1 γραμμάτων O -τέων A   πρώτου O om. A   3 τῶν om. B   4 ὧι BO ὡς A   πλείους A πλείστας B²O πλείστους B¹   5 χούσαρθις BO εὔσαρθις A   8 ἐπήεις BO ὀπήεις A   ὁ om. A   αὐτοῖς: *scil.* τοῖς Αἰγυπτίοις?   13 μῶχος Jos Synk μόλος Eus   13-14 ὁ Αἰγύπτου Jos (E) τοῖς αἰγυπτίοις Synk   18 *hieronimus* SΠ *proemis* Φ *Hieromus* Scal, v; verwechselung von Hieronymos und könig (E)ἴρωμος (783 F 1)?   23 λαιτος (so) Clem χαῖτος Tat ἄδιτος Eus (O)   26 ἰευώ BO Eus² ἰευ (so) A ἰαώ Theoph   ἀβιβάλωι A ἀβελβάλωι BO (Th) Ἀβεδβάλωι Nöldeke   32 σαγχωνιάθων VFGM -γχου- A   32-p. 829, 2 ὃς – ἄλλα τινά om. F

κατὰ τὰ Τρωικά. Περὶ τῆς Ἑρμοῦ φυσιολογίας, ἥτις μετεφράσθη· Πάτρια Τυρίων τῆι Φοινίκων διαλέκτωι· Αἰγυπτιακὴν θεολογίαν· καὶ ἄλλα τινά. Σαγχωνιάθης Ἀϊδώνιος(?)· σοφός, τοῖς χρόνοις κατὰ Σεμίραμιν. ἔγραψε τῆι Φοινίκων διαλέκτωι Φυσιολογίαν καὶ ἄλλα τινά. c) COD. MATRIT. GR. 84: Σαχωνιάθων ὁ Βηρύττιος τὴν Φοινίκων θεολογίαν ἐξέδωκεν, ἣν Ὀρφεὺς (p. 130 Kern) μετήνεγκεν εἰς τὴν Ἑλλάδα φωνήν, καὶ τὰς τελετὰς τῶν Αἰγυπτίων.

7 SCHOL. DIONYS. THRAC. (*Gr. Gr.* III) p. 184, 23 Hi: Ἀλέξανδρος δὲ ὁ Ῥόδιος (VI) ἀπὸ Φοίνικος τοῦ Προνώπου καὶ Εὐρώπης (*scil.* λέγεσθαι τὰ γράμματα), εὑρόντος αὐτὰ ἐν Κρήτηι, ὃν ἀπέκτεινε Ῥαδάμανθυς φθονήσας.

8 (II 21, 2) ATHEN. 4, 76 p. 174 F: ὀνομάζονται δὲ οἱ αὐλοὶ γίγγροι ὑπὸ τῶν Φοινίκων ἀπὸ τῶν περὶ Ἄδωνιν θρήνων· τὸν γὰρ Ἄδωνιν Γίγγρην καλεῖτε ὑμεῖς οἱ Φοίνικες, ὡς ἱστορεῖ Δημοκλείδης (VI).

9 [ARISTOT.] *Mir. ausc.* 134: ἡ (*scil.* Ἰτύκη) καὶ πρότερον κτισθῆναι λέγεται ὑπὸ Φοινίκων αὐτῆς τῆς Καρχηδόνος ἔτεσι διακοσίοις ὀγδοήκοντα ca. 1100
ἑπτά, ὡς ἀναγέγραπται ἐν ταῖς Φοινικικαῖς ἱστορίαις.

10 SERV. VERGIL. *A.* 1, 343: *huic* (der Dido) *coniunx Sychaeus erat,* 744 F 1;
ditissimus agri / Phoenicum .... sed regna Tyri germanus habebat / 783 F 1
Pygmalion .... ille Sychaeum .... clam ferro incautum superat ...... § 125; 794 F 18b c. 4
his commota fugam Dido sociosque parabat ...] Sychaeus Sicarbas dictus est; Belus Didonis pater Mettes, Carthago a cartha, ut lectum est et in historia Poenorum et in Livio.

11 a) HERODT. 7, 89, 2: οὗτοι δὲ οἱ Φοίνικες τὸ παλαιὸν οἴκεον, ὡς F 18b
αὐτοὶ λέγουσι, ἐπὶ τῆι Ἐρυθρῆι θαλάσσηι, ἐνθεῦτεν δὲ ὑπερβάντες τῆς Συρίης οἰκέουσι τὰ παρὰ θάλασσαν. b) – 1, 1, 1: Περσέων μέν νυν οἱ λόγιοι Φοίνικας αἰτίους φασὶ γενέσθαι τῆς διαφορῆς· τούτους γὰρ ἀπὸ τῆς Ἐρυθρῆς καλεομένης θαλάσσης ἀπικομένους ἐπὶ τήνδε τὴν θάλασσαν καὶ οἰκήσαντας τοῦτον τὸν χῶρον τὸν καὶ νῦν οἰκέουσι .... c) STRABON 16, 3, 4: πλεύσαντι δ' ἐπὶ πλέον (*scil.* τὸν Περσικὸν κόλπον) ἄλλαι νῆσοι Τύρος καὶ Ἄραδός εἰσιν, ἱερὰ ἔχουσαι τοῖς Φοινικικοῖς ὅμοια, καὶ φασί γε οἱ ἐν αὐταῖς οἰκοῦντες τὰς ὁμωνύμους τῶν Φοινίκων νήσους καὶ πόλεις ἀποίκους ἑαυτῶν. d) EUSTATH. DION. PER. 912: τούτους δὲ τοὺς Σιδωνίους ἀποίκους εἶναί τινές φασι Σιδωνίων τῶν ἐν τῶι Περσικῶι κόλπωι, οἱ δὲ

---

1 πάτρια τε A 3-4 add. V 3 ἀϊδωνιος (so) V Σιδώνιος Creuzer 8 προνώπου C -όπου Σ^1 -άπου Hilgard 11 Γίγγρην: γίγγριν Eust. Hom. *Il.* Σ 495 12 ὑμεῖς οἱ Φ.: angeredet ist Ulpianos von Tyros (cf. F 5a) 19 *sycharbas* M *secarbas* H 20 *mettes* LH *met(t)hes* BC^{3}M *metres* D *Meto* Mythogr. 1, 214 *Multo* (*Multo* Movers) Justin. 18, 4, 3 Μέττηνος 783 F 1 § 125 *cart(h)a* (cf. 744 F 1): v.l. *caracha, cavac(c)a, carraga* 24 τὰ **d** Eust τὸ **a** 29 φοινικοῖς CD φοινικίοις x

παλαιοὶ ἐναντιολογίας ἱστοριῶν αἰτιῶνται ἐνταῦθα. οἱ μὲν γὰρ τοὺς καθ' ἡμᾶς Φοινικάς τε καὶ Σιδωνίους ἀποίκους φασὶ τῶν πρὸς τῶι ὠκεανῶι Σιδωνίων τε καὶ Φοινίκων, προστιθέντες καὶ διὰ τί Φοίνικες λέγονται (διότι φασὶ καὶ ἡ θάλασσα 'Ερυθρά, ὡς ταὐτὸν ὂν Φοίνικας εἰπεῖν καὶ ἐρυθρούς), οἱ δὲ ἀνάπαλιν ἀποίκους ἐκείνους τούτων τῶν καθ' ἡμᾶς ἱστόρησαν.

12 HERODT. 1, 5, 2: περὶ δὲ τῆς 'Ιοῦς οὐκ ὁμολογέουσι Πέρσηισι οὕτω Φοίνικες· οὐ γὰρ ἁρπαγῆι σφέας χρησαμένους λέγουσι ἀγαγεῖν αὐτὴν εἰς Αἴγυπτον, ἀλλ' ὡς ἐν τῶι Ἄργει ἐμίσγετο τῶι ναυκλήρωι τῆς νεός· ἐπεὶ δὲ ἔμαθε ἔγκυος ἐοῦσα, αἰδεομένη τοὺς τοκέας οὕτω δὴ ἐθελοντὴν αὐτὴν τοῖσι Φοίνιξι συνεκπλῶσαι, ὡς ἂν μὴ κατάδηλος γένηται.

13 HERODT. 2, 104, 3: Φοίνικες δὲ καὶ Σύριοι οἱ ἐν τῆι Παλαιστίνηι καὶ αὐτοὶ ὁμολογέουσι παρ' Αἰγυπτίων μεμαθηκέναι (*scil.* περιτέμνεσθαι τὰ αἰδοῖα).

14 HERODT. 2, 44, 1: καὶ θέλων δὲ τούτων πέρι σαφές τι εἰδέναι ἐξ ὧν οἷόν τε ἦν, ἔπλευσα καὶ ἐς Τύρον τῆς Φοινίκης, πυνθανόμενος αὐτόθι εἶναι ἱρὸν 'Ηρακλέος ἅγιον. (2) καὶ εἶδον πλουσίως κατεσκευασμένον ἄλλοισί τε πολλοῖσι ἀναθήμασιν, καὶ ἐν αὐτῶι ἦσαν στῆλαι δύο, ἡ μὲν χρυσοῦ ἀπέφθου, ἡ δὲ σμαράγδου λίθου λάμποντος τὰς νύκτας μέγαθος. (3) ἐς λόγους δὲ ἐλθὼν τοῖσι ἱρεῦσι τοῦ θεοῦ εἰρόμην, ὁκόσος χρόνος εἴη ἐξ οὗ σφι τὸ ἱρὸν ἵδρυται. εὗρον δὲ οὐδὲ τούτους τοῖσι Ἕλλησι συμφερομένους· ἔφασαν γὰρ ἅμα Τύρωι οἰκιζομένηι καὶ τὸ ἱρὸν τοῦ θεοῦ ἱδρυθῆναι, εἶναι δὲ ἔτεα ἀπ' οὗ Τύρον οἰκέουσι τριηκόσια καὶ δισχίλια. c. 2750 εἶδον δὲ ἐν Τύρωι καὶ ἄλλο ἱρὸν 'Ηρακλέος ἐπωνυμίην ἔχοντος Θασίου εἶναι.

15 a) LYDUS *De mens.* 4, 71 p. 123, 1 Wü: οἱ δὲ Φοίνικες βασιλέα φασὶν αὐτὸν (Zeus) γενέσθαι δικαιότατον, ὥστε τὴν περὶ αὐτοῦ δόξαν κρείττονα γενέσθαι τοῦ χρόνου· ταύτηι Κρόνον ἐκβαλεῖν τῆς βασιλείας λέγεται, οἱονεὶ τὸν χρόνον καὶ τὴν ἐξ αὐτοῦ λήθην ὑπερβαλεῖν. b) -- 1, 21 p. 11, 10: ὅτι ὁ Νουμᾶς τὴν βασιλικὴν ἐσθῆτα εἰς τιμὴν 'Ηλίου καὶ 'Αφροδίτης ἐκ πορφύρας καὶ κόκκου κατασκευάζεσθαι διετύπωσεν – καὶ Βλάττα δέ, ἐξ ἧς τὰ βλάττια λέγομεν, ὄνομα 'Αφροδίτης ἐστὶ κατὰ τοὺς Φοίνικας – ὡς ὁ Φλέγων ἐν τῶι Περὶ ἑορτῶν (257 F 34 bis; s. Add. III b p. 398 f.) φησι.

16 Lukian. *De Syria dea* 3: καὶ ἔστιν ἱρὰ καὶ ἐν Συρίηι οὐ παρὰ πολὺ τοῖς Αἰγυπτίοισιν ἰσοχρονέοντα, τῶν ἐγὼ πλεῖστα ὄπωπα· τό γε τοῦ 'Ηρακλέος τὸ ἐν Τύρωι οὐ τούτου τοῦ 'Ηρακλέος τὸν Ἕλληνες ἀείδουσιν, ἀλλὰ τὸν ἐγὼ λέγω πολλὸν ἀρχαιότερος, καὶ Τύριος ἥρως ἐστίν.

---

11 σύροι **a** οἱ om. DR 14 δὲ: δὴ Bkr 17 μὲν γὰρ D 18 μέγαθος: μέγα φῶς Rei μέγαθος * * (massangabe) Stein μεγάλως? 27 τὸν χρόνον S τοῦ χρόνου A 29-30 ὅθεν καὶ βλάττα ὄνομα ἀφροδίτης ἐστὶ κατὰ τοὺς φοίνικας καλέσας X 31 Περὶ <τῶν παρὰ 'Ρωμαίοις> ἑορτῶν (257 T 1)?

(4) ἔνι δὲ καὶ ἄλλο ἱρὸν ἐν Φοινίκηι μέγα τὸ Σιδώνιοι ἔχουσιν, ὡς μὲν αὐτοὶ λέγουσιν, Ἀστάρτης ἐστίν. Ἀστάρτην δ'ἐγὼ δοκέω Σεληναίην ἔμμεναι· ὡς δέ μοί τις τῶν ἱρέων ἀπηγέετο, Εὐρώπης ἐστὶ τῆς Κάδμου ἀδελφεῆς· ταύτην ἐοῦσαν Ἀγήνορος τοῦ βασιλῆος θυγατέρα ἐπειδή τε ἀφανὴς ἐγεγόνεεν, οἱ Φοίνικες τῶι νηῶι ἐτιμήσαντο, καὶ λόγον ἱρὸν ἐπ' αὐτῆι ἔλεξαν, ὅτι ἐοῦσαν καλὴν Ζεὺς ἐπόθεε, καὶ τὸ εἶδος εἰς ταῦρον ἀμειψάμενος ἥρπασε, καί μιν ἐς Κρήτην φέρων ἀπίκετο. (5) Anonymer Aegyptischer tempel.

(6) εἶδον δὲ καὶ ἐν Βύβλωι μέγα ἱρὸν Ἀφροδίτης Βυβλίης, ἐν τῶι καὶ τὰ ὄργια ἐς Ἄδωνιν ἐπιτελέουσιν· ἐδάην δὲ καὶ τὰ ὄργια. λέγουσι γὰρ δὴ ὦν τὸ ἔργον τὸ ἐς Ἄδωνιν ὑπὸ τοῦ συὸς ἐν τῆι χώρηι τῆι σφετέρηι γενέσθαι, καὶ μνήμην τοῦ πάθεος τύπτονταί τε ἑκάστου ἔτεος, καὶ θρηνέουσι, καὶ τὰ ὄργια ἐπιτελέουσιν, καὶ σφίσι μεγάλα πένθεα ἀνὰ τὴν χώρην ἵσταται. ἐπεὰν δὲ ἀποτύψωνταί τε καὶ ἀποκλαύσωνται, πρῶτα μὲν καταγίζουσι τῶι Ἀδώνιδι ὅκως ἐόντι νέκυι, μετὰ δὲ τῆι ἑτέρηι ἡμέρηι ζώειν τέ μιν μυθολογέουσι, καὶ ἐς τὸν ἠέρα πέμπουσι, καὶ τὰς κεφαλὰς ξυρέονται ὅκως Αἰγύπτιοι ἀποθανόντος Ἄπιος. γυναικῶν δὲ ὁκόσαι οὐκ ἐθέλουσι ξυρέεσθαι, τοιήνδε ζημίην ἐκτελέουσιν· ἐν μιῆι ἡμέρηι ἐπὶ πρήσι τῆς ὥρης ἵστανται, ἡ δὲ ἀγορὴ μούνοισι ξείνοισι παρακέεται, καὶ ὁ μισθὸς ἐς τὴν Ἀφροδίτην θυσίη γίγνεται. (7) εἰσὶ δὲ ἔνιοι Βυβλίων, οἳ λέγουσι παρὰ σφίσι τεθάφθαι τὸν Ὄσιριν τὸν Αἰγύπτιον, καὶ τὰ πένθεα καὶ τὰ ὄργια οὐκ ἐς τὸν Ἄδωνιν ἀλλ' ἐς τὸν Ὄσιριν πάντα πρήσσεσθαι. ἐρέω δὲ ὁκόθεν καὶ τάδε πιστὰ δοκέουσι· κεφαλὴ ἑκάστου ἔτεος ἐξ Αἰγύπτου ἐς τὴν Βύβλον ἀπικνέεται, πλώουσα τὸν μεταξὺ πλόον ἑπτὰ ἡμερέων, καί μιν οἱ ἄνεμοι φορέουσι θείηι ναυτιλίηι, τρέπεται δ' οὐδαμά, ἀλλ' ἐς μούνην τὴν Βύβλον ἀπικνέεται, καί ἐστι τὸ σύμπαν θωῦμα. καὶ τοῦτο ἑκάστου ἔτεος γίγνεται· τὸ καὶ ἐμεῦ παρεόντος ἐν Βύβλωι ἐγένετο, καὶ τὴν κεφαλὴν ἐθεησάμην Βυβλίνην. (8) ἔνι δὲ καὶ ἄλλο θωῦμα ἐν τῆι χώρηι τῆι Βυβλίνηι· ποταμὸς ἐκ τοῦ Λιβάνου τοῦ οὔρεος ἐς τὴν ἅλα ἐκδιδοῖ· οὔνομα τῶι ποταμῶι Ἄδωνις ἐπικέεται. ὁ δὲ ποταμὸς ἑκάστου ἔτεος αἱμάσσεται, καὶ τὴν χροιὴν ὀλέσας ἐσπίπτει ἐς τὴν θάλασσαν, καὶ φοινίσσει τὸ πολλὸν τοῦ πελάγεος, καὶ σημαίνει τοῖς Βυβλίοις τὰ πένθεα. μυθέονται δὲ ὅτι ταύτηισι τῆισιν ἡμέρηισιν ὁ Ἄδωνις ἀνὰ τὸν Λίβανον τιτρώσκεται, καὶ τὸ αἷμα ἐς τὸ ὕδωρ ἐρχόμενον ἀλλάσσει τὸν ποταμόν, καὶ τῶι ῥόωι τὴν ἐπωνυμίην διδοῖ. ταῦτα μὲν οἱ πολλοὶ λέγουσιν, ἐμοὶ δέ τις ἀνὴρ Βύβλιος ἀληθέα δοκέων λέγειν ἑτέρην ἀπηγέετο τοῦ πάθεος αἰτίην. ἔλεγε δὲ ὧδε· 'ὁ Ἄδωνις ὁ ποταμός, ὦ ξεῖνε, διὰ τοῦ Λιβάνου ἔρχεται, ὁ δὲ Λίβανος κάρτα ξανθόγεώς ἐστιν· ἄνεμοι ὦν τρηχέες ἐκείνηισι τῆισιν ἡμέρηισιν ἱστάμενοι τὴν γῆν τῶι ποταμῶι ἐπιφέρουσι ἐοῦσαν ἐς τὰ μάλιστα μιλτώδεα, ἡ δὲ γῆ μιν αἱμώδεα τίθησι· καὶ τοῦδε τοῦ πάθεος οὐ τὸ αἷμα τὸ λέγουσιν ἀλλ' ἡ χώρη

8 Βυβλίνης? 26 ἔνι: ἔστι?

αἰτίη'. ὁ μέν μοι Βύβλιος τοσαῦτα ἀπηγέετο . . . . . (9) ἀνέβην δὲ καὶ ἐς τὸν Λίβανον ἐκ Βύβλου ὁδὸν ἡμέρης, πυθόμενος αὐτόθι ἀρχαῖον ἱρὸν Ἀφροδίτης ἔμμεναι, τὸ Κινύρης εἵσατο· καὶ εἶδον τὸ ἱρόν, καὶ ἀρχαῖον ἦν.

τάδε μέν ἐστι τὰ ἐν τῆι Συρίηι ἀρχαῖα καὶ μεγάλα ἱρά.

17 AFRICAN. bei SYNKELL. p. 31, 10: τὰ γὰρ Φοινίκων τρισμύρια ἔτη ἢ τὸν τῶν Χαλδαίων λῆρον τὸ τῶν τεσσαράκοντα ὀκτὼ μυριάδων τί δεῖ καὶ λέγειν;

18 **a)** POMPEIUS TROGUS *Prol.* 18: *transitus* (des Pyrrhus) *in Siciliam adversus Carthaginenses. inde origines Phoenicum et Sidonos et Veliae Carthaginisque res gestae in excessu dictae.* **b)** JUSTIN. 18, 3, 2: *Tyriorum gens condita a Phoenicibus fuit,* (3) *qui terrae motu vexati relicto patrio solo ad Syrium(?) stagnum primo, mox mari proximum litus incoluerunt,* (4) *condita ibi urbe, quam a piscium ubertate Sidona appellaverunt; nam piscem Phoenices sidon vocant.* (5) *post multos deinde annos a rege Ascaloniorum expugnati navibus appulsi Tyron urbem ante annum Troianae cladis condiderunt.* ca. 119 (6) *ibi Persarum bellis diu varieque fatigati victores quidem fuere, sed adtritis viribus a servis suis multitudine abundantibus indigna supplicia perpessi sunt.* (7-14: der niedermetzelung der ganzen männlichen bevölkerung entrinnt nur ein greis mit seinem sohn; sein treuer sklave bewirkt durch eine list, dass der herr auch die bedingung der sklavenversammlung für das königtum erfüllt, indem er als erster die aufgehende sonne erblickt). (15) *igitur venia seni filioque data est, et velut numine quodam reservatos arbitrantes regem Stratonem creaverunt.* (16) *post cuius mortem regnum ad filium ac deinde ad nepotes transiit . . . .* (18) *itaque Alexander Magnus cum interiecto tempore in Oriente bellum gereret, velut ultor publicae securitatis expugnata eorum urbe omnes, qui proelio superfuerant, ob memoriam veteris caedis crucibus adfixit.* (19) *genus tantum Stratonis inviolatum servavit regnumque stirpi eius restituit, ingenuis et innoxiis incolis insulae adtributis, ut exstirpato servili germine genus urbis ex integro conderetur.* (4) *hoc igitur modo Tyrii Alexandri auspiciis conditi parsimonia et labore quaerendi cito convaluere.*

(2) *ante cladem dominorum cum et opibus et multitudine abundarent, missa in Africam iuventute Uticam condidere.* (3) *cum interim rex* F 9

---

9 *sidonos* AG *-nes* (*sinodes* V) Q *sidoniorum* πB 10 *carthaginisque* Gutschmid *-ninque* A *-nenque* GQ *-numque* B *-nesque* π 11 *gens* τπι *genus* C 12 *patrio* AGαι *patriae* VRπC *ad syrium* (*-am* AGR) τ C *assyrium* πι 13 *sidona* π C *sidon* τ *sidoniam* ι 24 *in nepotes* C 27 *caedis* τπι *sceleris* C

Mutto Tyro (?) *decedit, filio Pygmalione et Elissa filia . . . heredibus institutis.* (4) *sed populus Pygmalioni admodum puero regnum tradidit.* (5) *Elissa quoque Acherbae avunculo suo sacerdoti Herculis, qui honos secundus a rege erat, nubit.* (6) *huic magnae sed dissimulatae opes erant, aurumque metu regis non tectis sed terrae crediderat,* (7) *quam rem etsi homines ignorabant, fama tamen loquebatur.* (8) *qua incensus Pygmalion . . . avunculum suum eundemque generum sine respectu pietatis occidit.* (9-6, 9: flucht der Dido; gründung Karthagos *LXXII annis ante quam Roma*). F 10

19 STRABON 16, 2, 13 p. 573: ἔκτισαν δ'αὐτὴν (Arados) φυγάδες, ὥς φασιν, ἐκ Σιδῶνος.

XXVII. PHRYGIEN

—. ALEXANDROS POLYHISTOR

c. 80/35ª

ΣΥΝΑΓΩΓΗ ΤΩΝ ΠΕΡΙ ΦΡΥΓΙΑΣ Ᾱ - Γ̄

273 F 73-78.

795. HERMOGENES

(Hellenist. Zeit?)

ΠΕΡΙ ΦΡΥΓΙΑΣ

1 (III 524, 1) SCHOL. APOLL. RHOD. 2, 722 (ET. GEN. s.v. Σαγγάριος): Σαγγάριος ποταμὸς Φρυγίας· ὁ δὲ Μυρλεανὸς (697 F 6) Σάγγαρον αὐτὸν λέγεσθαί φησιν. Ἑρμογένης δὲ ἐν τῶι Περὶ Φρυγίας φησὶν Σάγγαν τινὰ ἀσεβήσαντα περὶ τὴν Ῥέαν μεταβαλεῖν ἐς τοῦτο τὸ ὕδωρ, καὶ ἀπὸ αὐτοῦ τὸν ποταμὸν Σαγγάριον ὀνομασθῆναι. πλησίον δὲ αὐτοῦ Ὀρείας Μητρὸς ἱερόν ἐστιν, ὥς φησι Ξάνθος (765 F 28).

2 (2) ZENOB. *Prov.* 6, 10: τὰ Νανnάκου· εἴρηται ἡ παροιμία ἐπὶ τῶν θαυμαζομένων ἐπὶ παλαιότητι ἢ ἐπὶ τῶν πολλὰ θρηνούντων. Νάννακος γὰρ ἐγένετο Φρυγῶν βασιλεύς, ὥς φησιν Ἑρμογένης ἐν τοῖς

1 *Mutto Tyro* Movers (cf. 783 F 1 § 125) *multo tyro* ι *tyro* τπC *Tyri* Bongarsius [*Mutto* ('glossa corrupta')]? Seel *Muttunus* (cf. 783 F 7 § 157)? 3 *Acherbae* Gutschmid *acerbae* (u.ä.) τ *c(h)eruae* ι *atherbae* C *suo 'sircheus dictus est* CD 10 Σιδόνος Cor 17-22: Et. Gen. s. Σάγγαρις (σάγαρις A)· ποταμὸς Φρυγίας ἀπὸ Ὥρος Σαγγάριδος (σαγαρ- A) υἱοῦ Μίδου (ν μήδου AB; anders [Plut.] *De fluv.* 12, 1) Ὧρος (om. B) 18-19 ὁ – φησιν om. Et 19 Ἑρμ. – φησὶν: ὅτι (A) u. ἀπὸ (B) Et 21 σάγγα Et (B) 20 εἰς τὴν Ῥέαν Et μετέβαλεν Et καταβαλεῖν? Wendel 22 Ὀρείας Μητρὸς Wendel ὀρείας ἀπὸ τούτου H, Et τὸν u. Σαγγάριον om. Et 24 ἐπὶ παλαιότητι M ἐν παλ. P 24-p. 834, 3: δήμητρος ο Ῥέας Μητρὸς Hecker Νάννακον (cf. 800 F 3) γὰρ παλαιὸν καὶ ἀρχαῖον βασιλέα Φρυγῶν γενέσθαι ἐν Πισινοῦντι (so!) καὶ ἔθη αὐτοῖς καταστήσασθαι, καὶ ταῦτα λέγειν αὐτοὺς Τὰ ἀπὸ Nαννάκου Prov. Bodl.

Φρυγι<ακ>οῖς, πρὸ τῶν Δευκαλίωνος χρόνων, ὃς προειδὼς τὸν μέλλοντα κατακλυσμὸν συναγαγὼν πάντας εἰς τὰ ἱερὰ μετὰ δακρύων ἱκέτευεν. Ἡρώδης δὲ ὁ ἰαμβοποιός φησιν (3, 10)· «κἢν τὰ Ναννάκου κλαύσηι». Cf. 800 F 3.

*3 (3) Steph. Byz. s.v. Ἀζανοί· Φρυγίας πόλις· Στράβων ιβ̄ (8, 12) «τῆς δ' Ἐπικτήτου Φρυγίας Ἀζανοί τέ εἰσι καὶ Νακόλεια» . . . . Ἡρωδιανὸς (II 468, 29 L) διὰ τῆς αι̅ ἐν ᾱ Καθόλου λέγων «Αἰζὴν Ταντάλου παῖς, ἀφ' οὗ ἐν Φρυγίαι πόλις Αἰζανοί». τινὲς δὲ Ἀζάνιον αὐτήν φασιν. Ἑρμογένης δέ φησιν· «οὐ δεῖ οὕτως ἀλλ' Ἐξουάνουν(?) αὐτὴν καλεῖσθαι. λέγεται γὰρ περὶ τὸν τόπον ἀγροικίας εἶναι· λιμοῦ δὲ γενομένου, συνελθόντες οἱ ποιμένες ἔθυον εὐβοσίαν γενέσθαι. οὐκ ἀκουόντων δὲ τῶν θεῶν, Εὔφορβος τὴν οὐανοῦν (ὅ ἐστιν ἀλώπηξ) καὶ ἔξιν (ὅ ἐστιν ἐχῖνος) θῦσαι τοῖς δαίμοσιν· εὐαρεστησάντων δὲ τῶν θεῶν, εὐφορίαν γενέσθαι, καὶ τὴν γῆν πολυκαρπῆσαι, τοὺς δὲ περιοίκους πυθομένους ἱερέα καὶ ἄρχοντα αὐτὸν καταστῆσαι. ἐξ αὐτοῦ δὲ κληθῆναι τὴν πόλιν Ἐξουάνουν(?), ὃ μεθερμηνευόμενόν ἐστιν ἐχιναλώπηξ. ἔοικε δὲ μετηλλοιῶσθαι ἐκ τοῦ Ἐξουάνουν(?) τὸ Ἀζάνιον».

ZWEIFELHAFTES

4 (–) Eust. Hom. *Od.* τ 28 p. 1854, 22: κεῖται δὲ καὶ ἐν Ἡροδότωι (4, 192; 199) βάρβαρος λέξις ὁ βουνός· Λιβυκὴ γάρ. καὶ παρ' ἑτέροις ὁ παρασάγγης, ὃ καὶ παρὰ Ἑρμογένει.

796. METROPHANES

s. III (IV)?

T

1 (IV 453) Suda s.v. Μητροφάνης· Εὐκαρπίας τῆς Φρυγίας· σοφιστής. ἔγραψε περὶ τῆς Φρυγίας αὐτῆς(?) βιβλία β̄· Περὶ ἰδεῶν λόγου· Περὶ στάσεων· Εἰς τὴν Ἑρμογένους Τέχνην ὑπόμνημα· Εἰς Ἀριστείδην ὑπόμνημα.

1 Φρυγιακοῖς? Mue φρυγίοις Zen πρὸ τοῦ Δευκαλίωνος Suda s.v. Νάνναкος, Τὰ Ναννάκου χρόνων Schneidewin νόμων Zen 2 συνάγων M 3-4 κἢν – κλαύσηι Her ἵνα τὰ Ν. κλαύσω Zen 5 ἄζανοι R ἀζιανοί Str 6 Νακόλεια Holste νακώλεια ο νακολία (-ώλεια E) Str, Steph. Byz. s.v. 7 διὰ τοῦ RP ἐν ᾱ VP εμας (so!) R 8 ἀζανίον P 9 οὐ δεῖ VP οὐδὲ R Ἐξουάνουν Xyl ἐξανάγων RVP Ἐξουάνιον? Mei 10 περὶ RV παρὰ P λ:μοῦ (ι in ras.) R λοιμοῦ? Mei 11 εὐβοσίαν RV εὐφορίαν P 12 οὐανοῦν VR(cp.) οὐευνοῦν R οὐάνιον ? Mei 13 ἔξιν RV ἐχῖνος v -νον RVP 13-14 εὐαρεστηθέντων P 14 εὐφορίαν: εὐβοσίαν Westermann εὐφορβίαν? Mei καὶ ἔστι γῆν RV 14-15 πολλὴν καρπῆσαι R 16-17 Ἐξουάνουν Xyl ἐξαγάνου RVP(cp.) 17 δὲ om. V 17-18 μεταλλοιῶσθαι P 18 Ἐξουάνουν Berkel ξοάνου RVP ἐξανάγου Pal(?) Ἐξουανίου? Mei 27 εἰς τὴν om. A εἰς – ὑπόμνημα om. G

F

ΠΕΡΙ ΦΡΥΓΙΑΣ $\overline{AB}$

***1** Steph. Byz. s.v. Εὐκαρπία· δῆμος τῆς Μικρᾶς Φρυγίας. ἱστορεῖ Μητροφάνης τὸν βότρυν ἐκεῖ τοσοῦτον γίνεσθαι τὸ μέγεθος ὅσον ἅμαξαν ἀπ' αὐτοῦ σχισθῆναι κατὰ μέσης· καὶ οὕτως ἐκλήθη διὰ τὸ εὔφορον. περὶ αὐτῆς γὰρ οἱ βάρβαροι ἔλεγον, ὅτι Δήμητρι καὶ Διονύσωι Ζεὺς τὴν χώραν τὴν τῶν Εὐκαρπ<έ>ων δοίη.

SCHWINDELAUTOREN

—. AGATHARCHIDES VON SAMOS —. ARETADES <VON KNIDOS>

ΦΡΥΓΙΑΚΑ

284 F 3; 285 F 3.

—. DEMARETOS

<ΠΕΡΙ> ΦΡΥΓΙΑΣ

42 F 6.

797. HERMESIANAX VON KYPROS

1. ΦΡΥΓΙΑΚΑ

1 (IV 427, 1) [Plut.] *De fluv.* 12, 3: (Aretades 285 F 3) παράκειται δὲ αὐτῶι (dem Sagaris-Sangarios) ὄρος Βαλληναῖον καλούμενον, ὅπερ ἐστὶν μεθερμηνευόμενον βασιλικόν, τὴν προσηγορίαν ἔχον ἀπὸ Βαλληναίου τοῦ Γανυμήδους καὶ Μηδησιγίστης παιδός· οὗτος γὰρ τὸν γεννήσαντα θεασάμενος ἀποτηκόμενον τοῖς ἐγχωρίοις καὶ Βαλληναῖον ἑορτὴν κατέδειξεν μέχρι νῦν καλούμενον. (4) γεννᾶται δ' ἐν αὐτῶι λίθος καλούμενος Ἀστήρ. οὗτος εἴωθεν νυκτὸς βαθείας πυρὸς δίκην λάμπειν, τοῦ φθινοπώρου τὴν ἀρχὴν λαμβάνοντος, προσαγορεύεται δὲ τῆι διαλέκτωι τῶν ἐγχωρίων βαλλήν, ὅπερ μεθερμηνευόμενόν ἐστι βασιλεύς, καθὼς ἱστορεῖ Ἑρμησιάναξ Κύπριος ἐν β Φρυγιακῶν.

2. OHNE BUCHTITEL

2 (2) [Plut.] *De fluv.* 2, 3: Ἑρμησιάναξ δὲ ὁ Κύπριος ἱστορίας μέμνηται τοιαύτης· Ἑλικὼν καὶ Κιθαιρὼν ἀδελφοὶ τυγχάνοντες διαφόρους ἔσχον τῶν τρόπων τὰς διαθέσεις. ὁ μὲν γὰρ Ἑλικὼν πραιότερος ὑπάρχων καὶ προσηνὴς συμπαθῶς ἐγηροβόσκει τοὺς γονεῖς, ὁ δὲ Κιθαιρὼν πλεονέκτης τυγχάνων καὶ θέλων εἰς ἑαυτὸν μεταστῆσαι τὴν οὐσίαν πρῶτον μὲν ἐφόνευσεν τὸν γεννήσαντα, τὸν δὲ ἀδελφὸν ἐξ ἐνέδρας κατακρημνίζων καὶ αὐτὸς συγκατηνέχθη. κατὰ δὲ θεῶν πρόνοιαν εἰς ὁμώνυμα ὄρη μεταμορφωθέντες ἐγένοντο Κιθαιρὼν μὲν διὰ τὴν ἀσέβειαν Ἐρινύων μυχός, Ἑλικὼν δὲ διὰ φιλοστοργίαν Μουσῶν ἐνδιαίτημα.

---

3 Εὐκάρπεια Mei 4-5 ὡς ἂν ἅμαξαν ὑπ' αὐτοῦ? Mei 5 μέσης RV μέσον P ὤφορον(?) R[c] 7 Εὐκαρπέων (cf. Head *H.N.*² p. 673; *Cat. of Greek Coins* LVIII) Mei εὐκάρπων o 19 Μηδεσικάστης He 20 ἀποτεμνόμενον? Wyttenbach 23 βαλλην (so) P βαλὴν Eust. *Il.* p. 381, 17; *Od.* p. 1854, 27 29 ἐγηροβόσκει Wyttenbach γηροβοσκεῖ P 33 μυχός Barth μῦθος P διὰ <τὴν> φιλ. He

3 (3) [Plut.] *De fluv.* 24, 1: (Theophilos 296 F 3) Ἑρμησιάναξ δὲ ὁ Κύπριος ἱστορίας μέμνηται τοιαύτης. Διόνυσος ἐρασθεὶς Ἀλφεσιβοίας νύμφης καὶ μήτε δώροις μήτε δεήσεσιν πεῖσαι δυνάμενος εἰς τὴν προειρημένην τίγριν μετέβαλεν τὴν μορφὴν τοῦ σώματος, καὶ φόβωι πείσας τὴν ἀγαπωμένην ἀνέλαβεν αὐτήν, καὶ διὰ τοῦ ποταμοῦ κομίσας ἐγέννησεν υἱὸν Μῆδον, ὃς ἀκμάσας εἰς τιμὴν τοῦ συγκυρήματος τὸν ποταμὸν Τίγριν μετωνόμασεν, καθὼς ἱστορεῖ Ἀριστώνυμος ἐν γ̅ (VI).

798. TIMOLAOS

ΦΡΥΓΙΑΚΑ

1 (IV 521) [Plut.] *De fluv.* 9, 1: Μαίανδρος ποταμός <ἐστι> τῆς Ἀσίας, ἐκαλεῖτο δὲ πρότερον Ἀναβαίνων· μόνος γὰρ ἐκ πάντων τῶν ποταμῶν ἀπὸ τῶν ἰδίων ἀρχόμενος πηγῶν εἰς ἑαυτὸν παλινδρομεῖ. προσηγορεύθη δὲ Μαίανδρος ἀπὸ Μαιάνδρου τοῦ Κερκάφου καὶ Ἀναξιβίας παιδός, ὃς πρὸς Πεσσινουντίους πόλεμον ἔχων ηὔξατο τῆι Μητρὶ τῶν θεῶν, ἐὰν ἐγκρατὴς γένηται τῆς νίκης, θύσειν τὸν πρῶτον αὐτῶι συγχαρέντα ταῖς ἀνδραγαθίαις, † τρόπαια φέρων. ὑποστρέψαντι δὲ τῶι προειρημένωι πρῶτος συνεχάρη συναντήσας ὁ παῖς Ἀρχέλαος μετὰ τῆς μητρὸς καὶ τῆς ἀδελφῆς· ὁ δὲ τῆς προειρημένης δεισιδαιμονίας ἀναμνησθεὶς κατ' ἀνάγκην βωμοῖς προσήγαγεν τοὺς προσήκοντας. ἀθυμήσας δ' ἐπὶ τοῖς πραχθεῖσιν ἔρριψεν ἑαυτὸν εἰς ποταμὸν Ἀναβαίνοντα, ὃς ἀπ' αὐτοῦ Μαίανδρος προσηγορεύθη, καθὼς ἱστορεῖ Τιμόλαος ἐν α̅ Φρυγιακῶν. μέμνηται δὲ τούτων καὶ Ἀγαθοκλῆς ὁ Σάμιος ἐν τῆι Πεσσινουντίων πολιτείαι (799).

799. AGATHOKLES VON SAMOS

ΠΕΣΣΙΝΟΥΝΤΙΩΝ ΠΟΛΙΤΕΙΑ

1 (IV 288 *) [Plut.] *De fluv.* 9, 1: s. 798 F 1.

800. ANHANG

1 a) Herodt. 7, 26, 3: . . . παρεγένοντο ἐς Κελαινάς, ἵνα πηγαὶ ἀναδιδοῦσι Μαιάνδρου ποταμοῦ καὶ ἑτέρου οὐκ ἐλάσσονος ἢ Μαιάνδρου, τῶι οὔνομα τυγχάνει ἐὸν Καταρρήκτης, ὃς ἐξ αὐτῆς τῆς ἀγορῆς τῆς Κελαινέων ἀνατέλλων ἐς τὸν Μαίανδρον ἐκδιδοῖ· ἐν τῆι καὶ ὁ τοῦ Σιληνοῦ Μαρσύεω ἀσκὸς [ἐν τῆι πόλι] ἀνακρέμαται, τὸν ὑπὸ Φρυγῶν λόγος ἔχει ὑπὸ Ἀπόλλωνος ἐκδαρέντα ἀνακρεμασθῆναι. b) Xenoph. *Anab.* 1, 2, 8: ἔστι δὲ καὶ μεγάλου βασιλέως βασίλεια ἐν Κελαιναῖς ἐρυμνὰ ἐπὶ ταῖς πηγαῖς τοῦ Μαρσύου ποταμοῦ ὑπὸ τῆι ἀκροπόλει· ῥεῖ δὲ καὶ οὗτος διὰ τῆς πόλεως καὶ

1-6: zusammenfall zweier geschichten durch kürzung? 3-5 [εἰς τὴν προειρ.] τίγριν – ἐγέννησεν <ἐκ τῆς προειρημένης> υἱὸν Μῆδον He 3 δυνάμενος τὴν προειρημένην εἰς τίγριν κτλ. Piccolos 9 <ἐστι> He Ἀσίας: Φρυγίας? He Καρίας? Mue 12 Πεσσινουντίους Gbelen πεσι- P 14 τρόπαια φέροντι Wyttenbach [τρ. φ.]. ὑποστρέψαντι δὲ τ. πρ. <τρόπαια φέροντι> He 16 <τοῖς> βωμοῖς He προσήγαγεν Wyttenbach κατή- P 26 καὶ μαιάνδρου D 28 μαρσύου a 29 [ἐν τ.π.] Valck 32 ἐν τῆι ἀ. D

ἐμβάλλει εἰς τὸν Μαίανδρον . . . ἐνταῦθα λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύαν, νικήσας ἐρίζοντά οἱ περὶ σοφίας, καὶ τὸ δέρμα κρεμάσαι ἐν τῶι ἄντρωι, ὅθεν αἱ πηγαί· διὰ δὲ τοῦτο ὁ ποταμὸς λέγεται Μαρσύας. c) PALAIPHAT. Π. ἀπ. 47: . . . εἶδον ἐγὼ ποταμὸν ἐν Φρυγίαι· Μαρσύας ὄνομα τῶι ποταμῶι· καὶ ἔλεγον οἱ Φρύγες, ὅτι τὸ ῥεῦμα τοῦτο ἐξ αἵματός ἐστι τοῦ Μαρσύου. d) PAUSAN. 10, 30, 9: οἱ δὲ ἐν Κελαιναῖς Φρύγες ἐθέλουσι μὲν τὸν ποταμόν, ὃς διέξεισιν αὐτοῖς διὰ τῆς πόλεως, ἐκεῖνόν ποτε εἶναι τὸν αὐλητήν, ἐθέλουσι δὲ καὶ εὕρημα εἶναι τοῦ Μαρσύου τὸ Μητρῶιον αὔλημα. φασὶ δέ, ὡς καὶ τὴν Γαλατῶν ἀπώσαιντο στρατείαν τοῦ Μαρσύου σφίσιν ἐπὶ τοὺς βαρβάρους ὕδατί τε ἐκ τοῦ ποταμοῦ καὶ μέλει τῶν αὐλῶν ἀμύναντος.

2 PAUSAN. 10, 32, 4: Θεμισώνιον δὲ τὸ ὑπὲρ Λαοδικείας Φρύγες μὲν καὶ τοῦτο οἰκοῦσιν· ὅτε δὲ ὁ Γαλατῶν στρατὸς ἔφερε καὶ ἦγεν Ἰωνίαν καὶ Ἰωνίας τὰ ὅμορα, οἱ Θεμισωνεῖς φασιν αὐτοῖς Ἡρακλέα βοηθὸν καὶ Ἀπόλλωνα γενέσθαι καὶ Ἑρμῆν· τούτους γὰρ τοῖς τὰς ἀρχὰς ἔχουσιν ἄντρον τε δι' ὀνειράτων δεῖξαι, καὶ ἀποκρυφθῆναι Θεμισωνεῦσι καὶ γυναιξὶν αὐτῶν καὶ παισὶν ἐς τοῦτο προστάξαι τὸ ἄντρον. (5) καὶ ἐπὶ τούτωι πρὸ τοῦ σπηλαίου σφίσιν ἀγάλματα οὐ μεγάλα ἐστὶν Ἡρακλέους καὶ Ἑρμοῦ τε καὶ Ἀπόλλωνος, Σπηλαῖται καλούμενοι. τὸ δὲ ἀπέχει ὅσον τριάκοντα τοῦ ἄστεως σταδίους, ὕδατος δέ εἰσιν ἐν αὐτῶι πηγαί· οὔτε δὲ ἔσοδος ἐς αὐτὸ φέρει οὔτε ἐπὶ πολὺ ἡ αὐγὴ δίεισι τοῦ ἡλίου, τοῦ τε ὀρόφου τὰ πλείονα ἐγγυτάτω τοῦ ἐδάφους γίνεται.

3 STEPH. BYZ. s.v. Ἰκόνιον· πόλις Λυκαονίας πρὸς τοῖς ὅροις τοῦ Ταύρου. φασὶ δὲ ὅτι ἦν τις Ἀννακός, ὃς ἔζησεν ὑπὲρ τὰ τριακόσια ἔτη· τοὺς δὲ πέριξ μαντεύσασθαι, ἕως τίνος βιώσεσθαι. ἐδόθη δὲ χρησμός, ὅτι τούτου τελευτήσαντος πάντες διαφθαρήσονται. οἱ δὲ Φρύγες ἀκούσαντες ἐθρήνουν σφοδρῶς, ὅθεν καὶ παροιμία 'τὸ ἐπὶ Ἀννακοῦ κλαύσειν' ἐπὶ τῶν λίαν οἰκτιζομένων. γενομένου δὲ τοῦ κατακλυσμοῦ ἐπὶ Δευκαλίωνος, πάντες διεφθάρησαν. ἀναξηρανθείσης δὲ τῆς γῆς, ὁ Ζεὺς ἐκέλευσε τῶι Προμηθεῖ καὶ τῆι Ἀθηνᾶι εἴδωλα διαπλάσαι ἐκ τοῦ πηλοῦ, καὶ προσκαλεσάμενος τοὺς ἀνέμους ἐμφυσῆσαι πᾶσιν ἐκέλευσε καὶ ζῶντα ἀποτελέσαι. διὰ οὖν τὰς εἰκόνας ἐκεῖ διαγραφῆναι Ἰκόνιον κληθῆναι. Cf. 795 F 2.

4 DIODOR. 3, 67, 5 (= DIONYS. SKYT. 32 F 8): πρὸς δὲ τούτοις (Linos, Thamyras, Orpheus, Pronapides) Θυμοίτην τὸν Θυμοίτου τοῦ Λαομέδοντος κατὰ τὴν ἡλικίαν γεγονότα τὴν Ὀρφέως, ‹ὃν› πλανηθῆναι κατὰ

---

1 ἐκδείρειν CDA 3 λέγεται: καλεῖται dett. 15 τε Bkr δὲ o 16 τούτου P[1]y 17 σφίσιν Goldhagen φασὶν (φησὶν L) o 18 ἀπέχει L -ειν r 23 ἀνακός R; cf. 795 F 2 26 ὅθεν καὶ R ἀφ' οὗ VP ἀννακοῦ P ἀνακοῦ RV κλαύσει? Mei κλαῦσαι? Mue 29 εἴδωλα om. R[1] διαπλάσαι VP ἀναπλάσαι R πυλοῦ V τοῦ τοὺς R 30 ἀπολέσαι R 34 ‹ὃν› Jac τὴν D τοῦ r γεγονότος πλαν. Grupppe

πολλοὺς τόπους τῆς οἰκουμένης, καὶ παραβαλεῖν τῆς Λιβύης εἰς τὴν πρὸς ἑσπέραν χώραν [τῆς οἰκουμένης] ἕως ὠκεανοῦ, θεάσασθαι δὲ καὶ τὴν Νῦσαν, ἐν ἧι μυθολογοῦσιν οἱ ἐγχώριοι [ἀρχαῖοι] τραφῆναι τὸν Διόνυσον, καὶ τὰς κατὰ μέρος τοῦ θεοῦ τούτου πράξεις μαθόντα παρὰ τῶν Νυσαέων συντάξασθαι τὴν Φρυγίαν ὀνομαζομένην ποίησιν, ἀρχαικοῖς τῆι τε διαλέκτωι καὶ τοῖς γράμμασι χρησάμενον.

5 Cicero *De n. d.* 3, 42: *alter* (scil. *Hercules*) *traditur Nilo natus Aegyptius, quem aiunt Phrygias litteras conscripsisse.*

6 a) Tatian. Πρ. Ἑλλ. 27: Διαγόρας Ἀθηναῖος ἦν· ἀλλὰ τοῦτον ἐξορχησάμενον τὰ παρ' Ἀθηναίοις μυστήρια τετιμωρήκατε, καὶ τοῖς Φρυγίοις αὐτοῦ λόγοις ἐντυγχάνοντες ἡμᾶς μεμισήκατε. **b)** Al-Mubassir *Leben Zenons von Elea* (F. Rosenthal *Orientalia* N. S. 6, 1931, p. 21 ff.): *zu ihrer zeit* (scil. des Leukippos, Herakleitos . . . Demokrates) *lebte Diagoras der Gottlose . . . . . . nach seinem tode fand man bei ihm ein buch, geschrieben in der sprache der einwohner Phrygiens, voll von schmähungen über die göttlichen dinge.*

7 Diog. Laert. 9, 49: τάττουσι δέ τινες κατ' ἰδίαν ἐκ τῶν 'Υπομνημάτων (*scil.* des Demokritos 263 T 1; Vorsokr.[5] 68 [55] A 33) καὶ ταῦτα· . . . Χαλδαικὸς λόγος· Φρύγιος λόγος . . .

8 a) Plutarch. *De Is.* 28 p. 362 A: ἐπεὶ δὲ κομισθεὶς (*scil.* der gott von Sinope) ὤφθη, συμβαλόντες οἱ περὶ Τιμόθεον τὸν ἐξηγητὴν καὶ Μανέθωνα (609 T 3) τὸν Σεβεννύτην . . . . πείθουσι τὸν Πτολεμαῖον (Lagu) ὡς ἑτέρου θεῶν οὐδενὸς ἀλλὰ Σαράπιδός ἐστιν. **b)** Tacit. *Hist.* 4, 83, 2: *Timotheum Atheniensem e gente Eumolpidarum, quem ut antistitem caerimoniarum Eleusine exciverat.* **c)** Arnob. *Adv. nat.* 5, 5: *apud Timotheum, non ignobilem theologorum unum nec non apud alios aeque doctos super Magna deorum Matre superque sacris eius origo haec sita est, ex reconditis antiquitatum libris et ex intimis eruta, quemadmodum ipse scribit insinuatque mysteriis. in Phrygiae finibus e.q.s.* **d)** Steph. Byz. s.v. Γάλλος· ποταμὸς Φρυγίας. οἱ περίοικοι κατὰ μὲν Τιμόθεον Ποταμογαλλῖται, κατὰ δὲ Προμαθίδαν (430 F 6) Ποταμογαλληνοί, οὓς παρατίθεται ὁ Πολυίστωρ ἐν τῶι Περὶ Φρυγίας γ̄ (73 F 74) κτλ. Cf. F 11.

9 Plutarch. b. Euseb. *P.E.* 3, 1, 1: ὅτι μὲν οὖν ἡ παλαιὰ φυσιολογία καὶ παρ' Ἕλλησι καὶ βαρβάροις λόγος ἦν φυσικὸς ἐγκεκαλυμμένος μύθοις, τὰ πολλὰ δι' αἰνιγμάτων καὶ ὑπονοιῶν ἐπίκρυφος καὶ μυστηριώδης θεολογία, τά τε λαλούμενα τῶν σιγωμένων ἀσαφέστερα τοῖς πολλοῖς ἔχοντα καὶ τὰ σιγώ-

---

2 [τῆς οἰκ.] Rhodomannus 3 [ἀρχαῖοι] Vogel 5 ἀρχαικοῖς Ddf -κῶς ο 9 Ἀθηναῖος: lapsus calami? 13 Demokrates: *i.e.* Demokritos 24 *Eleusine* Gronov *eleusim* M 32 φυσιολογία BO φιλοσοφία A 33 ἐγκεκαλυμμένος Mras ἐκκε- BO ἐγγεγραμμένος A ἐγκεκρυμμένος Gaisford 34 καὶ δι' Dübner ἀπόκρυφος A 35 ἀσαφέστερα Reitzenstein σαφέστερα ο ἔχουσα Wyttenbach

μενα τῶν λαλουμένων ὑποπτότερα, δῆλόν ἐστιν ἐν τοῖς Ὀρφικοῖς ἔπεσι (p. 316 Kern) καὶ τοῖς Αἰγυπτιακοῖς καὶ Φρυγίοις λόγοις· μάλιστα δὲ οἱ περὶ τὰς τελετὰς ὀργιασμοὶ καὶ τὰ δρώμενα συμβολικῶς ἐν ταῖς ἱερουργίαις τὴν τῶν παλαιῶν ἐμφαίνει διάνοιαν.

10 STRABON 10, 3, 7 p. 466 (= 468 F 2): τοιούτους γάρ τινας δαίμονας ἢ προπόλους θεῶν τοὺς Κουρῆτάς φασιν οἱ [δὲ] παραδόντες τὰ Κρητικὰ καὶ τὰ Φρύγια...

11 PLUTARCH. *De Is.* 28 p. 362 B: (F 8a)... διὸ πᾶσι κοινὸς ὁ Σάραπίς ἐστιν, ὡς δὴ τὸν Ὄσιριν οἱ τῶν ἱερῶν μεταλαβόντες ἴσασιν. (29) οὐ γὰρ ἄξιον προσέχειν τοῖς Φρυγίοις γράμμασιν, ἐν οἷς λέγεται † χαροπῶς τοὺς μὲν τοῦ Ἡρακλέους γενέσθαι θυγάτηρ, † ἰσαιακοῦ δὲ τοῦ Ἡρακλέους ὁ Τυφών· οὐδὲ Φυλάρχου (81 F 78) μὴ καταφρονεῖν γράφοντος κτλ.

12 SCHOL. APOLL. RHOD. 1, 558: Λυσίμαχος ὁ Ἀλεξανδρεὺς ἐν τῶι δευτέρωι τῶν Νόστων (382 F 8) κατὰ λέξιν λέγει· «Σουίδας (602 F 7) γὰρ καὶ Ἀριστοτέλης ὁ περὶ Εὐβοίας πεπραγματευμένος (423 F 2) καὶ ὁ τοὺς Φρυγίους λόγους γράψας καὶ Δαίμαχος (65 F 2) καὶ Διονύσιος ὁ Χαλκιδεὺς (IV) οὐ τὴν περὶ Ἀχιλλέως διεσπαρμένην ἀφείκασιν μένειν ἐπὶ χώρας δόξαν, ἀλλὰ τοὐναντίον οἱ μὲν ἐκ Θέτιδος αὐτὸν νομίζουσι γεγονέναι τῆς Χείρωνος, Δαίμαχος δὲ ἐκ Φιλομήλας τῆς Ἄκτορος».

13 DAMASC. *De princ.* 282 (II p. 154, 15 Ruelle): ἥ τε γὰρ Ῥέα πάντων ἐστὶ ῥοὴ κατὰ τὸν ἐν Κρατύλωι (p. 402 B) Σωκράτην· καὶ πάντα ἵστησιν ἐν ἑαυτοῖς καὶ ἀνακαλεῖται πρὸς ἑαυτήν, ὡς καὶ οἱ Φρύγιοι διδάσκουσι λόγοι.

XXVIII. PONTOS (HELLESPONTOS; PROPONTIS)

(Cf. No. 430/5; 471/4; sect. XXX Skythen)

—. ALEXANDROS POLYHISTOR c. 80/35*

ΠΕΡΙ ΕΥΞΕΙΝΟΥ ΠΟΝΤΟΥ

273 F 14-16.

---

1 ὑπόπτερα B δῆλον BO κατάδηλόν A ἐστιν ἐν BO ἔστι A ὀρφαικοῖς A 3 ἐν ταῖς BO ἔν τε A τήν τε A 4 παλαιῶν A πασῶν BGNV (O unleserlich) 6 προσπόλους BD [δὲ] Tyrwhitt 10-11 Χάροπος τοῦ Emperius Σαράπιδος Sieveking 11 Ἶσις, Αἰακοῦ Emperius 12 Φυλάρχου Xyl φιλάρχου O 14 λέγει Jac λέγων O 15 ὁ – πεπραγματευμένος Keil οἱ – νοι L 17 μένειν Wil ἡμῖν O

801. AGATHON

Helle[…] Zeit

ΠΟΝΤΟΥ ΠΕΡΙΠΛΟΥΣ

1 (IV 291, 3) Schol. Apoll. Rhod. 2, 1015 b: Ἱρὸν δ' αὖτ' ἐπὶ τοῖσιν ὄρος καὶ γαῖαν ἄμειβον, / ἧι ἔνι Μοσσύνοικοι ἀν' οὔρεα ναιετάουσιν / μόσσυνας] τοῦτο καθῆκόν ἐστιν εἰς τὸν Εὔξεινον πόντον· μέμνηται αὐτοῦ καὶ Κτησίας ἐν τῶι ᾱ Περιόδων (688 F 56) καὶ Σουίδας ἐν β̄ (602 F 3) περὶ τοὺς λεγομένους Μάκρωνας. ἀκριβέστερον δὲ ὁ Ἀγάθων ἐν τῶι τοῦ Πόντου Περίπλωι ἑκατὸν ἀπέχειν σταδίους αὐτό φησι τῆς Τραπεζοῦντος. ὁ δὲ Εἰρηναῖος (Haupt *Opusc.* II 440 F 21) Μνησίμαχόν φησι περὶ αὐτοῦ ἱστορεῖν ἐν τῶι ᾱ Περὶ Σκυθῶν (841 F 1), ἀγνοῶν· ὁ γὰρ Μνησίμαχος ἐν τῆι Εὐρώπηι μέμνηται κειμένης τῆς Σκυθικῆς, ὁ δὲ Ἀπολλώνιος καὶ οἱ προειρημένοι ἐν τῆι Ἀσίαι καταλέγονται. τρίτον ἐστὶν Ἱερὸν ὄρος τῆς Θράικης.

802. ANDRON VON TEOS

s. IV

T

1 (II 348) Arrian. *Ind.* 18, 8: (trierarchen der Indusflotte Alexanders) Ἄνδρων δὲ Καβήλεω Τήιος.

F

ΠΕΡΙ ΠΟΝΤΟΥ (ΠΕΡΙΠΛΟΥΣ)

1 (1) Schol. Apoll. Rhod. 2, 353/6 b: γῆν Μαριανδυνῶν .... / ἔνθα μὲν εἰς Ἀίδαο καταιβάτις ἐστὶ κέλευθος, / ἄκρη τε προβλὴς Ἀχερουσιὰς ὑψόθι τείνει] ἄκρα κατὰ τὴν Ἡράκλειαν, ἣν Ἀχερούσιον καλοῦσιν οἱ ἐγχώριοι. Ἡρόδωρος (31 F 31) δὲ καὶ Εὐφορίων ἐν τῶι Ξενίωι (F 35 Scheidw) ἐκείνηι φασὶ τὸν Κέρβερον ἀνῆχθαι ὑπὸ τοῦ Ἡρακλέους καὶ ἐμέσαι χολήν, ἐξ ἧς φυῆναι τὸ καλούμενον ἀκόνιτον φάρμακον. Ἄνδρων δὲ ὁ Τήιος ἐν τῶι Περίπλωι φησὶν Ἀχέροντά τινα βασιλεῦσαι τῶν τόπων, οὗ θυγατέρα γενέσθαι Δαρδανίδα. ταύτηι δὲ Ἡρακλέα πλησιάσαντα ἐσχηκέναι υἱὸν Ποιμένα λεγόμενον· ἀποθανόντων δὲ κατὰ τὸν αὐτὸν χρόνον τῆς τε Δαρδανίδος καὶ τοῦ υἱοῦ αὐτῆς Ποιμένος,

---

3 Ἱρὸν O. Schneider ἱερὸν o 6 περιόδων P -δου L Περιόδωι? σουίδας P σωίδας L 7 Ἀγάθων: Ἄνδρων (no. 802)? Mue 8 τῆς PH τοῦ L 12 καταλέγονται Wendel διαλέγονται o διαγίνονται Keil ‹περὶ τοῦ› ἐν τ. Ἀ. διαλέγονται o. δ. ‹περὶ αὐτῶν›? τρίτον ἐστὶν L ἔστι καὶ ἕτερον P 17 δὲ Καβήλεω v δεκαβήλεω A 21 ἄκρη Pierson ἀκτή o 22 ἀχερούσιον L -σιάδα P 27 ταύτην δὲ Ἡρακλέους πλησιάσαντος Wendel; doch s. auch F 3

τοὺς τόπους ἀπ' αὐτῶν κληθῆναι κατὰ τὴν Ἡράκλειαν Δαρδανίδα τε καὶ Ποιμένα.

2 (2) SCHOL. APOLL. RHOD. 2, 946/54 b: αὐτίκα δ' Ἀσσυρίης ἐπέβαν χθονός, ἔνθα Σινώπην / θυγατέρ' Ἀσωποῖο καθίσσατο καί οἱ ὄπασσεν / παρθενίην Ζεὺς αὐτός κτλ.] τὴν δὲ τῶν Ἀσσυρίων χώραν Λευκοσύρων φησὶ καλεῖσθαι Ἄνδρων ἐν τῶι Περὶ Πόντου κατὰ ἀντέμφασιν τῶν ἐν τῆι Φοινίκηι Σύρων. ὅτι δέ τινες τοὺς Ἀσσυρίους Λευκοσύρους λέγουσι, φησὶ καὶ Ἀρτεμίδωρος (V).

3 (2) SCHOL. APOLL. RHOD. 2, 946/54 c (ET. GEN. s.v. Σινώπη): πόλις τοῦ Πόντου ἡ Σινώπη, ὠνομασμένη ἀπὸ τῆς Ἀσωποῦ θυγατρὸς Σινώπης, ἣν ἁρπάσας Ἀπόλλων ἀπὸ Ὑρίας ἐκόμισεν εἰς Πόντον, καὶ μιγεὶς αὐτῆι ἔσχε Σύρον, ἀφ' οὗ οἱ Σύροι. ἐν δὲ τοῖς Ὀρφικοῖς (F 45 Kern) Ἄρεως καὶ Αἰγίνης γενεαλογεῖται, κατὰ δέ τινας Ἄρεως καὶ Παρνάσσης. κατ' Εὔμηλον (F 8 Ki) καὶ Ἀριστοτέλην (IV) Ἀσωποῦ . . . . . ὁ δὲ Τήιος Ἄνδρων φησὶ μίαν τῶν Ἀμαζόνων φυγοῦσαν εἰς Πόντον γήμασθαι τῶι τῶν τόπων ἐκείνων βασιλεῖ, πίνουσάν τε πλεῖστον οἶνον ὀνομασθῆναι Σανάπην [ἐπειδὴ μεγαφραζόμενον τοῦτο σημαίνει τὴν πολλὰ πίνουσαν]. ἐπεὶ δὲ οἱ μέθυσοι σανάπαι λέγονται παρὰ Θραιξίν, ἧι διαλέκτωι χρῶνται καὶ Ἀμαζόνες, κληθῆναι τὴν πόλιν<Σανάπην>, ἔπειτα κατὰ φθορὰν Σινώπην. ἡ δὲ μέθυσος Ἀμαζὼν ἐκ <ταύτης> τῆς πόλεως παρεγένετο πρὸς Λυτίδαν, ὥς φησιν Ἑκαταῖος (1 F 34).

ZWEIFELHAFTES

4 (II 349) SCHOL. APOLL. RHOD. 2, 168 b: περὶ τοῦ Βοσπόρου <ἡ> ἱστορία παρὰ τοῖς παλαιοῖς διαφόρως λέγεται. Νύμφις (432 F 11) μὲν γάρ φησιν ἱστορεῖν † Ἀκαρίωνα (VI), ὡς ἄρα Φρύγες διαπλεῦσαι βουλόμενοι τὸν πορθμὸν κατεσκεύασαν ναῦν ἔχουσαν ἐγκεχαραγμένην προτομὴν ταύρου [[ὥσπερ καὶ ὁ Φρίξος ἐπὶ κριοπρώρου σκάφους ἔπλευσεν]], διαπλευσάντων δὲ αὐτῶν ἀπὸ τοῦ εἴδους τοῦ περὶ τὸ σκάφος προσαγορευθῆναι τὸ πέλαγος Βόσπορον. Ἔφορος δὲ (70 F 156) δὲ κτλ.

5-8 transp. Wendel aus c; das scholion ist stark verwirrt u. die herstellung von F 2-3 nicht überall sicher 5-6 Λευκοσύρων Deicke λευκόσυρον L λευκοσυρίαν P 6-7 ἀντέμφασιν Lobeck ἀντίφρασιν L ἀντιδιαστολήν P 7 σύρων. ὁ δὲ τήιος – πίνουσαν (lin. 14-17 = F 3) L 11 Ὑρίας Hoefer συρίας L βοιωτίας P 12 σύροι. τὴν δὲ – σύρων (= F 2) L 14-17 ὁ δὲ Τήιος – πίνουσαν transp. Warnkross aus b (hinter Σύρων lin. 7) 17 [ ] Wendel 18 ἐπεὶ δὲ οἱ L ἐπειδὴ αἱ Wendel 19 <καὶ> κληθῆναι Wendel <Σανάπην> Keil 20 σινώπην P -πη L <ταύτης> Jac 21 λυτίδαν L αὐτίδαν P 23 <ἡ> F 24 Ἀκαρίωνα: Ἄνδρωνα Mue Χάρωνα (262 F 16) Weichert Αἰσχρίωνα (VI) M. Schmidt 26-27 [[ ]] randnotiz; in P hier, hinter Βόσπορον (lin. 28) L 26 ὥσπερ καὶ P οἱ δὲ καθὸ L καθὼς Wendel

803. APOLLODOROS

Hellenist. Zeit?

ΠΟΝΤΙΚΑ Ᾱ -?

1 (IV 309) Schol. Apoll. Rhod. 2, 159/60 b: ξανθὰ δ' ἐρεψάμενοι δάφνηι καθύπερθε μέτωπα (die Argonauten im lande des Amykos)] οὐ ποιητικῶς δὲ ἀνέπλασε τὴν δάφνην ὁ Ἀπολλώνιος, ἀλλ' ἔστιν ὄντως ἐν τῶι τόπωι δένδρον δάφνης εὐμέγεθες, ὥς φησιν Ἀνδροίτας ὁ Τενέδιος ἐν τῶι Περίπλωι τῆς Προποντίδος (599 F 1), παριστορῶν ὅτι Ἄμυκος μὲν καλεῖται τὸ χωρίον, ἔχει δὲ ἐποίκια καὶ νῦν, διέστηκε δὲ τοῦ Χαλκηδονίου Νυμφαίου σταδίους ξ̄. Ἀπολλόδωρος δὲ ἐν τῶι πρώτωι τῶν Ποντικῶν ἡρῶιον αὐτόθι φησὶν εἶναι Ἀμύκου· καὶ εἴ τις ἐκ τῆς δάφνης κλάδον λάβοι, εἰς λοιδορίαν ἀνίστησιν.

804. DIONYSIOS VON OLBIA

Hellenist. Zeit?

1 (–) Schol. Apoll. Rhod. 2, 658/9 (Et. Gen. s.v. Κάλπιν): τῆι δ' ἄρ' ἐπὶ προχοὰς Φυλληίδας, ἔνθα πάροιθεν / Διψακὸς υἷ' Ἀθάμαντος ἑοῖς ὑπέδεκτο δόμοισιν / . . . . . τοῦ μέν θ' ἱερὸν αἶψα καὶ εὐρείας ποταμοῖο / ἠιόνας πεδίον τε βαθυρρείοντά τε Κάλπην / δερκόμενοι παράμειβον] Διονύσιος <δὲ> ὁ Ὀλβιανὸς ἱστορεῖ τὰς εὐρείας ἠιόνας λέγεσθαι Ἀχιλλέως δρόμους. <Κάλπις δὲ ποταμὸς Βιθυνίας>.

805. DIOPHANTOS

s. III?

T

1 (IV 396) Agatharchides *De m. Rubr.* 64: τῆς ὅλης οἰκουμένης ἐν τέτταρσι κυκλιζομένης μέρεσιν . . . τὰ μὲν πρὸς ἑσπέραν ἐξείργασται Λύκος (570) τε καὶ Τίμαιος (566), τὰ δὲ πρὸς ἀνατολὰς Ἑκαταῖος (1) καὶ Βάσιλις (718), τὰ δὲ πρὸς ἄρκτους Διόφαντος καὶ Δημήτριος (85), τὰ δὲ πρὸς μεσημβρίαν . . . ἡμεῖς.

F

ΠΟΝΤΙΚΑΙ ΙΣΤΟΡΙΑΙ (ΠΟΝΤΙΚΑ)

***1** (1) Schol. Apoll. Rhod. 3, 240: χρείων Αἰήτης σὺν ἑῆι ναίεσκε δάμαρτι] (Dionysios Skytobrachion 32 F 1b) Ἐπιμενίδης (457 F 11) δέ φησι Κορίνθιον τῶι γένει τὸν Αἰήτην, μητέρα δὲ αὐτοῦ Ἐφύραν φησί. Διόφαντος δὲ ἐν τῆι ᾱ τῶν Ποντικῶν ἱστοριῶν Ἀντιόπην φησὶν Αἰήτου μητέρα.

---

6 Ἄνδρων ὁ Τήιος O. Schneider 16 v.l. κάλπιν 16-17 < > aus Et. Gen.
16 Ὀλβιανὸς Et. Gen. ἀλβανιός Schol τὰς εὐρείας om. Et. Gen. 22 ἑκαταῖος ς
ἀκταῖος A βάσιλις ς βασιλεύς A 29-30 Διόφαντος Hecker διοφάνης o

*2 (3) Steph. Byz. s.v. Ἄβιοι· ἔθνος Σκυθικόν· Ὅμηρος (*Il.* N 6) «‹Θρηικῶν καθορώμενος αἶαν / Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν› / γλακτοφάγων Ἀβίων τε δικαιοτάτων ἀνθρώπων». Ἀλέξανδρος δὲ ἐν τῶι Περὶ Εὐξείνου Πόντου (273 F 14) φησὶν ὡς Διόφαντος εἶπεν οὕτω λέγεσθαι αὐτοὺς διὰ τὸ τὸν Ἀβιανὸν ποταμὸν οἰκεῖν. δικαίους δὲ εἶπεν Ὅμηρος διὰ τὸ μὴ βουληθῆναι μετὰ τῶν Ἀμαζόνων ἐπὶ τὴν Ἀσίαν στατεῦσαι· ἢ ὅτι βίωι ἑδραίωι οὐ χρῶνται οὕτω λέγονται, διὰ τὸ ἐφ' ἁμαξῶν φέρεσθαι.

*3 (2) Steph. Byz. s.v. Λιβυστῖνοι· ἔθνος παρακείμενον Κόλχοις, ὡς Διόφαντος ἐν Ποντικοῖς.

806. GLAUKOS

ΕΞΗΓΗΣΙΣ ΤΟΠΩΝ ΤΩΝ ΚΕΙΜΕΝΩΝ ΕΠ' ΑΡΙΣΤΕΡΑ ΤΟΥ ΠΟΝΤΟΥ ΜΕΡΗ Ᾱ - ?

1 (–) P. Ox. XV 1802, 36 (Glossar): μελύγιον· πομάτιόν τι Σκυθικόν. Γλαῦκος ἐν ᾱ Ἐξηγήσεως τόπων τῶν κειμένων ἐπ' ἀριστερὰ τοῦ Πόντου μέρη· «συνκαταθεμένων δὲ τῶν ἐλατῶν ἔλυσε τὸν σύλλογον, καὶ ἀπολυθέντες ἕκαστος ἐπὶ τὰ ἴδια παρεσκεύαζον τὸ μελύγιον. τοῦτο δὲ τὸ πόμα μεθύσκει μᾶλλον τοῦ οἴνου, γείνεται δὲ ἑψομένου τοῦ μέλιτος μεθ' ὕδατος καὶ βοτάνης τινὸς ἐμβαλλομένης· φέρει γὰρ αὐτῶν ἡ χώρα πολὺ τὸ μέλι, ἔτι δὲ καὶ τὸ ζῦτος, ὃ ποιοῦσιν ἐκ τῆς κέγχρου».

—. PAUSANIAS DER LAKONE — Kaiserzeit?•

ΠΕΡΙ ΕΛΛΗΣΠΟΝΤΟΥ

No. 592.

—. ANDROITAS VON TENEDOS — s. IV/III•?

ΠΕΡΙΠΛΟΥΣ ΤΗΣ ΠΡΟΠΟΝΤΙΔΟΣ

No. 599; (803 F 1).

—. POLEMON VON ILION — c. 200/180•

ΠΕΡΙ ΤΩΝ ΕΝ ΠΟΝΤΩΙ ΠΟΛΕΩΝ

IV.

1 ἄβιοι RP ἀβίων V 3 γαλακτοφάγων RP 4 φησὶν om. P 5 τὸν om. R ‹παρὰ› τὸν ο. Ἀβιανὸν πεδίον? κατοικεῖν R 10 Ποντικοῖς Mue πολιτικοῖς ο 14 *al.* μελύγειον, μελίτ(ε)ιον (s. Komm.) σκυτικον P

807. SYRISKOS VON CHERRONESOS

s. III

T

1 (–) Inschr. Cherronesos (Latyshev I.O.S.P.E. I 344): [Ἡρακλε]ίδας Παρμένοντος εἶ[πε· / ἐπειδὴ] Συρίσκος Ἡρακλείδα τὰ[ς / ἐπιφαν]είας τᾶς Πα[ρ]θένου φιλ[ο/πόνως] γράψας ἀ[νέ]γνω καὶ τ[ὰ /ποτὶ τ]οὺς Βοσ[π]όρου [β]ασιλεῖ[ς / διηγήσα]το, τά [θ' ὑ]πάρξαντα φ[ι/λάνθρωπα ποτὶ τὰ]ς πόλεις ἱστ[ό/ρησεν ἐπιεικ]έως τῶι (δ)άμω[ι, ἵνα λάβοι τιμὰ]ς ἀξίας, δεδόχθ[αι / τᾶι βουλᾶι καὶ τῶι δάμωι ἐ]παινέσα[ι τε αὐτὸν ἐπὶ τούτοις καὶ στεφ]αν[ῶ/σαι τοὺς συμμνάμ]ονας [χρυσέωι στεφ/άνωι τῶν . . . . . .]σίων μιᾶι ἐφ' ἱκ[άδι, καὶ τὸ ἀνάγγ]ελμα γενέσθαι· Ὁ δ[ᾶ/μος στεφα]νοῖ Συρίσκον Ἡρακλε[ί/δα, ὅτι τὰ]ς ἐπιφανείας τᾶς Π[αρ/θένου ἔγρα]ψε καὶ τὰ ποτὶ τὰς [πό/λεις καὶ τοὺς] βασιλεῖς ὑπάρξ[αν/τα φιλάνθρωπα] ἱστόρησε ἀλαθιν[ῶς / καὶ ἐπιεικέως] τᾶι πόλει· ἀνα[γρά/ψαι δὲ τοὺς συμμ]νάμονας εἰ(ς) στ[άλαν / λιθίναν τὸ ψ]άφισμα καὶ θέμε[ν ἐν/τὸς τοῦ προ]νάου τᾶς Παρθέν[ου κτλ.

808. DEMETRIOS VON ODESSOS

(805 T 1?)

T

1 (IV 382) Steph. Byz. s.v. Ὀδησσός· πόλις ἐν τῶι Πόντωι πρὸς τῶι Σαλμυδησσῶι . . . . ὁ πολίτης Ὀδησσίτης καὶ Ὀδησσεύς· ἐχρημάτιζον δὲ Ἡρακλείδης ἱστοριογράφος (VI) καὶ Δημήτριος ὁ περὶ τῆς πατρίδος γράψας.

ΠΕΡΙ ΤΗΣ ΠΑΤΡΙΔΟΣ

—

—. POSEIDONIOS VON OLBIA

(s. IIᵖ?)

ΠΕΡΙ ΤΗΣ ΤΥΡΙΚΗΣ(?) ΚΑΛΟΥΜΕΝΗΣ ΧΩΡΑΣ

279 T 1.

—. ARISTOTELES

ΦΑΣΙΑΝΩΝ ΠΟΛΙΤΕΙΑ

IV.

---

5 φιλ[οπόνως] Bechtel 5-6 τὰ[ς ποτὶ τ]οὺς Β.β. [συνθήκας καὶ] o.ä. Loeper 7 [εὐπρεπ]έως Loeper 9 [Ἀρτεμι]σίων, [Ἀφροδι]σίων o.ä. Loeper [Διονυ]σίων Latyshev

XXIX. ROM UND ITALIEN

a) *ROEMISCHE ANNALISTEN UND HISTORIKER IN GRIECHISCHER SPRACHE*

(Cf. No. 97; 185; 189; 197; 232/3; 235).

809. Q. FABIUS PICTOR

ca. 230/201[a].

T

1 (III 80; p. 5 ff. + 112 f.) **a)** SUDA s.v. Φάβιος Πίκτωρ· συγγραφεὺς Ῥωμαίων. (F 25; cf. F 21). **b)** HIERON. *Epp.* 60, 12, 3: *nobilem virum Quintum Fabium miratur antiquitas, qui etiam Romanae historiae scriptor est, sed magis ex pictura quam litteris nomen invenit.*

2 EUTROP. *Brev.* 3, 5; OROSIUS *Hist.* 4, 13, 6 (= Livius): *traditumque est a Fabio historico* (F 19/20), *qui ei bello* (dem Gallierkrieg 225/2) *interfuit.*

3 **a)** LIVIUS 22, 57, 4: (nach der schlacht bei Cannae a. 216 und verschiedenen prodigien) *decemviri libros adire iussi sunt,* (5) *et Q. Fabius Pictor Delphos ad oraculum missus est sciscitatum, quibus precibus suppliciisque deos possent placare et quaenam futura finis tantis cladibus foret.* **b)** PLUTARCH. *Fabius Max.* 18, 3: ὅσα μέντοι πρὸς ἱλασμοὺς θεῶν ἢ τεράτων ἀποτροπὰς συνηγόρευον οἱ μάντεις ἐπράττετο· καὶ γὰρ εἰς Δελφοὺς ἐπέμφθη θεοπρόπος Πίκτωρ συγγενὴς Φαβίου. **c)** APPIAN. *Annib.* 27, 116: ἡ δὲ βουλὴ Κόιντον μὲν Φάβιον τὸν συγγραφέα τῶνδε τῶν ἔργων ἐς Δελφοὺς ἔπεμπε χρησόμενον περὶ τῶν παρόντων. **d)** LIVIUS 23, 11 (a. 216): *Q. Fabius Pictor legatus a Delphis Romam rediit responsumque ex scripto recitavit. divi divaeque in eo erant, quibus quoque modo supplicaretur.* (2) *tum 'si ita faxitis, Romani, vestrae res meliores facilioresque erunt, magisque ex sententia res publica vestra vobis procedet victoriaque duelli populi Romani erit.* (3) *Pythio Apollini re publica vestra bene gesta servataque <e> lucris meritis donum mittitote deque praeda manubiis spoliisque honorem habetote. lasciviam a vobis prohibetote'.* (4) *haec ubi ex Graeco carmine interpretata recitavit, tum dixit se oraculo egressum extemplo iis omnibus divis rem divinam ture ac vino fecisse,* (5) *iussumque a templi antistite sicut coronatus laurea corona et oraculum adisset et rem divinam fecisset, ita*

---

7 ff.: die erste zahl in ( ) bezieht sich auf C. Muellers *FHG*, die zweite auf H. Peters *Hist. Rom. Rell.*[2] I 1914 23 *rediit* V *redit* O 24 *divi divaeque* Bkr *divinique* M *dividique* P 27 <*e*> Madvig 28 *mittitote* CA *mittito* MP 30 *iis* MPCRA *his* D 32 *corona* om. D del. Gronov *oraculum* A[2] *cornaculum* M *cornaeulum* r

coronatum navem adscendere nec ante deponere eam quam Romam pervenisset; (6) *se quaecumque imperata sint cum summa religione ac diligentia exsecutum coronam Romae in ara Apollinis deposuisse.* (7) *senatus decrevit, ut eae res divinae supplicationesque primo quoque tempore cum cura fierent.*

4 **a)** DION. HAL. *A.R.* 1, 6, 2: ὁμοίας δὲ τούτοις (840 F 1a) καὶ οὐδὲν διαφόρους ἐξέδωκαν ἱστορίας καὶ Ῥωμαίων ὅσοι τὰ παλαιὰ ἔργα τῆς πόλεως Ἑλληνικῆι διαλέκτωι συνέγραψαν, ὧν εἰσι πρεσβύτατοι Κόιντός τε Φάβιος καὶ Λεύκιος Κίγκιος (810), ἀμφότεροι κατὰ τοὺς Φοινικικοὺς ἀκμάσαντες πολέμους. τούτων δὲ τῶν ἀνδρῶν ἑκάτερος οἷς μὲν αὐτὸς ἔργοις παρεγένετο, διὰ τὴν ἐμπειρίαν ἀκριβῶς ἀνέγραψε, τὰ δὲ ἀρχαῖα τὰ μετὰ τὴν κτίσιν τῆς πόλεως γενόμενα κεφαλαιωδῶς ἐπέδραμεν ..... (7, 3) καὶ τὰ μὲν παρὰ τῶν λογιωτάτων ἀνδρῶν, οἷς εἰς ὁμιλίαν ἦλθον, διδαχῆι παραλαβών, τὰ δ'ἐκ τῶν ἱστοριῶν ἀναλεξάμενος, ἃς οἱ πρὸς αὐτῶν ἐπαινούμενοι Ῥωμαίων συνέγραψαν Πόρκιός τε Κάτων (p. 55 Pet) καὶ Φάβιος Μάξιμος (p. CLXXVIII) καὶ Οὐαλέριος <ὁ> Ἀντιεύς (p. 238) καὶ Λικίνιος Μάκερ (p. 298) Αἴλιοί τε (p. 308) καὶ Γέλλιοι (p. 148) καὶ Καλπούρνιοι (p. 120) καὶ ἕτεροι συχνοὶ πρὸς τούτοις ἄνδρες οὐκ ἀφανεῖς, ἀπ' ἐκείνων ὁρμώμενος τῶν πραγματειῶν (εἰσὶ δὲ ταῖς Ἑλληνικαῖς χρονογραφίαις ἐοικυῖαι) τότε ἐπεχείρησα τῆι γραφῆι. **b)** — — 7, 71, 1: Κοίντωι Φαβίωι (F 13b) βεβαιωτῆι χρώμενος καὶ οὐδεμιᾶς ἔτι δεόμενος πίστεως ἑτέρας· παλαιότατος γὰρ ἀνὴρ τῶν τὰ Ῥωμαικὰ συνταξαμένων καὶ πίστιν οὐκ ἐξ ὧν ἤκουσε μόνον, ἀλλὰ καὶ ἐξ ὧν αὐτὸς ἔγνω παρεχόμενος. **c)** LIVIUS 1, 44, 2: *scriptorum antiquissimus Fabius Pictor* (F 9; cf. F 10; 14). **d)** — 22, 7, 4 (F 22): *Fabium aequalem temporibus huiusce belli.* Cf. T 6b.

5 **a)** CICERO *De div.* 1, 43: *in nostri* (?) *Fabii Pictoris Graecis annalibus* (F 1). **b)** PLIN. *N.H.* 10, 71; 14, 89: *Fabius Pictor in annalibus suis* (F 21; 26). **c)** GELLIUS *N.A.* 5, 4: *Fabii annales .... in libro quarto* (F 33). **d)** NONIUS p. 518, 34 M: *Fabius Pictor Rerum Gestarum lib.* I (F 32) ... *idem Juris Pontificii lib. III* ... **e)** DION. HAL. *A.R.* 4, 30: Φαβίου ... ἐν ταῖς ἱστορίαις αὐτοῦ (T 7; F 7b). **f)** DIODOR. 7, 5: Φάβιος ὁ τὰς Ῥωμαίων πράξεις ἀναγράψας (F 2; cf. T 1).

6 **a)** POLYB. 1, 14: οὐχ ἧττον δὲ τῶν προειρημένων παρωξύνθην ἐπιστῆσαι τούτωι τῶι πολέμωι (*scil.* τῶι πρώτωι συστάντι Ῥωμαίοις καὶ Καρχηδονίοις

---

3 *ara* v *aram* o 8 τε om. A καὶ om. A 9 Κίγκιος v κίκκιος AB 11 <καὶ> τὰ μετά? 12 παρὰ: περὶ B[ac] 14 ῥωμαῖοι B 15 [Μάξιμος]? doch s. T 12; F 34 <ὁ> Buecheler 16 Μάκερ Αἴλιοί v μακαιρέλιοί AB 17 ὁρμώμενοι A 20 ἀνὴρ Kiessling ὁ ἀ. A ἀ. B 25 *in nostri* Hertz *in numerum* o *in Numerii* Sigonius *inclusum* van den Bergh *in veterrumis* Pluess *nimirum in* Dederich, Peter *Fabii* v *fabi* o 28 *Rerum Romanarum* Luc. Mueller 29 *Juris Pontificii* Bentinus *uris pontifex* o

περὶ Σικελίας) καὶ διὰ τὸ τοὺς ἐμπειρότατα δοκοῦντας γράφειν ὑπὲρ αὐτοῦ, Φιλῖνον (174) καὶ Φάβιον, μὴ δεόντως ἡμῖν ἀπηγγελκέναι τὴν ἀλήθειαν. (2) ἑκόντας μὲν οὖν ἐψεῦσθαι τοὺς ἄνδρας οὐχ ὑπολαμβάνω, στοχαζόμενος ἐκ τοῦ βίου καὶ τῆς αἱρέσεως αὐτῶν, δοκοῦσι δέ μοι πεπονθέναι τι παραπλήσιον τοῖς ἐρῶσι. (3) διὰ γὰρ τὴν αἵρεσιν καὶ τὴν ὅλην εὔνοιαν Φιλίνωι μὲν πάντα δοκοῦσιν οἱ Καρχηδόνιοι πεπρᾶχθαι φρονίμως καλῶς ἀνδρωδῶς, οἱ δὲ Ῥωμαῖοι τἀναντία, Φαβίωι δὲ τοὔμπαλιν τούτων .... (15, 12) Φιλῖνον μὲν οὖν παρ' ὅλην ἄν τις τὴν πραγματείαν εὕροι τοιοῦτον ὄντα (wie in 174 F 2), παραπλησίως δὲ καὶ Φάβιον, ὡς ἐπ' αὐτῶν δειχθήσεται τῶν καιρῶν (F 18; 21).

b) – 3, 9: τίνος δὴ χάριν ἐμνήσθην Φαβίου καὶ τῶν ὑπ' ἐκείνου γεγραμμένων (F 21); (2) οὐχ ἕνεκα τῆς πιθανότητος τῶν εἰρημένων, ἀγωνιῶν μὴ πιστευθῆι παρά τισιν – ἡ μὲν γὰρ παρὰ τούτων ἀλογία καὶ χωρὶς τῆς ἐμῆς ἐξηγήσεως αὐτὴ δι' αὑτῆς δύναται θεωρεῖσθαι [παρὰ] τοῖς ἐντυγχάνουσιν – (3) ἀλλὰ τῆς τῶν ἀναλαμβανόντων τὰς ἐκείνου βύβλους ὑπομνήσεως, ἵνα μὴ πρὸς τὴν ἐπιγραφὴν ἀλλὰ πρὸς τὰ πράγματα βλέπωσιν. (4) ἔνιοι γὰρ οὐκ ἐπὶ τὰ λεγόμενα συνεπιστήσαντες ἀλλ' ἐπ' αὐτὸν τὸν λέγοντα, καὶ λαβόντες ἐν νῶι διότι κατὰ τοὺς καιροὺς ὁ γράφων γέγονε, καὶ τοῦ συνεδρίου μετεῖχε τῶν Ῥωμαίων, πᾶν εὐθέως ἡγοῦνται τὸ λεγόμενον ὑπὸ τούτου πιστόν. (5) ἐγὼ δέ φημι μὲν δεῖν οὐκ ἐν μικρῶι προσλαμβάνεσθαι τὴν τοῦ συγγραφέως πίστιν, οὐκ αὐτοτελῆ δὲ κρίνειν, τὸ δὲ πλεῖον ἐξ αὐτῶν τῶν πραγμάτων ποιεῖσθαι τοὺς ἀναγινώσκοντας τὰς δοκιμασίας.

7 DION. HAL. *A.R.* 4, 30, 2: ἐνταῦθα (F 7) πάλιν ἀναγκάζομαι μεμνῆσθαι Φαβίου καὶ τὸ ῥάιθυμον αὐτοῦ περὶ τὴν ἐξέτασιν τῶν χρόνων ἐλέγχειν.

8 a) CICERO *De legg.* 1, 6: *nam post annales pontificum maximorum, quibus nihil potest esse ieiunius, si aut ad Fabium aut ad ... Catonem aut ad Pisonem* (p. 120 Pet) *aut ad Fannium* (p. 139) *aut ad Vennonium* (p. 142) *venias, quamquam ex his alius alio plus habet virium, tamen quid tam exile quam isti omnes?* b) – *De or.* 2, 51: *Graeci quoque ipsi sic initio scriptitarunt, ut noster Cato, ut Pictor, ut Piso*; (52) *erat enim historia nihil aliud nisi annalium confectio* (840 F 2a) .... (53) *hanc similitudinem scribendi* (*scil.* mit den Annales maximi) *multi secuti sunt, qui sine ullis ornamentis monumenta solum temporum, hominum, locorum gestarumque rerum reliquerunt*; *itaque qualis apud Graecos Pherecydes* (3), *Hellanicus* (4), *Acusilas* (2) *fuit aliique permulti, talis noster Cato et Pictor et Piso, qui neque tenent, quibus rebus ornetur oratio* (*modo enim huc ista sunt*

6 πεπραχέναι Bkr   10 δή: δὲ CDE om. M   11 μὴ <οὐ> Naber   12 παρὰ τούτωι Cas περὶ τούτων Hultsch   13 [παρὰ] Campe   17 τοὺς <αὐτοὺς> Rei   25 *ieiunius* Ursinus *iucundius* o   28 *ipsi* om. M   32 *gestarum* M   35 huc: hinc M

importata) et dum intellegatur quid dicant, unam dicendi laudem putant esse brevitatem. (54) *paulum se erexit et addidit maiorem historiae sonum vocis vir optimus, Crassi familiaris, Antipater* (p. 158 Pet); *ceteri non exornatores rerum, sed tantum modo narratores fuerunt.*

9 a) PLIN. *N.H.* 1, 10: *volucrum naturae . . . ex auctoribus . . . M. Varrone . . . Nepote, Fabio Pictore . . .* **b)** – – 1, 14; 15: *frugiferae arbores . . . ex auctoribus . . . M. Varrone, D. Silano, Fabio Pictore . . .* **c)** – – 1, 28: *medicinae ex animalibus . . . . ex auctoribus M. Varrone, L. Pisone, Antiate, Fabio, Verrio, Fabiano, Catone censorio . . .*

10 GELLIUS *N.A.* 5, 4: *apud Sigillaria forte in libraria ego et Julius Paulus poeta, vir memoria nostra doctissimus, consideramus, atque ibi expositi erant Fabii Annales, bonae atque sincerae vetustatis libri, quos venditor sine mendis esse contendebat.* (2) *grammaticus autem quispiam de nobilioribus ab emptore ad spectandos libros adhibitus repperisse unum in libro mendum dicebat; sed contra librarius in quodvis pignus vocabat, si in una uspiam littera delictum esset.* (F 33).

11 ORIGO GENT. ROM. (titulus): *a Iano et Saturno conditoribus, per succedentes sibimet reges usque ad consulatum decimum Constantii, digesta ex auctoribus Verrio Flacco, Antiate (ut quidem idem Verrius maluit dicere quam Antia), tum ex Annalibus Pontificum, dein Cincio* (810), *Egnatio, Veratio, Fabio Pictore, Licinio Macro, Varrone, Caesare, Tuberone, atque ex omni priscorum historia; proinde ut quisque neotericorum asseveravit, hoc est et Livius et Victor Afer.*

12 CICERO *Brut.* 81: *sed vivo Catone* († a. 149[a]) *minores natu multi uno tempore oratores floruerunt. nam et A. Albinus, is qui Graece scripsit historiam* (812), *qui consul cum L. Lucullo fuit* (a. 151[a]) *et litteratus et disertus fuit; et tenuit cum hoc locum quendam etiam Ser. Fulvius* (cos. a. 135), *et una Ser. Fabius Pictor et iuris et litterarum et antiquitatis bene peritus, Quintusque Fabius Labeo* (cos. a. 183?) *fuit ornatus isdem fere laudibus.*

13 MACROB. *Sat.* 1, 16, 25: *Fabius Maximus Servilianus* (cos. a. 142) *pontifex in libro duodecimo . . .* Cf. F 35.

F

1. (GRIECHISCHE) ANNALEN

1 (20; 3) CICERO *De div.* 1, 43: *sint haec* (Ennius *A.* 35 ff.; *Sc.* 35 ff. V[2]), *ut dixi, somnia fabularum, hisque adiungatur etiam Aeneae somnium,*

---

7 *fabio* M (1, 14) *favio* DF[a] *flavio* r (1, 15) 9 *fabio verrio* (E[a] a *verio verrico* u. *verrico* r) o [*Fabio*] v *Flacco Verrio* (1, 29) Mayhoff 14 *repperisse* <*se*> Hertz 19 *Antiate* Schott *-tum* OP 20 *Veranio* Schanz *Macro* Schott *marco* OP 26 *una ser.* BMH *una serius* F *una Sextus* Niebuhr *una* [*Ser.*] Bader *Numerius* (cf. T 5a) Martha; doch s. Muenzer *RE* VI col. 1843, 63 ff.

quod in nostri(?) *Fabii Pictoris Graecis annalibus eiusmodi est, ut omnia, quae ab Aenea gesta sunt, quaeque illi acciderunt, ea fuerint, quae ei secundum quietem visa sunt.*

2 (21; 4) DIODOR. 7, 5 (Synkell. p. 366, 1 ed. Bonn.; Euseb. Arm. p. 136, 25 Karst): (7, 4 = Exc. De virt. I p. 211: Aineias verlässt die Troas). Περὶ τῆς ἀρχαιογονίας Ῥωμαίων ἐκ τῆς ζ Διοδώρου Σικελιώτου. Ἔνιοι μὲν οὖν τῶν συγγραφέων πλανηθέντες ὑπέλαβον τοὺς περὶ τὸν Ῥωμύλον ἐκ τῆς Αἰνείου θυγατρὸς γεννηθέντας κεκτικέναι τὴν Ῥώμην· τὸ δ'ἀληθὲς οὐχ οὕτως ἔχει, πολλῶν μὲν ἐν τῶι μεταξὺ χρόνωι τοῦ τε Αἰνείου καὶ Ῥωμύλου γεγονότων βασιλέων, ἐκτισμένης δὲ τῆς Ῥώμης κατὰ τὸ δεύτερον ἔτος τῆς ζ̄ ὀλυμπιάδος (751/0). αὕτη γὰρ ἡ κτίσις ὑστερεῖ τῶν Τρωικῶν ἔτεσι τρισὶ πλείοσι τῶν ῡ καὶ λ. (2) Αἰνείας γὰρ μετὰ τὴν ἅλωσιν τῆς Τροίας ἐτῶν τριῶν παρελθόντων παρέλαβε τὴν τῶν Λατίνων βασιλείαν, καὶ κατασχὼν τριετῆ χρόνον ἐξ ἀνθρώπων ἠφανίσθη, καὶ τιμῶν ἔτυχεν ἀθανάτων. (3) τὴν δ'ἀρχὴν διαδεξάμενος Ἀσκάνιος υἱὸς ἔκτισεν Ἄλβαν τὴν νῦν καλουμένην Λόγγαν, ἣν ὠνόμασεν ἀπὸ τοῦ ποταμοῦ τοῦ τότε μὲν Ἄλβα καλουμένου, νῦν δὲ Τιβέρεως ὀνομαζομένου. (4) περὶ δὲ τῆς προσηγορίας ταύτης Φάβιος ὁ τὰς Ῥωμαίων πράξεις ἀναγράψας ἄλλως μεμυθολόγηκε. φησὶ γὰρ Αἰνείαι γενέσθαι λόγιον τετράπουν αὐτῶι καθηγήσεσθαι πρὸς κτίσιν πόλεως· μέλλοντος δ'αὐτοῦ θύειν ὗν ἔγκυον τῶι χρώματι λευκήν, ἐκφυγεῖν ἐκ τῶν χειρῶν, καὶ διωχθῆναι πρός τινα λόφον, πρὸς ὧι κομισθεῖσαν τεκεῖν λ̄ χοίρους. (5) τὸν δὲ Αἰνείαν τό τε παράδοξον θαυμάσαντα καὶ τὸ λόγιον ἀνανεούμενον ἐπιχειρῆσαι μὲν οἰκίσαι τὸν τόπον, ἰδόντα δὲ κατὰ τὸν ὕπνον ὄψιν ἐναργῶς διακωλύουσαν καὶ συμβουλεύουσαν μετὰ λ̄ ἔτη κτίζειν, ὅσοσπερ ὁ τῶν τεχθέντων ἀριθμὸς ἦν, ἀποστῆναι [δὲ] τῆς προθέσεως. (6) *Nach Ênias' tode habe Askanios, der sohn desselben, als er die regierung übernommen hatte, sodann nach verlauf von 30 jahren den hügel bebaut und den namen der stadt geheissen Alban nach der farbe der sau (die Latiner nämlich nennen nach ihrer sprache 'die weisse' alban); er habe derselben noch einen anderen namen beigelegt, Longa, was verdolmetscht heisst 'die lange', von wegen dass sie in die breite eng und in die länge gross war.* (7) *und hieran anschliessend sagt er* (d.h. Diodor) *weiter fortfahrend: Askanios machte zur stadt des königtums Alban,*

1 *in nostri*: app. zu T 5a. 6-11: Exc. Eus. Cram. *A.P.* II p. 163 (= E) 7 πλανηθέντες E Synk *sagenschreibende* Arm *Romiliden* Arm 8 γεννηθέντας E Arm -τα Synk κεκτηκέναι B ἐκτικέναι E 10 Ῥώμης E Arm πόλεως Synk ζ E Synk *in der dritten* Arm [γὰρ] m 11 τρισὶ (EB) om. A *mehr als* 433 Arm 13 τριετῆ χρόνον Synk *eine dreissigjährige zeit* Arm (doch s.p. 139, 23 Karst) 14 ἀλβὰν B *Longas* Arm 15 ἀλβὰ B ἀλαὰ A *Alban* Arm Ἀλβᾶ Ddf 16-17 *Phabios der die Römergeschichte geschrieben hat* Arm 18 αὐτὸ B καθηγήσεσθαι (Arm) Wesseling -σασθαι Synk 19 καὶ διωχθῆναι (Arm) Ddf καταδιωχθῆναι Synk(?) 20 ὧι B ὃ A *wo* Arm ὃν Goar 22 οἰκίσαι (Arm) Wesseling οἰκῆσαι Synk 24 [δὲ] Goar δὴ Gutschmid 24-p. 850, 2 fehlen bei Synk

und nicht wenige von den umliegenden ansiedelungen stürzte er(?). Er ward ein hochansehnlicher mann, und verstarb nach einer regierung von 38 jahren.

3 (2; 6) **a)** DION. HAL. *A.R.* 1, 74 (EUSEB. ARM. *Chron.* p. 135, 11 Karst; Synkell. p. 364, 19): τὸν δὲ τελευταῖον γενόμενον τῆς Ῥώμης οἰκισμὸν ἢ κτίσιν ἢ ὅτι δήποτε χρὴ καλεῖν Τίμαιος μὲν ὁ Σικελιώτης (566 F 60) οὐκ οἶδ' ὅτωι κανόνι χρησάμενος ἅμα Καρχηδόνι κτιζομένηι γενέσθαι φησὶν ὀγδόωι καὶ τριακοστῶι πρότερον ἔτει τῆς πρώτης ὀλυμπιάδος (814/3ª). Λεύκιος δὲ Κίγκιος (810 F 1) ... περὶ τὸ τέταρτον ἔτος τῆς δωδεκάτης ὀλυμπιάδος (729/8ª). Κόιντος δὲ Φάβιος •κατὰ τὸ πρῶτον ἔτος τῆς ὀγδόης ὀλυμπιάδος (748/7ª). (2) Κάτων δὲ Πόρκιος (F 17 Pet) Ἑλληνικὸν μὲν οὐχ ὁρίζει χρόνον .... ἔτεσιν ἀποφαίνει δυσὶ καὶ τριάκοντα καὶ τετρακοσίοις ὑστεροῦσαν τῶν Ἰλιακῶν· ὁ δὲ χρόνος οὗτος ἀναμετρηθεὶς ταῖς Ἐρατοσθένους χρονογραφίαις (241 F 1b) κατὰ τὸ πρῶτον ἔτος πίπτει τῆς ἑβδόμης ὀλυμπιάδος (752/1ª) .... οὐ γὰρ ἠξίουν, ὡς Πολύβιος .... (6, 11 a, 2 B-W), τοσοῦτο μόνον εἰπεῖν ὅτι κατὰ τὸ δεύτερον ἔτος τῆς ἑβδόμης ὀλυμπιάδος (751/0ª) τὴν Ῥώμην ἐκτίσθαι πείθομαι ..... **b)** SOLIN. *Coll.* 1, 27: *Cincio Romam duodecima olympiade placet conditam, Pictori octava, Nepoti* (F 3 Pet) *et Lutatio* (F 12 Pet) *opiniones Eratosthenis et Apollodori comprobantibus olympiadis septimae anno secundo, Pomponio Attico* (F 2 Pet) *et M. Tullio olympiadis sextae anno tertio* (754/3ª). *conlatis igitur nostris et Graecorum temporibus invenimus incipiente olympiade septima* (752/1ª) *Romam conditam, anno post Ilium captum quadringentesimo tricesimo tertio.*

4 (1; 5) **a)** PLUTARCH. *Romul.* 3: τοῦ δὲ πίστιν ἔχοντος λόγου μάλιστα καὶ πλείστους μάρτυρας τὰ μὲν κυριώτατα πρῶτος εἰς τοὺς Ἕλληνας ἐξέδωκε Διοκλῆς Πεπαρήθιος (820), ὧι καὶ Φάβιος ὁ Πίκτωρ ἐν τοῖς πλείστοις ἐπηκολούθηκε. γεγόνασι δὲ καὶ περὶ τούτων ἕτεραι διαφοραί, τύπωι δ' εἰπεῖν τοιοῦτός ἐστι.

(2) τῶν ἀπ' Αἰνείου γεγονότων ἐν Ἄλβηι βασιλέων εἰς ἀδελφοὺς δύο Νομήτορα καὶ Ἀμούλιον ἡ διαδοχὴ καθῆκεν· Ἀμουλίου δὲ νείμαντος τὰ πάντα δίχα, τῆι δὲ βασιλείαι τὰ χρήματα καὶ τὸν ἐκ Τροίας κομισθέντα χρυσὸν ἀντιθέντος, εἵλετο τὴν βασιλείαν ὁ Νομήτωρ. (3) ἔχων οὖν ὁ Ἀμούλιος τὰ χρήματα καὶ πλέον ἀπ' αὐτῶν δυνάμενος τοῦ Νομήτορος, τήν τε βασιλείαν ἀφείλετο ῥαιδίως, καὶ φοβούμενος ἐκ τῆς θυγατρὸς αὐτοῦ γενέσθαι παῖδας ἱέρειαν τῆς Ἑστίας ἀπέδειξεν, ἄγαμον καὶ παρθένον ἀεὶ βιωσομένην· ταύτην οἱ μὲν Ἰλίαν, οἱ δὲ Ῥέαν, οἱ δὲ Σιλουίαν ὀνομάζουσι. (4) φωρᾶται δὲ μετ' οὐ πολὺν χρόνον κυοῦσα παρὰ τὸν καθεστῶτα ταῖς Ἑστιάσι νόμον· καὶ τὸ μὲν ἀνήκεστα μὴ παθεῖν αὐτὴν ἡ τοῦ βασιλέως θυγάτηρ Ἀνθὼ παρῃτήσατο, δεηθεῖσα τοῦ πατρός, εἵρχθη F 30
δὲ καὶ δίαιταν εἶχεν ἀνεπίμεικτον, ὅπως μὴ λάθοι τεκοῦσα τὸν Ἀμούλιον· ἔτεκε δὲ δύο

---

1 *stürzte er* korrupt; s. Karst p. 264 Z-B 239 4 γενόμενον (hinter καλεῖν) B 5 δήποτε om. B 8 Κίγκιος: καίκιος B κίγκλιος Eus Synk 9 φάιος δὲ κόιντος Synk *Érintos* (aus Κόιντος) *der Phabier* Arm *Fabius Pictor libro primo* Origo Gent. Rom. 20, 1 25 ὁ Πίκτωρ Sintenis ούίκτωρ ο 34 Ἰλίαν: c. 8, 4

παῖδας ὑπερφυεῖς μεγέθει καὶ κάλλει. (5) δι' ὃ καὶ μᾶλλον ὁ Ἀμούλιος φοβηθεὶς ἐκέλευσεν αὐτοὺς ὑπηρέτην λαβόντα ῥῖψαι· τοῦτον ἔνιοι Φαιστύλον ὀνομάζεσθαι λέγουσιν, οἱ δ' οὐ τοῦτον ἀλλὰ τὸν ἀνελόμενον. ἐνθέμενος οὖν εἰς σκάφην τὰ βρέφη κατέβη μὲν ἐπὶ τὸν ποταμὸν ὡς ῥίψων, ἰδὼν δὲ κατιόντα πολλῶι ῥεύματι καὶ τραχυνόμενον ἔδεισε προσελθεῖν, ἐγγὺς δὲ τῆς ὄχθης καταθεὶς ἀπηλλάσσετο. (6) τοῦ δὲ ποταμοῦ κατακλύζοντος, ἡ πλήμμυρα τὴν σκάφην ὑπολαβοῦσα καὶ μετεωρίσασα πράιως κατήνεγκεν εἰς χωρίον ἐπιεικῶς μαλθακόν, ὃ νῦν Κερμαλὸν καλοῦσι, πάλαι δὲ Γερμανόν, ὡς ἔοικεν ὅτι καὶ τοὺς ἀδελφοὺς γερμανοὺς ὀνομάζουσιν. (4) ἦν δὲ πλησίον ἐρινεός, ὃν 'Ρωμινάλιον ἐκάλουν, ἢ διὰ τὸν 'Ρωμύλον ὡς οἱ πολλοὶ νομίζουσιν, ἢ διὰ τὸ τὰ μηρυκώμενα τῶν θρεμμάτων ἐκεῖ διὰ τὴν σκιὰν ἐνδιάζειν, ἢ μάλιστα διὰ τὸν τῶν βρεφῶν θηλασμόν, ὅτι τήν τε θηλὴν ῥοῦμαν ὠνόμαζον οἱ παλαιοί, καὶ θεόν τινα τῆς ἐκτροφῆς τῶν νηπίων ἐπιμελεῖσθαι δοκοῦσαν ὀνομάζουσι 'Ρουμιλίαν, καὶ θύουσιν αὐτῆι νηφάλια, καὶ γάλα τοῖς ἱεροῖς ἐπισπένδουσιν. (2) ἐνταῦθα δὴ τοῖς βρέφεσι κειμένοις τήν τε λύκαιναν ἱστοροῦσι θηλαζομένην καὶ δρυοκολάπτην F 31/2
τινὰ παρεῖναι συνεκτρέφοντα καὶ φυλάττοντα. νομίζεται δ' Ἄρεως ἱερὰ τὰ ζῶια, τὸν δὲ δρυοκολάπτην καὶ διαφερόντως Λατῖνοι σέβονται καὶ τιμῶσιν, ὅθεν οὐχ ἥκισα πίστιν ἔσχεν ἡ τεκοῦσα τὰ βρέφη τεκεῖν ἐξ Ἄρεως φάσκουσα. (3) καίτοι τοῦτο παθεῖν αὐτὴν ἐξαπατηθεῖσαν λέγουσιν, ὑπὸ τοῦ Ἀμουλίου διαπαρθενευθεῖσαν ἐν ὅπλοις ἐπιφανέντος αὐτῆι καὶ συναρπάσαντος. (4) οἱ δὲ τοὔνομα τῆς τροφοῦ δι' ἀμφιβολίαν ἐπὶ τὸ μυθῶδες ἐκτροπὴν τῆι φήμηι παρασχεῖν· λούπας γὰρ ἐκάλουν οἱ Λατῖνοι τῶν τε θηρίων τὰς λυκαίνας καὶ τῶν γυναικῶν τὰς ἑταιρούσας, εἶναι δὲ τοιαύτην τὴν Φαιστύλου γυναῖκα τοῦ τὰ βρέφη θρέψαντος, Ἄκκαν Λαρεντίαν ὄνομα. (5) ταύτηι δὲ καὶ θύουσι 'Ρωμαῖοι, καὶ χοὰς ἐπιφέρει τοῦ Ἀπριλίου μηνὸς [αὐτῆι] ὁ τοῦ Ἄρεως ἱερεύς, καὶ Λαρεντίαν καλοῦσι τὴν ἑορτήν. [[(5) geschichte von der zweiten Larentia]]. (6) τὰ δὲ βρέφη Φαιστύλος Ἀμουλίου συφορβὸς ἀνείλετο λαθὼν ἅπαντας, ὡς δ' ἔνιοί φασι τῶν εἰκότων ἐχόμενοι μᾶλλον εἰδότος τοῦ Νομήτορος καὶ συγχορηγοῦντος τροφὰς κρύφα τοῖς τρέφουσι. (2) καὶ γράμματα λέγονται καὶ τἆλλα μανθάνειν οἱ παῖδες εἰς Γαβίους κομισθέντες, ὅσα χρὴ τοὺς εὖ γεγονότας· κληθῆναι δὲ καὶ τούτους ἀπὸ τῆς θηλῆς ἱστοροῦσι 'Ρωμύλον καὶ 'Ρέμον, ὅτι θηλάζοντες ὤφθησαν τὸ θηρίον. (3) ἡ μὲν οὖν ἐν τοῖς σώμασιν εὐγένεια καὶ νηπίων ὄντων εὐθὺς ἐξέφαινε μεγέθει καὶ ἰδέαι τὴν φύσιν, αὐξόμενοι δὲ θυμοειδεῖς ἦσαν ἀμφότεροι καὶ ἀνδρώδεις καὶ φρονήματα πρὸς τὰ φαινόμενα δεινὰ καὶ τόλμαν ὅλως ἀνέκπληκτον ἔχοντες. ὁ δὲ 'Ρωμύλος γνώμηι τε χρῆσθαι μᾶλλον ἐδόκει καὶ πολιτικὴν ἔχειν σύνεσιν, ἐν ταῖς περὶ νομὰς καὶ κυνηγίας πρὸς τοὺς γειτνιῶντας ἐπιμειξίαις πολλὴν ἑαυτοῦ παρέχων κατανόησιν ἡγεμονικοῦ μᾶλλον ἢ πειθαρχικοῦ φύσει γεγονότος. (4) διὸ τοῖς μὲν ὁμοφύλοις(?) ἢ ταπεινοτέροις προσφιλεῖς ἦσαν, ἐπιστάτας δὲ καὶ διόπους βασιλικοὺς καὶ ἀγελάρχας ὡς μηδὲν αὐτῶν ἀρετῆι διαφέροντας ὑπερφρονοῦντες οὔτ' ἀπειλῆς ἐφρόντιζον οὔτ' ὀργῆς. (5) ἐχρῶντο δὲ διαίταις καὶ διατριβαῖς ἐλευθερίοις, οὐ τὴν σχολὴν ἐλευθέριον ἡγούμενοι καὶ τὴν ἀπονίαν, ἀλλὰ γυμνάσια καὶ θήρας καὶ δρόμους καὶ τὸ ληιστὰς

---

2 ὑπηρέτην: cf. c. 8, 2; F 4^{b} c. 79, 4-5; 9 7 Κερμαλὸν Xyl κερμανὸν O 8 ὀνομάζουσιν *scil.* 'Ρωμαῖοι (Λατῖνοι; cf. c. 4, 2; 3; 8, 7; F 2) 10 ἐνδιάζειν Xyl ἐνδιαζόντων O 22 ἄκκαν λαρεντίαν A ἀκκαλαρεντίαν UM 23 [αὐτῆι] Benseler 24 καὶ ἀκκαλαρεντίαν M καὶ Λαρεντάλια? 29 καὶ οὗτοι? ῥέμον U ῥῶμον MA^{c} cf. c. 7, 2; 8, 1; 31, 8 (= Butas 840 F 29); F 4^{b} c. 79, 10; cf. Niese *H.Z.* 59 p. 495 n. 6 31 αὐξανόμενοι Zonar. 7, 2; aber cf. F 4^{b} c. 79, 10 36 ὁμοφύλοις: ὁμοδούλοις Lindskog 39 ἀπονίαν UA ἀπόνοιαν M

ἀλέξασθαι καὶ κλῶπας ἑλεῖν καὶ βίας ἐξελέσθαι τοὺς ἀδικουμένους. ἦσαν δὴ διὰ ταῦτα περιβόητοι. (7) γενομένης δέ τινος πρὸς τοὺς Νομήτορος βουκόλους τοῖς Ἀμουλίου διαφορᾶς καὶ βοσκημάτων ἐλάσεως, οὐκ ἀνασχόμενοι συγκόπτουσι μὲν αὐτοὺς καὶ τρέπονται, ἀποτέμνονται δὲ τῆς ἀγέλης συχνήν· ἀγανακτοῦντος δὲ τοῦ Νομήτορος ὠλιγώρουν. συνῆγον δὲ καὶ προσεδέχοντο πολλοὺς μὲν ἀπόρους, πολλοὺς δὲ δούλους, θράσους ἀποστατικοῦ καὶ φρονήματος ἀρχὰς ἐνδιδόντες. (2) τοῦ δὲ Ῥωμύλου πρός τινα θυσίαν ἀποτραπομένου – καὶ γὰρ ἦν φιλοθύτης καὶ μαντικός –, οἱ τοῦ Νομήτορος βοτῆρες τῶι Ῥέμωι μετ' ὀλίγων βαδίζοντι προστυχόντες ἐμάχοντο· καὶ γενομένων πληγῶν καὶ τραυμάτων ἐν ἀμφοτέροις, ἐκράτησαν οἱ τοῦ Νομήτορος, καὶ συνέλαβον ζῶντα τὸν Ῥέμον. (3) ἀναχθέντος οὖν αὐτοῦ πρὸς τὸν Νομήτορα καὶ κατηγορηθέντος, αὐτὸς μὲν οὐκ ἐκόλασε χαλεπὸν ὄντα δεδιὼς τὸν ἀδελφόν, ἐλθὼν δὲ πρὸς ἐκεῖνον ἐδεῖτο τυχεῖν δίκης, ἀδελφὸς ὢν καὶ καθυβρισμένος ὑπ' οἰκετῶν ἐκείνου βασιλέως ὄντος. (4) συναγανακτούντων δὲ τῶν ἐν Ἄλβηι καὶ δεινὰ πάσχειν οἰομένων τὸν ἄνδρα παρ' ἀξίαν, κινηθεὶς ὁ Ἀμούλιος αὐτῶι παραδίδωσι τῶι Νομήτορι τὸν Ῥέμον ὅ τι βούλοιτο χρήσασθαι. (5) παραλαβὼν δ' ἐκεῖνος, ὡς ἧκεν οἴκαδε, θαυμάζων μὲν ἀπὸ τοῦ σώματος τὸν νεανίσκον ὑπερφέροντα μεγέθει καὶ ῥώμηι πάντας, ἐνορῶν δὲ τῶι προσώπωι τὸ θαρραλέον καὶ ἰταμὸν τῆς ψυχῆς ἀδούλωτον καὶ ἀπαθὲς ὑπὸ τῶν παρόντων, ἔργα δ' αὐτοῦ καὶ πράξεις ὅμοια τοῖς βλεπομένοις ἀκούων, τὸ δὲ μέγιστον (ὡς ἔοικε) θεοῦ συμπαρόντος καὶ συνεπευθύνοντος ἀρχὰς μεγάλων πραγμάτων, ἁπτόμενος ἐπινοίαι <καὶ> τύχηι τῆς ἀληθείας ἀνέκρινεν ὅστις εἴη καὶ ὅθεν γένοιτο, φωνῆι τε πραιείαι καὶ φιλανθρώπωι βλέμματι πίστιν αὐτῶι μετ' ἐλπίδος ἐνδιδούς. (6) ὁ δὲ θαρρῶν ἔλεγεν 'ἀλλ' οὐδὲν ἀποκρύψομαί σε· καὶ γὰρ εἶναι δοκεῖς Ἀμουλίου βασιλικώτερος· ἀκούεις γὰρ καὶ ἀνακρίνεις πρὶν ἢ κολάζειν, ὁ δ' ἀκρίτους ἐκδίδωσι. πρότερον μὲν ἑαυτοὺς οἰκετῶν βασιλέως Φαιστύλου καὶ Λαρεντίας ἠπιστάμεθα παῖδας (ἐσμὲν δὲ δίδυμοι), γενόμενοι δ' ἐν αἰτίαι πρὸς σὲ καὶ διαβολαῖς καὶ τοῖς περὶ ψυχῆς ἀγῶσιν ἀκούομεν μεγάλα περὶ ἑαυτῶν· εἰ δὲ πιστά, κρινεῖν ἔοικε νῦν ὁ κίνδυνος. (7) γοναὶ μὲν γὰρ ἡμῶν ἀπόρρητοι λέγονται, τροφαὶ δὲ καὶ τιθηνήσεις ἀτοπώτεραι νεογνῶν, οἷς ἐρρίφημεν οἰωνοῖς καὶ θηρίοις, ὑπὸ τούτων τρεφόμενοι, μαστῶι λυκαίνης καὶ δρυοκολάπτου ψωμίσμασιν ἐν σκάφηι τινὶ κείμενοι παρὰ τὸν μέγαν ποταμόν. (8) ἔστι δ' ἡ σκάφη καὶ σώιζεται, χαλκοῖς ὑποζώσμασι γραμμάτων ἀμυδρῶν ἐγκεχαραγμένων, ἃ γένοιτ' ἂν ὕστερον ἴσως ἀνωφελῆ γνωρίσματα τοῖς τοκεῦσιν ἡμῶν ἀπολομένων'. (9) ὁ μὲν οὖν Νομήτωρ ἔκ τε τῶν λόγων τούτων καὶ πρὸς τὴν ὄψιν εἰκάζων τὸν χρόνον, οὐκ ἔφευγε τὴν ἐλπίδα σαίνουσαν, ἀλλ' ἐφρόντιζεν ὅπως τῆι θυγατρὶ περὶ τούτων κρύφα συγγενόμενος φράσειεν· ἐφρουρεῖτο γὰρ ἔτι καρτερῶς. (8) ὁ δὲ Φαιστύλος ἀκούσας τήν τε σύλληψιν τοῦ Ῥέμου καὶ τὴν παράδοσιν, τὸν μὲν Ῥωμύλον ἠξίου βοηθεῖν, τότε σαφῶς διδάξας περὶ τῆς γενέσεως· πρότερον δ' ὑπηνίττετο καὶ παρεδήλου τοσοῦτον ὅσον προσέχοντας μὴ μικρὸν φρονεῖν· αὐτὸς δὲ τὴν σκάφην κομίζων ἐχώρει πρὸς τὸν Νομήτορα (?), σπουδῆς καὶ δέους μεστὸς ὢν διὰ τὸν καιρόν. (2) ὑποψίαν οὖν τοῖς περὶ τὰς πύλας φρουροῖς τοῦ βασιλέως παρέχων καὶ ὑφορώμενος ὑπ' αὐτῶν καὶ ταραττόμενος πρὸς τὰς ἀνακρίσεις, οὐκ ἔλαθε τὴν σκάφην τῶι χλαμυδίωι περικαλύπτων. ἦν δέ τις ἐν αὐτοῖς ἀπὸ τύχης τῶν τὰ παιδάρια ῥῖψαι λαβόντων καὶ γεγονότων περὶ τὴν ἔκθεσιν· (3) οὗτος ἰδὼν

---

1 ἀλέξασθαι UA ἀμύνασθαι M 4 ἀγέλης Zon λείας Plut 7 ῥέμω UA ῥώμω M μετ' ὀλίγον UM 11 ἀδελφόν: *i.e.* Ἀμούλιον 13-14 αὐτὸς o. [τῶι Νομήτορι]? 19 <καὶ> τύχηι Ald τύχη o ὅθεν Zon ὅπως Plut 23 ἐσμὲν γάρ? 25 κρινεῖν Cobet κρίνειν o 29 γρ. ἀμυδρῶν: cf. Thukyd. 6, 54, 7 31 τε om. M 36 πρὸς τὸν Ἀμούλιον (cf. 7, 4; 8, 5)? 38 ὑφορώμενος Plut (Zon): ἐρωτώμενος Bkr φωρώμενος Naber 38-39 περὶ τὰς ἀποκρίσεις Zon (V) 40 παιδία M

τὴν σκάφην τότε καὶ γνωρίσας τῆι κατασκευῆι καὶ τοῖς γράμμασιν, ἔτυχεν ὑπονοίαι τοῦ ὄντος, καὶ οὐ παρημέλησεν, ἀλλὰ φράσας τὸ πρᾶγμα τῶι βασιλεῖ κατέστησεν εἰς ἔλεγχον. (4) ἐν δὲ πολλαῖς καὶ μεγάλαις ἀνάγκαις ὁ Φαιστύλος οὔτ' ἀήττητον ἑαυτὸν διεφύλαξεν οὔτε παντάπασιν ἐκβιασθείς, σώιζεσθαι μὲν ὡμολόγησε τοὺς παῖδας, εἶναι δ' ἄπωθεν τῆς Ἄλβης ἔφη νέμοντας· αὐτὸς δὲ τοῦτο πρὸς τὴν Ἰλίαν φέρων βαδίζειν, πολλάκις ἰδεῖν καὶ θιγεῖν ἐπ' ἐλπίδι βεβαιοτέραι τῶν τέκνων ποθήσασαν. (5) ὅπερ οὖν οἱ ταραττόμενοι καὶ μετὰ δέους ἢ πρὸς ὀργὴν πράττοντες ὁτιοῦν ἐπιεικῶς πάσχουσι, συνέπεσε παθεῖν τὸν Ἀμούλιον· ἄνδρα γὰρ ἄλληι τε χρηστὸν καὶ τοῦ Νομήτορος φίλον ὑπὸ σπουδῆς ἔπεμψε, διαπυθέσθαι τοῦ Νομήτορος κελεύσας εἴ τις ἥκοι λόγος εἰς αὐτὸν ὑπὲρ τῶν παίδων ὡς περιγενομένων. (6) ἀφικόμενος οὖν ὁ ἄνθρωπος καὶ θεασάμενος ὅσον οὔπω τὸν Ῥέμον ἐν περιβολαῖς καὶ φιλοφροσύναις τοῦ Νομήτορος, τήν τε πίστιν ἰσχυρὰν ἐποίησε τῆς ἐλπίδος, καὶ παρεκελεύσατο τῶν πραγμάτων ὀξέως ἀντιλαμβάνεσθαι, καὶ συνῆν αὐτὸς ἤδη καὶ συνέπραττεν. (7) ὁ δὲ καιρὸς οὐδὲ βουλομένοις ὀκνεῖν παρεῖχεν· ὁ γὰρ Ῥωμύλος ἐγγὺς ἦν ἤδη, καὶ πρὸς αὐτὸν ἐξέθεον οὐκ ὀλίγοι τῶν πολιτῶν μίσει καὶ φόβωι τοῦ Ἀμουλίου. πολλὴν δὲ καὶ σὺν αὐτῶι δύναμιν ἦγε συλλελοχισμένην εἰς ἑκατοστύας· ἑκάστης δ' ἀνὴρ ἀφηγεῖτο χόρτου καὶ ὕλης ἀγκαλίδα κοντῶι περικειμένην ἀνέχων – μανίπλα ταύτας Λατῖνοι καλοῦσιν· ἀπ' ἐκείνου δὲ καὶ νῦν ἐν τοῖς στρατεύμασι τούτους μανιπλαρίους ὀνομάζουσιν. (8) ἅμα δὲ τοῦ μὲν Ῥέμου τοὺς ἐντὸς ἀφιστάντος, τοῦ δὲ Ῥωμύλου προσάγοντος ἔξωθεν, οὔτε πράξας οὐδὲν ὁ τύραννος οὔτε βουλεύσας σωτήριον ἑαυτῶι, διὰ τὸ ἀπορεῖν καὶ ταράττεσθαι καταληφθεὶς ἀπέθανεν.

(9) ὧν τὰ πλεῖστα καὶ Φαβίου λέγοντος καὶ τοῦ Πεπαρηθίου Διοκλέους, ὃς δοκεῖ πρῶτος ἐκδοῦναι Ῥώμης κτίσιν, ὕποπτον μὲν ἐνίοις ἐστὶ τὸ δραματικὸν καὶ πλασματῶδες, οὐ δεῖ δ' ἀπιστεῖν, τὴν τύχην ὁρῶντας οἵων ποιημάτων δημιουργός ἐστι καὶ τὰ Ῥωμαίων πράγματα λογιζομένους, ὡς οὐκ ἂν ἐνταῦθα προὔβη δυνάμεως, μὴ θείαν τιν' ἀρχὴν λαβόντα καὶ μηδὲν μέγα μηδὲ παράδοξον ἔχουσαν.

(9) Ἀμουλίου δ' ἀποθανόντος καὶ τῶν πραγμάτων καταστάντων, Ἄλβην μὲν οὔτ' οἰκεῖν μὴ ἄρχοντες οὔτ' ἄρχειν ἐβούλοντο τοῦ μητροπάτορος ζῶντος, ἀποδόντες δὲ τὴν ἡγεμονίαν ἐκείνωι καὶ τῆι μητρὶ τιμὰς πρεπούσας ἔγνωσαν οἰκεῖν καθ' ἑαυτούς, πόλιν ἐν οἷς χωρίοις ἐξ ἀρχῆς ἐνετράφησαν κτίσαντες· αὕτη γὰρ εὐπρεπεστάτη τῶν αἰτιῶν ἐστιν κτλ.

b) Dion. Hal. *A.R.* 1, 79: μέχρι μὲν δὴ τούτων (geburt von Ilia's zwillingssöhnen) οἱ πλεῖστοι τῶν συγγραφέων τὰ αὐτὰ ἢ μικρὸν παραλλάττοντες οἱ μὲν ἐπὶ τὸ μυθωδέστερον, οἱ δ' ἐπὶ τὸ τῆι ἀληθείαι ἐοικὸς μᾶλλον ἀποφαίνουσι, περὶ δὲ τῶν ἑξῆς διαφέρονται. (2) οἱ μὲν γὰρ εὐθὺς ἀναιρεθῆναι λέγουσι τὴν κόρην, οἱ δ' ἐν εἱρκτῆι φυλαττομένην ἀδήλωι διατελέσαι δόξαν τῶι δήμωι παρασχοῦσαν ἀφανοῦς θανάτου· ἐπικλασθῆναι δὲ τὸν Ἀμόλιον εἰς τοῦτο ἱκετευούσης τῆς θυγατρὸς χαρίσασθαι τὴν ἀνεψιὰν αὐτῆι· ἦσαν δὲ σύντροφοί τε καὶ ἡλικίαν ἔχουσαι τὴν αὐτὴν ἀσπαζόμεναί τε ἀλλήλας ὡς ἀδελφάς. χαριζόμενον οὖν ταύτηι τὸν Ἀμόλιον (μόνη δ' ἦν αὐτῶι θυγάτηρ) θανάτου μὲν ἀπολῦσαι τὴν Ἰλίαν, φυλάττειν δὲ καθείρξαντα ἐν ἀφανεῖ, λυθῆναι δὲ αὐτὴν ἀνὰ χρόνον Ἀμολίου τελευτήσαντος. (3) περὶ μὲν οὖν

---

1 τῆι ‹τε› ο. (eher) [τοῖς γράμμασιν]? 3 δὲ ταῖς M 5 ἔφη om. Zon 13 αὐτὸς (Zon) Sintenis αὐτοῖς Plut 18 ἅμα δὲ Cor ἅ. δὴ ο 22-26: cf. Dion. Hal. *A.R.* 1, 77 25 καὶ: ἀλλὰ Madvig 26 ἔχοντα Wil 35-36 ἀφανοῦς θ.τ.δ. παρασχοῦσαν B 36 [τὸν] Sintenis 37 θυγατρὸς: F 4 a c. 3, 4 38 αὐτὴν A ταύτην B ἀδελφαί Rei [τὸν] Sintenis 39 ἰλίαν A ἰλουίαν B (immer)

τῆς 'Ιλίας οὕτω διαλλάττουσιν αἱ τῶν παλαιῶν γραφαί, λόγον δ' ἔχουσιν ὡς ἀληθεῖς ἑκάτεραι· διὰ τοῦτο κἀγὼ μνήμην ἀμφοτέρων ἐποιησάμην, ὁποτέραι δὲ χρὴ πιστεύειν αὐτός τις εἴσεται τῶν ἀναγνωσομένων.

(4) περὶ δὲ τῶν ἐκ τῆς 'Ιλίας γενομένων Κόιντος μὲν Φάβιος ὁ Πίκτωρ λεγόμενος, ὧι Λεύκιός τε Κίγκιος (810 F 2) καὶ Κάτων Πόρκιος (F 15 Pet) καὶ Πείσων Καλπούρνιος (F 3 Pet) καὶ τῶν ἄλλων συγγραφέων οἱ πλείους ἠκολούθησαν, † τῆι γραφῆι, ὡς κελεύσαντος 'Αμολίου τὰ βρέφη λαβόντες ἐν σκάφηι κείμενα τῶν ὑπηρετῶν τινες ἔφερον ἐμβαλοῦντες εἰς τὸν ποταμὸν ἀπέχοντα τῆς πόλεως ἀμφὶ τοὺς ἑκατὸν εἴκοσι σταδίους. (5) ἐπεὶ δὲ ἐγγὺς ἐγένοντο καὶ εἶδον ἔξω τοῦ γνησίου ῥείθρου τὸν Τέβεριν ὑπὸ χειμώνων συνεχῶν ἐκτετραμμένον εἰς τὰ πεδία, καταβάντες ἀπὸ τοῦ Παλλαντίου τῆς κορυφῆς ἐπὶ τὸ προσεχέστατον ὕδωρ (οὐ γὰρ ἔτι προσωτέρω χωρεῖν οἷοί τε ἦσαν), ἔνθα πρῶτον ἡ τοῦ ποταμοῦ πλήμη τῆς ὑπωρείας ἥπτετο, τίθενται τὴν σκάφην ἐπὶ τοῦ ὕδατος· ἡ δὲ μέχρι μέν τινος ἐνήχετο, ἔπειτα τοῦ ῥείθρου κατὰ μικρὸν ὑποχωροῦντος ἐκ τῶν περὶ ἔσχατα λίθου προσπταίσει περιτραπεῖσα ἐκβάλλει τὰ βρέφη. (6) τὰ μὲν δὴ κνυζούμενα κατὰ τοῦ τέλματος ἐκυλινδεῖτο, λύκαινα δέ τις ἐπιφανεῖσα νεοτόκος σπαργῶσα τοὺς μαστοὺς ὑπὸ γάλακτος ἀνεδίδου τὰς θηλὰς τοῖς στόμασιν αὐτῶν, καὶ τῆι γλώττηι τὸν πηλόν, ὧι κατάπλεοι ἦσαν, ἀπελίχμα. ἐν δὲ τούτωι τυγχάνουσιν οἱ νομεῖς ἐξελαύνοντες τὰς ἀγέλας ἐπὶ νομήν (ἤδη γὰρ ἐμβατὸν ἦν τὸ χωρίον), καί τις αὐτῶν ἰδὼν τὴν λύκαιναν ὡς ἠσπάζετο τὰ βρέφη τέως μὲν ἀχανὴς ἦν ὑπό τε θάμβους καὶ ἀπιστίας τῶν θεωρουμένων, ἔπειτα <δ'> ἐλθὼν καὶ συλλέξας ὅσους ἐδύνατο πλείστους τῶν ἀγχοῦ νεμόντων (οὐ γὰρ ἐπιστεύετο λέγων) ἄγει τοὔργον αὐτὸ θεασομένους. (7) ὡς δὲ κἀκεῖνοι πλησίον ἐλθόντες ἔμαθον τὴν μὲν ὥσπερ τέκνα περιέπουσαν, τὰ δ' ὡς μητρὸς ἐξεχόμενα, δαιμόνιόν τι χρῆμα ὁρᾶν ὑπολαβόντες ἐγγυτέρω προσήιεσαν, ἀθρόοι δεδιττόμενοι βοῆι τὸ θηρίον· ἡ δὲ λύκαινα οὐ μάλα ἀγριαίνουσα τῶν ἀνθρώπων τῆι προσόδωι, ἀλλ' ὥσπερὰν χειροήθης ἀποστᾶσα τῶν βρεφῶν ἠρέμα καὶ κατὰ πολλὴν ἀλογίαν τοῦ ποιμενικοῦ ὁμίλου ἀπήιει. (8) καὶ ἦν γάρ τις οὐ πολὺ ἀπέχων ἐκεῖθεν ἱερὸς χῶρος ὕληι βαθείαι συνηρεφὴς καὶ πέτρα κοίλη πηγὰς ἀνιεῖσα, ἐλέγετο δὲ Πανὸς εἶναι τὸ νάπος, καὶ βωμὸς ἦν αὐτόθι τοῦ θεοῦ· εἰς τοῦτο τὸ χωρίον ἐλθοῦσα ἀποκρύπτεται. τὸ μὲν οὖν ἄλσος οὐκέτι διαμένει, τὸ δὲ ἄντρον, ἐξ οὗ ἡ λιβὰς ἐκδίδοται, τῶι Παλλαντίωι προσωικοδομημένον δείκνυται κατὰ τὴν ἐπὶ τὸν ἱππόδρομον φέρουσαν ὁδόν, καὶ τέ-

3 ἕκαστός τις Kiessling 7 τῆι γραφῆι: γέγραφεν Pluess ἐν πρώτηι γραφῆι Kiessling ἐν τῆι ᾱ γραφῆι (F 30 b)? 13 πλήμη ν πλήμμη A πλήμνη B 15 περιέσχατα A πέριξ ἐσχάτων Syl περιεσχάτων Kiessling περὶ τὰ ἔσχατα Meutzner 16-17 κνυζώμενα Cobet 17 ἐκαλινδεῖτο Cobet 18 ἀνεδίδου B ἐδίδου A 19 ἀπελιχμᾶτο Cobet 22 ἔπειτα <δ'> Jac ἔπειτα O ἔπειτ' ἀπελθὼν Kiessling 23 ὅσους B οὓς r 25 περιέπουσαν Syl περισπῶσαν O 29 καὶ om. B 32-p. 855, 2: zusatz des Dionys?

μενός ἐστιν αὐτοῦ πλησίον, ἔνθα εἰκὼν κεῖται τοῦ πάθους λύκαινα παιδίοις δυσὶ τοὺς μαστοὺς ἐπίσχουσα, χαλκᾶ ποιήματα παλαιᾶς ἐργασίας. ἦν δὲ τὸ χωρίον τῶν σὺν Εὐάνδρωι ποτὲ οἰκισάντων αὐτὸ Ἀρκάδων ἱερόν, ὡς λέγεται. F 23
(9) ὡς δὲ ἀπέστη τὸ θηρίον, αἴρουσιν οἱ νομεῖς τὰ βρέφη, σπουδὴν ποιούμενοι τρέφειν ὡς θεῶν αὐτὰ σώιζεσθαι βουλομένων. ἦν δέ τις ἐν αὐτοῖς συοφορβίων βασιλικῶν ἐπιμελούμενος, ἐπιεικὴς ἀνὴρ Φαιστύλος ὄνομα, ὃς ἐν τῆι πόλει κατὰ δή τι ἀναγκαῖον ἐγεγόνει καθ' ὃν χρόνον ἡ φθορὰ τῆς Ἰλίας καὶ ὁ τόκος ἠλέγχετο, καὶ μετὰ ταῦτα κομιζομένων ἐπὶ τὸν ποταμὸν τῶν βρεφῶν τοῖς φέρουσιν αὐτὰ κατὰ θείαν τύχην ἅμα διεληλύθει τὴν αὐτὴν ὁδὸν εἰς τὸ Παλλάντιον ἰών, ὃς ἥκιστα τοῖς ἄλλοις καταφανὴς γενόμενος ὡς ἐπίσταταί τι τοῦ πράγματος, ἀξιώσας αὐτῶι συγχωρηθῆναι τὰ βρέφη, λαμβάνει τε αὐτὰ παρὰ τοῦ κοινοῦ, καὶ φέρων ὡς τὴν γυναῖκα ἔρχεται. (10) τετοκυῖαν δὲ καταλαβὼν καὶ ἀχθομένην ὅτι νεκρὸν αὐτῆι τὸ βρέφος ἦν, παραμυθεῖταί τε καὶ δίδωσιν ὑποβαλέσθαι τὰ παιδία, πᾶσαν ἐξ ἀρχῆς διηγησάμενος τὴν κατασχοῦσαν αὐτὰ τύχην. αὐξομένοις δὲ αὐτοῖς ὄνομα τίθεται τῶι μὲν Ῥωμύλον τῶι δὲ Ῥῶμον(?). οἱ δὲ ἀνδρωθέντες γίνονται κατά τε ἀξίωσιν μορφῆς καὶ φρονήματος ὄγκον οὐ συοφορβοῖς καὶ βουκόλοις ἐοικότες, ἀλλ' οἵους ἄν τις ἀξιώσειε τοὺς ἐκ βασιλείου τε φύντας γένους καὶ ἀπὸ δαιμόνων σπορᾶς γενέσθαι νομιζομένους, ὡς ἐν τοῖς πατρίοις ὕμνοις ὑπὸ Ῥωμαίων ἔτι καὶ νῦν ἄιδεται. (11) βίος δ' αὐτοῖς ἦν βουκολικὸς καὶ δίαιτα αὐτουργὸς ἐν ὄρεσι· τὰ πολλὰ πηξαμένοις διὰ ξύλων καὶ καλάμων σκηνὰς αὐτοφόρους, ὧν ἔτι καὶ εἰς ἐμὲ ἦν τις τοῦ Παλλαντίου <ἐπὶ> τῆς πρὸς τὸν ἱππόδρομον [ἐπι]στρεφούσης λαγόνος Ῥωμύλου λεγομένη, ἣν φυλάττουσιν ἱερὰν οἷς τούτων ἐπιμελές, οὐδὲν ἐπὶ τὸ σεμνότερον ἐξάγοντες, εἰ δέ τι πονήσειεν ὑπὸ χειμῶνος ἢ χρόνου τὸ λεῖπον ἐξακούμενοι καὶ τῶι πρόσθεν ἐξομοιοῦντες εἰς δύναμιν.

(12) ἐπεὶ δὲ ἀμφὶ τὰ ὀκτωκαίδεκα ἔτη γεγονότες ἦσαν, ἀμφίλογόν τι περὶ τῆς νομῆς αὐτοῖς γίνεται πρὸς τοὺς Νεμέτορος βουκόλους, οἳ περὶ τὸ Αὐεντῖνον ὄρος ἀντικρὺ τοῦ Παλλαντίου κείμενον εἶχον τὰς βουστάσεις· ἠιτιῶντο δὲ ἀλλήλους ἑκάτεροι θαμινὰ ἢ τὴν μὴ προσήκουσαν ὀργάδα κατανέμειν ἢ τὴν κοινὴν μόνους διακρατεῖν ἢ ὅ τι δήποτε τύχοι. ἐκ δὲ τῆς ἀψιμαχίας ταύτης ἐγένοντο πληγαί ποτε διὰ χειρῶν, εἶτα δι' ὅπλων. (13) τραύματα δὲ πολλὰ πρὸς τῶν μειρακίων λαβόντες οἱ τοῦ Νεμέτορος καί τινας καὶ ἀπολέσαντες τῶν

2 ἐπισχοῦσα B χαλκᾶ v χάλκεα O 3 οἰκισάντων Steph οἰκη- O 4-5 ὡς – βουλομένων A αὐτὰ ὡς θεῶν (om. σ.β.) B 7-8 ἠλέγχετο A ἐγένετο B 11 αὐτῶι Meutzner αὐτῶι O 12-13 τετοκυῖαν – ἦν: cf. Herodt. 1, 112, 2-3 13-14 ὑποβάλλεσθαι B 15 ῥῶμον B ῥέμον A; cf. c. 79, 14 (die Hss. schwanken weiter); F 4a c. 6, 2 18-19 ὡς – ἄιδεται und 21-25: zusätze des Dionys? 22 <ἐπὶ> – [ἐπι]στρεφούσης Syl <ἡ> Ῥωμύλου Buecheler 23 τούτων: τοῦτο Rei 24 ἐξασκούμενοι B 26 ἀμφὶ . . λογον B 28 ἄντικρυς B 31 ποτε δ.χ.πληγαὶ B 32 καί τινας καὶ B καί τινας A

σφετέρων καὶ τῶν χωρίων ἤδη κατὰ κράτος ἐξειργόμενοι, παρεσκευάζοντο δόλον τινὰ ἐπ' αὐτούς· προλοχίσαντες δὴ τῆς φάραγγος τὸ ἀφανὲς καὶ συνθέμενοι τοῖς λοχῶσι τὰ μειράκια τὸν τῆς ἐπιθέσεως καιρόν, οἱ λοιποὶ κατὰ πλῆθος ἐπὶ τὰ μανδρεύματα αὐτῶν νύκτωρ ἐπέβαλον. (14) ʽΡωμύλος μὲν οὖν τὸν χρόνον τοῦτον τυγχάνει ἅμα τοῖς ἐπιφανεστάτοις τῶν κωμητῶν πεπορευμένος εἴς τι χωρίον Καίνιναν ὀνομαζόμενον ἱερὰ ποιήσων ὑπὲρ τοῦ κοινοῦ πάτρια, ʽΡῶμος δὲ τὴν ἔφοδον αὐτῶν αἰσθόμενος ἐξεβοήθει τὰ ὅπλα λαβὼν διὰ ταχέων, ὀλίγους τῶν ἐκ τῆς κώμης φθάσαντας καθ' ἓν γενέσθαι παραλαβών. κἀκεῖνοι οὐ δέχονται αὐτόν, ἀλλὰ φεύγουσιν, ὑπαγόμενοι ἔνθα ἔμελλον ἐν καλῶι ὑποστρέψαντες ἐπιθήσεσθαι, ὁ δὲ ʽΡῶμος κατ' ἄγνοιαν τοῦ μηχανήματος ἄχρι πολλοῦ διώκων αὐτοὺς παραλλάττει τὸ λελοχισμένον χωρίον, κἀν τούτωι ὅ τε λόχος ἀνίσταται, καὶ οἱ φεύγοντες ὑποστρέφουσι. κυκλωσάμενοι δὲ αὐτοὺς καὶ πολλοῖς ἀράττοντες λίθοις λαμβάνουσιν ὑποχειρίους. ταύτην γὰρ εἶχον ἐκ τῶν δεσποτῶν τὴν παρακέλευσιν, ζῶντας αὐτοῖς τοὺς νεανίσκους κομίσαι. οὕτω μὲν δὴ χειρωθεὶς ὁ ʽΡῶμος ἀπήγετο. **(80)** ὡς δὲ Τουβέρων Αἴλιος (F 3 Pet) . . . γράφει, προειδότες οἱ τοῦ Νεμέτορος θύσοντας τὰ Λύκαια τοὺς νεανίσκους τῶι Πανὶ τὴν ᾽Αρκαδικὴν ὡς Εὔανδρος κατεστήσατο θυσίαν ἐνήδρευσαν τὸν καιρὸν ἐκεῖνον τῆς ἱερουργίας . . . . (3) ὁ μὲν οὖν ʽΡῶμος ἐπὶ τοῖς πολεμίοις γενόμενος <εἴθ'> οὕτως εἴθ', ὡς ὁ Φάβιος παραδέδωκε, δέσμιος εἰς τὴν ῎Αλβαν ἀπήγετο. ʽΡωμύλος δ' ἐπειδὴ τὸ περὶ τὸν ἀδελφὸν ἔγνω πάθος, διώκειν εὐθὺς ὤιετο δεῖν τοὺς ἀκμαιοτάτους ἔχων τῶν νομέων, ὡς ἔτι κατὰ τὴν ὁδὸν ὄντα καταληψόμενος τὸν ʽΡῶμον, ἀποτρέπεται δ' ὑπὸ τοῦ Φαιστύλου· ὁρῶν γὰρ αὐτοῦ τὴν σπουδὴν μανικωτέραν οὖσαν, νομισθεὶς [ὁ] πατὴρ τὸν ἔμπροσθεν χρόνον, ἀπόρρητα <τὰ περὶ τὴν γένεσιν?> ποιούμενος τοῖς μειρακίοις διετέλεσεν, ὡς μὴ θᾶττον ὁρμήσωσι παρακινδυνεῦσαί τι πρὶν ἐν τῶι κρατίστωι τῆς ἀκμῆς γενέσθαι, τότε δὴ πρὸς τῆς ἀνάγκης βιασθεὶς μονωθέντι τῶι ʽΡωμύλωι λέγει. (4) μαθόντι δὲ τῶι νεανίσκωι πᾶσαν ἐξ ἀρχῆς τὴν κατασχοῦσαν αὐτοὺς τύχην τῆς τε μητρὸς οἶκτος εἰσέρχεται καὶ Νεμέτορος φροντίς, καὶ πολλὰ βουλευσαμένωι μετὰ τοῦ Φαιστύλου τῆς μὲν αὐτίκα ὁρμῆς ἐπισχεῖν ἐδόκει, πλείονι δὲ παρασκευῆι δυνάμεως χρησάμενον ὅλον ἀπαλλάξαι τὸν οἶκον τῆς ᾽Αμολίου παρανομίας κίνδυνόν τε τὸν ἔσχατον ὑπὲρ τῶν μεγίστων ἄθλων ἀναρρῖψαι, πράττειν δὲ μετὰ τοῦ μητροπάτορος ὅ τι ἂν ἐκείνωι δοκῆι. **(81)** ὡς δὲ ταῦτα κράτιστα

---

1 κ.κρ.ἤδη A 4 νύκτωρ om. B ἐπέβαλλον A 5 τοῦτον om. A τυγχάνει A ἐτύγχανεν B πορευόμενος B 6 Καίνιναν Cobet καινιμᾶν (-ὰν) O 7 (10, 15) ῥ<ῶ>μος B^{c} ῥέμος ABc λαβὼν τὰ ὅ. B 11 <προ>λελοχισμένον Rei καὶ τούτω A 18 <εἴθ'> Sintenis 23-24 [ὁ] (om. AB^{ac} add. B^{c}) – <τὰ π.τ.γ. o.ä.> Jac ὁρῶν γὰρ <οὗτος> αὐτοῦ τ.σπ.μ. οὖσαν <ἐπεὶ τίς γὰρ ἦν αὐτῶν ἡ μήτηρ καὶ τίς> νομ. ὁ πατὴρ (cf. c. 81, 4) Schnelle ὁρῶν οὖσαν - <οὗτος> νομ. ὁ πατήρ, <ἃ (add. Kiessling)> τὸν κτλ. C. Jacoby 26 δὴ Schnelle δὲ O 27 πᾶσαν – τύχην hinter λέγει Peter 31 πράττει A 32 δοκῆι Steph δοκεῖ O

εἶναι ἔδοξε, συγκαλέσας τοὺς κωμήτας ἅπαντας ὁ 'Ρωμύλος καὶ δεηθεὶς εἰς τὴν Ἄλβαν ἐπείγεσθαι διαταχέων, μὴ κατὰ τὰς αὐτὰς πύλας ἅπαντας μηδ' ἀθρόους εἰσιόντας, μή τις ὑπόνοια πρὸς τοὺς ἐν τῆι πόλει γένηται, καὶ περὶ τὴν ἀγορὰν ὑπομένοντας ἑτοίμους εἶναι δρᾶν τὸ κελευόμενον, ἀπήιει πρῶτος εἰς τὴν πόλιν. (2) οἱ δὲ τὸν 'Ρῶμον ἄγοντες ἐπειδὴ κατέστησαν ἐπὶ τὸν βασιλέα, τάς τε ὕβρεις ἁπάσας, ὅσας ἦσαν ὑβρισμένοι πρὸς τῶν μειρακίων, κατηγόρουν, καὶ τοὺς τραυματίας σφῶν ἐπεδείκνυσαν, τιμωρίας [τε] εἰ μὴ τεύξονται καταλείψειν προλέγοντες τὰ βουφόρβια. 'Αμόλιος δὲ τοῖς <τε> χωρίταις κατὰ πλῆθος ἐληλυθόσι χαρίζεσθαι βουλόμενος καὶ τῶι Νεμέτορι (παρὼν γὰρ ἐτύγχανε συναγανακτῶν τοῖς πελάταις), εἰρήνην τε ἀνὰ τὴν χώραν σπεύδων εἶναι, καὶ ἅμα καὶ τὸ αὔθαδες τοῦ μειρακίου, ὡς ἀκατάπληκτον ἦν ἐν τοῖς λόγοις, δι' ὑποψίας λαμβάνων καταψηφίζεται τὴν δίκην, τῆς δὲ τιμωρίας τὸν Νεμέτορα ποιεῖ κύριον, εἰπὼν ὡς τῶι δράσαντι δεινὰ τὸ ἀντιπαθεῖν οὐ πρὸς ἄλλου τινὸς μᾶλλον ἢ τοῦ πεπονθότος ὀφείλεται. (3) ἐν ὅσωι δ' ὁ 'Ρῶμος ὑπὸ τῶν τοῦ Νεμέτορος βουκόλων ἤγετο, δεδεμένος τε ὀπίσω τὼ χεῖρε καὶ πρὸς τῶν ἀγόντων ἐπικερτομούμενος, ἀκολουθῶν ὁ Νεμέτωρ τοῦ τε σώματος τὴν εὐπρέπειαν ἀπεθαύμαζεν, ὡς πολὺ τὸ βασιλικὸν εἶχε, καὶ τοῦ φρονήματος τὴν εὐγένειαν ἐνεθυμεῖτο, ἣν καὶ παρὰ τὰ δεινὰ διέσωζεν, οὐ πρὸς οἶκτον οὐδὲ λιπαρήσεις, ὡς ἅπαντες ἐν ταῖς τοιαῖσδε ποιοῦσι τύχαις, τραπόμενος, ἀλλὰ σὺν εὐκόσμωι σιωπῆι πρὸς τὸν μόρον ἀπιών. (4) ὡς δ' εἰς τὴν οἰκίαν ἀφίκοντο, μεταστῆναι τοὺς ἄλλους κελεύσας, μονωθέντα τὸν 'Ρῶμον ἤρετο, τίς εἴη καὶ τίνων, ὡς οὐκ ἂν ἐκ τῶν τυχόντων γε ἄνδρα τοιοῦτον γενόμενον. εἰπόντος δὲ τοῦ 'Ρώμου τοσοῦτον εἰδέναι μόνον κατὰ πύστιν τοῦ τρέφοντος, ὅτι σὺν ἀδελφῶι διδύμωι ἐκτεθείη βρέφος εἰς νάπην εὐθὺς ἀπὸ γονῆς καὶ πρὸς τῶν νομέων ἀναιρεθεὶς ἐκτραφείη, βραχὺν ἐπισχὼν χρόνον, εἴτε ὑποτοπηθείς τι τῶν ἀληθῶν εἴτε τοῦ δαίμονος ἄγοντος εἰς τοὐμφανὲς τὸ πρᾶγμα, λέγει πρὸς αὐτόν· (5) 'ὅτι μὲν ἐπ' ἐμοὶ γέγονας, ὦ 'Ρῶμε, παθεῖν ὅ τι ἂν δικαιώσω, καὶ ὡς περὶ πολλοῦ ποιήσαιντ' ἂν οἱ κομίσαντές σε δεῦρο πολλὰ καὶ δεινὰ παθόντα σ' ἀποθανεῖν, οὐδὲν δεῖ πρὸς εἰδότα λέγειν. εἰ δέ σε θανάτου τε καὶ ἄλλου παντὸς ἐκλυσαίμην κακοῦ, ἆρ' ἂν εἰδείης μοι χάριν, καὶ δεομένωι ὑπουργήσειας ὃ κοινὸν ἀμφοῖν ἔσται ἀγαθόν;' (6) ἀποκριναμένου δὲ τοῦ μειρακίου ὁπόσα τοὺς ἐν ἀπογνώσει βίου κειμένους ἡ τοῦ σωθήσεσθαι ἐλπὶς τοῖς κυρίοις τούτου λέγειν καὶ ὑπισχνεῖσθαι ἐπαίρει, λῦσαι κελεύσας αὐτὸν ὁ Νεμέτωρ καὶ ἅπαντας ἀπελθεῖν ἐκποδὼν φράζει τὰς

1 εἶναι om. B 5 ἐπί: εἰς B ἐπὶ τὰ βασίλεια Sauppe 7 [τε] Sauppe 8 συφόρβια A <τε> Sauppe χωρίταις A πολίταις B 9 χαρίζεσθαι βουλόμενος A χαριζόμενος B 10-11 καὶ ἅμα τὸ B 11 ἀκατάπληκτος? 17 ἀπεθαύμασεν A 18 καὶ B om. r διέσωζεν Kiessling -σεν o 20 πρὸς B ἐπὶ r 21 <ἐκ> τίνων Cobet 28 παθόντα σ' Rei παθόντες o παθόντες σ' Meutzner 30 δεομένου B 33 ἅπαντας A πάντας B ἐκποδὸν ἀπελθεῖν B

αὐτοῦ τύχας, ὡς Ἀμόλιος αὐτὸν ἀδελφὸς ὢν ἀπεστέρησε τῆς βασιλείας ὀρφανόν τε τέκνων ἔθηκε, τὸν μὲν ἐπὶ θήραι κρύφα διαχειρισάμενος, τὴν δ' ἐν εἱρκτῆι δεδεμένην φυλάττων, τά τε ἄλλα ὁπόσα δεσπότης χρώμενος δούλωι <λωβᾶται?>. (82) ταῦτ' εἰπὼν καὶ πολὺν θρῆνον ἅμα τοῖς λόγοις καταχεάμενος ἠξίου τιμωρὸν τοῖς κατ' οἶκον κακοῖς αὐτοῦ τὸν Ῥῶμον γενέσθαι. ἀσμένως δὲ ὑποδεξαμένου τὸν λόγον τοῦ μειρακίου καὶ παραυτίκα τάττειν αὐτὸν ἐπὶ τὸ ἔργον ἀξιοῦντος, ἐπαινέσας ὁ Νεμέτωρ τὴν προθυμίαν 'τῆς μὲν πράξεως', ἔφη, 'τὸν καιρὸν ἐγὼ ταμιεύσομαι, σὺ δὲ τέως πρὸς τὸν ἀδελφὸν ἀπόρρητον ἅπασι τοῖς ἄλλοις ἀγγελίαν πέμψον, ὅτι σώζηι τε δηλῶν καὶ διαταχέων αὐτὸν ἥκειν ἀξιῶν. (2) ἐκ δὲ τούτου πέμπεταί τις ἐξευρεθεὶς ὃς ἐδόκει ὑπηρετήσειν, καὶ περιτυχὼν οὐ πρόσω τῆς πόλεως ὄντι Ῥωμύλωι διασαφεῖ τὰς ἀγγελίας· ὁ δὲ περιχαρὴς γενόμενος ἔρχεται σπουδῆι πρὸς Νεμέτορα, καὶ περιπλακεὶς ἀμφοῖν ἀσπάζεται μὲν πρῶτον, ἔπειτα φράζει τὴν ἔκθεσιν σφῶν καὶ τροφὴν καὶ τἆλλα ὅσα παρὰ τοῦ Φαιστύλου ἐπύθετο. τοῖς δὲ βουλομένοις τε καὶ οὐ πολλῶν ἵνα πιστεύσειαν τεκμηρίων δεομένοις καθ' ἡδονὰς τὸ λεγόμενον ἦν. ἐπεὶ δὲ ἀνέγνωσαν ἀλλήλους, αὐτίκα συνετάττοντο, καὶ διεσκόπουν ὅστις ἔσται τρόπος ἢ καιρὸς εἰς τὴν ἐπίθεσιν ἐπιτήδειος.

(3) ἐν ὧι δὲ οὗτοι περὶ ταῦτ' ἦσαν, ὁ Φαιστύλος ἀπάγεται πρὸς Ἀμόλιον. δεδοικὼς γὰρ μὴ οὐ πιστὰ δόξηι τῶι Νεμέτορι λέγειν ὁ Ῥωμύλος ἄνευ σημείων ἐμφανῶν μεγάλου πράγματος μηνυτὴς γενόμενος, τὸ γνώρισμα τῆς ἐκθέσεως τῶν βρεφῶν τὴν σκάφην ἀναλαβὼν ὀλίγον ὕστερον ἐδίωκεν εἰς τὴν πόλιν. (4) διερχόμενον δ' αὐτὸν τὰς πύλας ταραχωδῶς πάνυ καὶ περὶ πολλοῦ ποιούμενον μηδενὶ ποιῆσαι καταφανὲς τὸ φερόμενον, τῶν φυλάκων τις καταμαθὼν (ἦν δὲ πολεμίων ἐφόδου δέος, καὶ τὰς πύλας οἱ μάλιστα πιστευόμενοι πρὸς τοῦ βασιλέως ἐφρούρουν) συλλαμβάνει τε καὶ τὸ κρυπτὸν ὅ τι δήποτ' ἦν καταμαθεῖν ἀξιῶν ἀποκαλύπτει βίαι τὴν περιβολήν. ὡς δὲ τὴν σκάφην ἐθεάσατο, καὶ τὸν ἄνθρωπον ἔμαθεν ἀπορούμενον, ἠξίου λέγειν τίς ἡ ταραχὴ καὶ τί τὸ βούλημα τοῦ μὴ φανερῶς εἰσφέρειν σκεῦος οὐδὲν δεόμενον ἀπορρήτου φορᾶς. (5) ἐν δὲ τούτωι πλείους τῶν φυλάκων συνέρρεον, καί τις αὐτῶν γνωρίζει τὴν σκάφην, αὐτὸς ἐν ἐκείνηι τὰ παιδία κομίσας ἐπὶ τὸν ποταμόν, καὶ φράζει πρὸς τοὺς παρόντας· οἱ δὲ συλλαβόντες τὸν Φαιστύλον ἄγουσιν ἐπ' αὐτὸν τὸν βασιλέα,

1 αὐτοῦ Steph αὑτοῦ o ὢν om. B 2 τε Meutzner δὲ o 3 ὅπως? <λωβᾶται> Meutzner διατελεῖ Sintenis 5 τοῖς – αὐτοῦ (Rei, Kiessling) Sauppe τοῖς κατοίκοις αὐτοῦ AB[ac] τ. κατ' οἴκους αὐ. B[c] 6 παραυτίκα C. Jacoby πάλαι o μάλα Sauppe αὐτὸν Sauppe αὑτὸν o 10 <προθύμως καὶ πιστῶς> ἐδόκει Rei ἐδόκει <εὖ> Mei 14 ὅσα A ἃ B ὅσα οὔπω (cf. 80, 3; 81, 4 f.) Rei φαιστύλου B σωματοφύλακος A 15 ἦν v om. AB 18-p. 860, 4: Exc. De virt. I 349, 9 ff. (Nikol. Damask. 90 F 69) = E 18 ἀμόλιον Di αἰμίλιον E 19 Ῥωμύλος Syl φαιστύλος EDi 23 φερόμενον Ghelen λεγόμενον EDi 24 πεπιστευμένοι E 25 τε: δὴ E 28 εἰσφέρειν EB ἐκφέρειν A οὐδὲν om. E 30 κομίσας: γνωρίσας E

καὶ διηγοῦνται τὰ γενόμενα. (6) 'Αμόλιος δὲ ἀπειλῆι βασάνων καταπληξάμενος τὸν ἄνθρωπον εἰ μὴ λέξει τὰ τῆς ἀληθείας ἑκών, πρῶτον μὲν εἰ ζῶσιν οἱ παῖδες ἤρετο· ὡς δὲ τοῦτ' ἔμαθε, τῆς σωτηρίας αὐτοῖς ὅστις ὁ τρόπος ἐγένετο. διηγησαμένου δὲ αὐτοῦ πάντα ὡς ἐπράχθη, 'ἄγε δή', φησὶν ὁ βασιλεύς, 'ἐπειδὴ ταῦτ' ἀληθεύσας ἔχεις, φράσον ὅπου νῦν ἂν εὑρεθεῖεν· οὐ γὰρ ἔτι δίκαιοί εἰσιν ἐν βουκόλοις καὶ ἀδόξωι βίωι ζῆν, ἔμοιγε ὄντες συγγενεῖς, ἄλλως τε καὶ θεῶν προνοίαι σωζόμενοι.' (83) Φαιστύλος δὲ τῆς ἀλόγου πραότητος ὑποψίαι κινηθεὶς μὴ φρονεῖν αὐτὸν ὅμοια τοῖς λόγοις, ἀποκρίνεται ὧδε· 'οἱ μὲν παῖδές εἰσιν ἐν τοῖς ὄρεσι βουκολοῦντες, ὅσπερ ἐκείνων βίος, ἐγὼ δ' ἐπέμφθην παρ' αὐτῶν τῆι μητρὶ δηλώσων ἐν αἷς εἰσι τύχαις. ταύτην δὲ παρά σοι φυλάττεσθαι ἀκούων, δεήσεσθαι τῆς σῆς θυγατρὸς ἔμελλον, ἵνα με πρὸς αὐτὴν ἀγάγοι· τὴν δὲ σκάφην ἔφερον, ἵν' ἔχω δεικνύναι τεκμήριον ἐμφανὲς ἅμα τοῖς λόγοις. νῦν οὖν ἐπεὶ δέδοκταί σοι τοὺς νεανίσκους δεῦρο κομίσαι, χαίρω τε καὶ πέμψον οὕστινας βούλει σὺν ἐμοί. δείξω μὲν οὖν τοῖς ἐλθοῦσι τοὺς παῖδας ἐγώ, φράσουσι δ' αὐτοῖς ἐκεῖνοι τὰ παρὰ σοῦ.' (2) ὁ μὲν δὴ ταῦτ' ἔλεγεν, ἀναβολὴν εὑρέσθαι βουλόμενος τοῖς παισὶ τοῦ θανάτου, καὶ ἅμα αὐτὸς ἀποδράσεσθαι τοὺς ἄγοντας, ἐπειδὰν ἐν τοῖς ὄρεσι γένηται, ἐλπίσας. 'Αμόλιος δὲ τοῖς πιστοτάτοις τῶν ὁπλοφόρων ἐπιστείλας κρύφα, οὓς ἂν ὁ συοφορβὸς αὐτοῖς δείξηι, συλλαβόντας ὡς αὐτὸν ἄγειν, ἀποστέλλει διαταχέων. ταῦτα δὲ διαπραξάμενος, αὐτίκα γνώμην ἐποιεῖτο καλέσας τὸν ἀδελφὸν ἐν φυλακῆι ἀδέσμωι ἔχειν, ἕως ἂν εὖ θῆται τὰ παρόντα, καὶ αὐτὸν ὡς ἐπ' ἄλλο δή τι ἐκάλει. (3) ὁ δὲ ἀποσταλεὶς ἄγγελος εὐνοίαι τε τοῦ κινδυνεύοντος καὶ ἐλέωι τῆς τύχης ἐπιτρέψας κατήγορος γίνεται Νεμέτορι τῆς 'Αμολίου γνώμης· ὁ δὲ τοῖς παισὶ δηλώσας τὸν κατειληφότα κίνδυνον αὐτοὺς καὶ παρακελευσάμενος ἄνδρας ἀγαθοὺς γενέσθαι, παρῆν ἄγων ὡπλισμένους ἐπὶ τὰ βασίλεια τῶν τε ἄλλων πελατῶν καὶ ἑταίρων καὶ θεραπείας πιστῆς χεῖρα οὐκ ὀλίγην. ἧκον δὲ καὶ οἱ ἐκ τῶν ἀγρῶν συνελθόντες εἰς τὴν πόλιν, ἐκλείποντες τὴν ἀγοράν, ἔχοντες ὑπὸ ταῖς περιβολαῖς ξίφη κεκρυμμένα, στῖφος καρτερόν. βιασάμενοι δὲ τὴν εἴσοδον ἀθρόαι ὁρμῆι πάντες, οὐ πολλοῖς ὁπλίταις φρουρουμένην, ἀποσφάττουσιν εὐπετῶς 'Αμόλιον, καὶ μετὰ τοῦτο τὴν ἄκραν καταλαμβάνονται.

ταῦτα μὲν οὖν τοῖς περὶ Φάβιον εἴρηται. (84) ἕτεροι δὲ οὐδὲν τῶν

---

2 λέξει E λέξοι Di τὰ τῆς ἀληθείας Val τῆς ἀλ. E τὰς ἀλ. Di 3 εἵρετο E ταῦτ' E 4 ὡς EA ὅσα B 6 ἄδοξον βίον Usener [καὶ] ἀ.β.? 7 <ὑπὸ> τῆς Val 9 ὅσπερ Bb ὥσπερ EDi 10 παρ' EB ὑπ' A 11 τῆς σῆς θυγατρὸς EB τῆς θ. τῆς σῆς A 13 ἐπεὶ EBb ἐπὶ Ba ἐπειδὴ A δέδοκταί σοι A δέδοκ *B δέδοκται (om. σοι) E 14 ἐγώ om. EB 16 ἀποδράσεσθαι E -σασθαι Di 18 ὁπλοφόρων Di φίλων E συφορβὸς EB 19 δὲ om. E 21 εὖ θῆται Di ὠφθηται (so) E ἐπ' ἄλλωι δή τινι E 22 ἐπιτρέψας A ἐπιστρέψας EB 25 ἑταίρων EBb ἑτέρων ABa 27 ἐκλιπόντες EB περιβολαῖς ἑαυτῶν A 30 καταλαμβάνουσι E 31 ταῦτα εἴρηται τ.π.Φ. E

μυθωδεστέρων ἀξιοῦντες ἱστορικῆι γραφῆι προσήκειν, τήν τε ἀπόθεσιν τὴν τῶν βρεφῶν οὐχ ὡς ἐκελεύσθη τοῖς ὑπηρέταις γενομένην ἀπίθανον εἶναί φασι, καὶ τῆς λυκαίνης τὸ τιθασόν, ἣ τοὺς μαστοὺς ἐπεῖχε τοῖς παιδίοις, ὡς δραματικῆς μεστὸν ἀτοπίας διασύρουσιν. (2) ἀντιδιαλλαττόμενοι δὲ πρὸς ταῦτα λέγουσιν..... ORIGO GENT. ROM. 20.

5 (3; 7) a) PLUTARCH. *Romul.* 14: τετάρτωι δὲ μηνὶ μετὰ τὴν κτίσιν, ὡς Φάβιος ἱστορεῖ, τὸ περὶ τὴν ἁρπαγὴν ἐτολμήθη τῶν γυναικῶν. καὶ λέγουσι μὲν ἔνιοι τὸν Ῥωμύλον αὐτὸν τῆι φύσει φιλοπόλεμον ὄντα καὶ πεπεισμένον ἔκ τινων ἄρα λογίων... βίας ὑπάρξαι πρὸς τοὺς Σαβίνους..... (2) τοῦτο δ' οὐκ εἰκός· ἀλλὰ τὴν μὲν πόλιν ὁρῶν ἐποίκων εὐθὺς ἐμπιπλαμένην, ὧν ὀλίγοι γυναῖκας εἶχον, ... ἐλπίζων δὲ πρὸς τοὺς Σαβίνους τρόπον τινὰ συγκράσεως καὶ κοινωνίας ἀρχὴν αὐτοῖς τὸ ἀδίκημα ποιήσειν ἡμερωσαμένοις τὰς γυναῖκας, ἐπεχείρησε τῶι ἔργωι.... b) DION. HAL. *A.R.* 2, 31, 1: ταῦτα δὲ γενέσθαι τινὲς μὲν γράφουσι κατὰ τὸν πρῶτον ἐνιαυτὸν τῆς Ῥωμύλου ἀρχῆς, Γναῖος δὲ Γέλλιος (F 11 Pet) κατὰ τὸν τέταρτον, ὃ καὶ μᾶλλον εἰκός.... τῆς δὲ ἁρπαγῆς τὴν αἰτίαν οἱ μὲν εἰς σπάνιν γυναικῶν ἀναφέρουσιν, οἱ δ' εἰς ἀφορμὴν πολέμου, οἱ δὲ τὰ πιθανώτατα γράφοντες... εἰς τὸ συνάψαι φιλότητα πρὸς τὰς πλησιοχώρους πόλεις ἀναγκαίαν.

6 (4; 8) DION. HAL. *A.R.* 2, 38: μαθὼν δὲ τὴν παρασκευὴν αὐτῶν (der Römer) Τάτιος ὁ τῶν Σαβίνων βασιλεὺς νυκτὸς ἀναστήσας τὸν στρατὸν ἦγε διὰ τῆς χώρας, οὐδὲν σινόμενος τῶν κατὰ τοὺς ἀγρούς, καὶ πρὶν ἀνατεῖλαι τὸν ἥλιον μεταξὺ τοῦ τε Κυρινίου καὶ τοῦ Καπιτωλίου τίθησιν ἐν τῶι πεδίωι τὸν χάρακα. ὁρῶν δὲ ἀσφαλεῖ πάντα φυλακῆι κατεχόμενα πρὸς τῶν πολεμίων, σφίσι δὲ οὐδὲν χωρίον ἀπολειπόμενον ὀχυρόν, εἰς πολλὴν ἐνέπιπτεν ἀπορίαν, οὐκ ἔχων ὅ τι χρήσεται τῆι τριβῆι τοῦ χρόνου. (2) ἀμηχανοῦντι δὲ αὐτῶι παράδοξος εὐτυχία γίνεται, παραδοθέντος τοῦ κρατίστου τῶν ὀχυρωμάτων, κατὰ τοιάνδε τινὰ συντυχίαν· παρεξιόντας γὰρ τὴν ῥίζαν τοῦ Καπιτωλίου τοὺς Σαβίνους εἰς ἐπίσκεψιν, εἴ τι μέρος εὑρεθείη τοῦ λόφου κλοπῆι ληφθῆναι δυνατὸν ἢ βίαι, παρθένος τις ἀπὸ τοῦ μετεώρου κατεσκόπει, θυγάτηρ ἀνδρὸς ἐπιφανοῦς, ὧι προσέκειτο ἡ τοῦ χωρίου φυλακή, Τάρπεια ὄνομα. (3) καὶ αὐτήν, ὡς μὲν Φάβιός τε καὶ Κίγκιος (810 F 3) γράφουσιν, ἔρως εἰσέρχεται τῶν ψελλίων, ἃ περὶ τοῖς ἀριστεροῖς βραχίοσιν ἐφόρουν, καὶ τῶν δακτυλίων· χρυσοφόροι γὰρ ἦσαν οἱ Σαβῖνοι τότε καὶ Τυρρηνῶν οὐχ ἧττον ἁβροδίαιτοι· ὡς δὲ Πείσων Λεύκιος ὁ τιμητικὸς ἱστορεῖ (F 5 Pet), καλοῦ πράγματος ἐπιθυμία γυμνοὺς τῶν σκεπαστηρίων ὅπλων παραδοῦναι τοῖς πολίταις τοὺς πολεμίους. ὁπότερον δὲ τούτων ἀληθέστερόν ἐστιν, ἐκ τῶν ὕστερον γενομένων (c. 40, 3) ἔξεστιν εἰκάζειν. (4) πέμψασα δ' οὖν τῶν θεραπαινίδων τινὰ διὰ πυλίδος, ἣν οὐδεὶς ἔμαθεν ἀνοιγομένην, ἠξίου τὸν βασιλέα τῶν Σαβίνων ἐλθεῖν αὐτῆι δίχα τῶν ἄλλων εἰς λόγους, ὡς ἐκείνωι διαλεξομένη περὶ πράγ-

---

1 τε Rei γε EDi τὴν τῶν EB τῶν A 2 οὕτως ὡς Rei 3 μασθοὺς E δραματικῆς EB (cf. F 4a c. 8, 9) δραστικῆς A 18 Τάτιος v τάτις A τῖτος B; cf. 2, 36, 3 Τῖτον, ὃς ἐπεκαλεῖτο Τάτιος, βασιλέα Κυριτῶν 22 ἀνέπιπτεν A 24 παραδόξως B προδοθέντος? 27 τοῦ B om. r 30 ψελλίων B[c] ψαλίων AB[ac] 31 δακτυλίων B -λων r 32 πίσων B[ac] 37 διαλεξομένηι Kiessling

ματος ἀναγκαίου καὶ μεγάλου. δεξαμένου δὲ τοῦ Τατίου τὸν λόγον κατ' ἐλπίδα προδοσίας καὶ συνελθόντος εἰς τὸν ἀποδειχθέντα τόπον, προελθοῦσα εἰς ἐφικτὸν ἡ παρθένος ἐξεληλυθέναι μὲν νυκτὸς ἐκ τοῦ φρουρίου τὸν πατέρα αὐτῆς ἔφη χρείας τινὸς ἕνεκα, τὰς δὲ κλεῖς αὐτὴ φυλάττειν τῶν πυλῶν, καὶ παραδώσειν αὐτοῖς τὸ ἔρυμα νυκτὸς ἀφικομένοις μισθὸν τῆς προδοσίας λαβοῦσα τὰ φορήματα τῶν Σαβίνων, ἃ περὶ τοῖς εὐωνύμοις εἶχον ἅπαντες βραχίοσιν. (5) εὐδοκοῦντος δὲ τοῦ Τατίου, λαβοῦσα τὰς πίστεις δι' ὅρκων παρ' αὐτοῦ καὶ αὐτὴ δοῦσα τοῦ μὴ ψεύδεσθαι τὰς ὁμολογίας τόπον τε ὁρίσασα, ἐφ' ὃν ἔδει τοὺς Σαβίνους ἐλθεῖν, τῶν ἐχυρωτάτων καὶ νυκτὸς ὥραν τὴν ἀφυλακτοτάτην ἀπήιει, καὶ τοὺς ἔνδον ἔλαθε.

(39) μέχρι μὲν δὴ τούτων συμφέρονται πάντες οἱ Ῥωμαῖοι συγγραφεῖς, ἐν δὲ τοῖς ὕστερον λεγομένοις οὐχ ὁμολογοῦσι. Πείσων γὰρ ὁ τιμητικὸς . . . ἄγγελόν φησιν ὑπὸ τῆς Ταρπείας ἀποσταλῆναι νύκτωρ ἐκ τοῦ χωρίου δηλώσοντα τῶι Ῥωμύλωι . . . . . τὸν δὲ ἄγγελον αὐτομολήσαντα πρὸς τὸν ἡγεμόνα τῶν Σαβίνων κατήγορον γενέσθαι τῶν τῆς Ταρπείας βουλευμάτων. (2) οἱ δὲ περὶ τὸν Φάβιόν τε καὶ Κίγκιον οὐδὲν τοιοῦτο γεγονέναι λέγουσιν, ἀλλὰ φυλάξαι τὴν κόρην διαβεβαιοῦνται τὰς περὶ τῆς προδοσίας συνθήκας. τὰ δ' ἑξῆς ἅπαντες πάλιν ὁμοίως γράφουσι. φασὶ γὰρ ὅτι παραγενομένου σὺν τῶι κρατίστωι τῆς στρατιᾶς μέρει τοῦ βασιλέως τῶν Σαβίνων, φυλάττουσα τὰς ὑποσχέσεις ἡ Τάρπεια τοῖς μὲν πολεμίοις ἀνέωιξε τὴν συγκειμένην πυλίδα, τοὺς δ' ἐν τῶι χωρίωι φύλακας ἀναστήσασα διαταχέων σώζειν ἑαυτοὺς ἠξίου καθ' ἑτέρας ἐξόδους τοῖς πολεμίοις ἀφανεῖς ὡς κατεχόντων ἤδη τῶν Σαβίνων τὸ φρούριον· (3) διαφυγόντων δὲ τούτων, τοὺς μὲν Σαβίνους ἀνεωιγμένας εὑρόντας τὰς πύλας κατασχεῖν τὸ φρούριον ἔρημον τῶν φυλάκων, τὴν δὲ Τάρπειαν ὡς τὰ παρ' ἑαυτῆς ὅσα συνέθετο παρεσχημένην ἀξιοῦν τοὺς μισθοὺς τῆς προδοσίας κατὰ τοὺς ὅρκους ἀπολαβεῖν. (40) ἔπειτα πάλιν ὁ μὲν Πείσων φησὶ τῶν Σαβίνων τὸν χρυσὸν ἑτοίμων ὄντων διδόναι τῆι κόρηι τὸν περὶ τοῖς ἀριστεροῖς βραχίοσι, τὴν Τάρπειαν οὐ τὸν κόσμον ἀλλὰ τοὺς θυρεοὺς παρ' αὐτῶν αἰτεῖν. Τατίωι δὲ θυμόν τε εἰσελθεῖν ἐπὶ τῆι ἐξαπάτηι καὶ λογισμὸν τοῦ μὴ παραβῆναι τὰς ὁμολογίας· δόξαι δ' οὖν αὐτῶι δοῦναι μὲν τὰ ὅπλα . . ., ποιῆσαι δ' ὅπως αὐτοῖς μηδὲν λαβοῦσα χρήσεται, καὶ αὐτίκα διατεινάμενον ὡς μάλιστα ἰσχύος εἶχε ῥῖψαι τὸν θυρεὸν κατὰ τῆς κόρης, καὶ τοῖς ἄλλοις παρακελεύσασθαι τοῦτο ποιεῖν· οὕτω δὴ βαλλομένην πάντοθεν τὴν Τάρπειαν ὑπὸ πλήθους τε καὶ ἰσχύος τῶν πληγῶν πεσεῖν, καὶ περισωρευθεῖσαν ὑπὸ τῶν θυρεῶν ἀποθανεῖν. (2) οἱ δὲ περὶ τὸν Φάβιον ἐπὶ τοῖς Σαβίνοις ποιοῦσι τὴν τῶν ὁμολογιῶν ἀπάτην· δέον γὰρ αὐτοὺς τὸν χρυσόν, ὥσπερ ἡ Τάρπεια ἠξίου, κατὰ

---

9 τὸν ὀχυρώτατον Rei τὸν ἐχυρώτατον Kiessling 11 ῥωμαῖοι AB^{ac} ῥωμαίων B^{c} 13 πίσων B^{ac} 14 δηλώσαντα A 16 τε om. B τοιοῦτον A 19 <ὅ>τι B^{c}(?) ἔτι A 25 ταπερ' ἑαυτῆς A 25-26 [ὅσα συνέθετο] Reudler 31 μηδένα A χρήσεται Mei -σηται O 32 τοῦτο: ταὐτὸ Syl 35 τὸν om. A

τὰς ὁμολογίας ἀποδιδόναι, χαλεπαίνοντας ἐπὶ τῶι μεγέθει τοῦ μισθοῦ τὰ σκεπαστήρια κατ' αὐτῆς βάλλειν, ὡς ταῦτα ὅτε ὤμνυσαν αὐτῆι δώσειν ὑπεσχημένους. (3) ἔοικε δὲ τὰ μετὰ ταῦτα γενόμενα τὴν Πείσωνος ἀληθεστέραν ποιεῖν † ἀπόκρισιν· τάφου τε γὰρ ἔνθα ἔπεσεν ἠξίωται, τὸν ἱερώτατον τῆς πόλεως κατέχουσα λόφον, καὶ χοὰς αὐτῆι Ῥωμαῖοι καθ' ἕκαστον ἐνιαυτὸν ἐπιτελοῦσι (λέγω δὲ ἃ Πείσων γράφει), ὧν οὐδενὸς εἰκὸς αὐτήν, εἰ προδιδοῦσα τὴν πατρίδα τοῖς πολεμίοις ἀπέθανεν, οὔτε παρὰ τῶν προδοθέντων οὔτε παρὰ τῶν ἀποκτεινάντων τυχεῖν, ἀλλὰ καὶ εἴ τι λείψανον αὐτῆς ἦν τοῦ σώματος, ἀνασκαφὲν ἔξω ῥιφῆναι σὺν χρόνωι φόβου τε καὶ ἀποτροπῆς ἕνεκα τῶν μελλόντων τὰ ὅμοια δρᾶν. ἀλλ' ὑπὲρ μὲν τούτων κρινέτω τις ὡς βούλεται.

7 (7/8; 11) a) DION. HAL. *A.R.* 4, 6, 1: βούλομαι δ'ἐπιστήσας τὸν ἑξῆς λόγον ἀποδοῦναι τὰς αἰτίας, δι' ἃς οὔτε Φαβίωι συγκατεθέμην F 12
οὔτε τοῖς ἄλλοις ἱστορικοῖς ὅσοι γράφουσιν υἱοὺς εἶναι τοὺς καταλειφθέντας παῖδας ὑπὸ Ταρκυνίου (*scil.* τοῦ Πρίσκου), ἵνα μή τινες τῶν ἐκείναις ἐντυχόντων ταῖς ἱστορίαις σχεδιάζειν με ὑπολάβωσιν οὐχ υἱοὺς ἀλλ' υἱωνοὺς αὐτοῦ γράφοντα τοὺς παῖδας. παντάπασι γὰρ ἀπερισκέπτως καὶ ῥαιθύμως οἱ συγγραφεῖς <περὶ> αὐτῶν ταύτην ἐξενηνόχασι τὴν ἱστορίαν, οὐδὲν ἐξητακότες τῶν ἀναιρούντων αὐτὴν ἀδυνάτων τε καὶ ἀτόπων, ὧν ἕκαστον ἐγὼ πειράσομαι ποιῆσαι φανερὸν δι' ὀλίγων . . . . . . (7, 5) τούτων δὴ τῶν ἀδυνάτων τε καὶ ἀτόπων ἕκαστα ἐπιλογιζόμενος οὐχ υἱοὺς εἶναι Ταρκυνίου γράφω τοὺς παῖδας ἀλλ' υἱωνούς, Λευκίωι Πείσωνι τῶι Φρύγι (F 15 Pet) συγκαταθέμενος· ἐκεῖνος γὰρ ἐν ταῖς ἐνιαυσίοις πραγματείαις τοῦτο ἱστόρηκε μόνος· εἰ μή γ' ἄρα γόνωι μὲν ἦσαν υἱωνοὶ τοῦ βασιλέως οἱ παῖδες, ποιήσει δ' υἱοί, καὶ τοῦτ' ἦν αἴτιον τῆς ἀπάτης τοῖς ἄλλοις ἅπασι τοῖς συγγράψασι τὰς Ῥωμαικὰς ἱστορίας. b) -- 4, 30: τοιαῦτα τῆς Τυλλίας λεγούσης, ἄσμενος δέχεται τὰς αἱρέσεις ὁ Ταρκύνιος (*scil.* Σούπερβος), καὶ αὐτίκα δοὺς αὐτῆι πίστεις καὶ λαβών, τὰ προτέλεια τῶν ἀνοσίων γάμων διαπραξάμενος ἀπέρχεται. διελθόντος δ' οὐ πολλοῦ μετὰ ταῦτα χρόνου τοῖς αὐτοῖς πάθεσιν ἀποθνήσκουσιν ἥ τε πρεσβυτέρα τῶν Τυλλίου θυγατέρων καὶ ὁ νεώτερος τῶν Ταρκυνίων. (2) ἐνταῦθα πάλιν ἀναγκάζομαι μεμνῆσθαι Φαβίου καὶ τὸ ῥάιθυμον αὐτοῦ περὶ τὴν ἐξέτασιν τῶν χρόνων ἐλέγχειν. ἐπὶ γὰρ τῆς Ἀρροῦντος τελευτῆς γενόμενος οὐ καθ' ἓν ἁμαρτάνει μόνον, ὃ καὶ πρότερον ἔφην, ὅτι γέγραφεν υἱὸν εἶναι Ταρκυνίου τὸν Ἀρροῦντα, ἀλλὰ καὶ καθ' ἕτερον, ὅτι φησὶν ἀποθανόντα ὑπὸ τῆς μητρὸς Τανακυλλίδος τεθάφθαι, ἣν ἀμήχανον ἦν ἔτι κατ' ἐκείνους περιεῖναι τοὺς χρόνους. (3) ἐδείχθη γὰρ ἐν ἀρχαῖς ἑβδομηκοστὸν ἔχουσα καὶ πέμπτον ἔτος ἡ Τανακυλλίς, ὅτε βασιλεὺς Ταρκύνιος ἐτελεύτα· προστεθέντων δὴ τοῖς ἑβδομήκοντα καὶ πέντε ἔτεσιν ἑτέρων τετταράκοντα ἐτῶν (ἐν γὰρ ταῖς ἐνιαυσίοις ἀναγραφαῖς κατὰ τὸν τετταρακοστὸν ἐνιαυτὸν τῆς Τυλλίου ἀρχῆς τὸν Ἀρροῦντα τετελευτηκότα παρειλήφαμεν), ἐτῶν ἡ Τανακυλλὶς ἔσται πεντεκαίδεκα πρὸς τοῖς ἑκατόν. οὕτως ὀλίγον ἐστὶν ἐν ταῖς ἱστορίαις αὐτοῦ τὸ περὶ τὴν ἐξέτασιν

1 χαλεπαίνοντας Syl -τες ο (?) 2 βαλεῖν Rei 4 ἀπόφασιν Ddf [ἀπόκρισιν] C. Jacoby 8 ἀποτροπῆς Steph προτροπῆς ο 12 τοῖς om. B 14 με AB om. r 15 <περὶ> v 19 Φρύγι Cobet φρυγὶ ο 20 τοῦτο l. B τοῦτ' l. A ταῦθ' r (?) v 23 ἀσμένως? 29 ἀρρόντος B 31 (36) ἀρρόντα B 33 καὶ κατ' B 35 δή: δὲ? ἐνιαυσίοις Kiessling -σίαις ο

τῆς ἀληθείας ταλαίπωρον. c) LIVIUS 1, 46, 4: *hic L. Tarquinius – Prisci Tarquini regis filius neposne fuerit parum liquet, pluribus tamen auctoribus filium ediderim – fratrem habuerat Arruntem.*

8 (5; 9) DION. HAL. *A.R.* 4, 15, 1: διεῖλε (Servius Tullius) δὲ καὶ τὴν χώραν ἅπασαν, ὡς μὲν Φάβιός φησιν, εἰς μοίρας ἕξ τε καὶ εἴκοσιν, ὃς καὶ αὐτὰς καλεῖ φυλάς, καὶ τὰς ἀστικὰς προστιθεὶς αὐταῖς τέτταρας, ὡς δὲ Οὐεννώνιος (p. 142 Pet) ἱστόρηκεν, εἰς μίαν τε καὶ τριάκοντα, ὥστε σὺν ταῖς κατὰ πόλιν οὔσαις ἐκπεπληρῶσθαι τὰς ἔτι καὶ εἰς ἡμᾶς ὑπαρχούσας τριάκοντα καὶ πέντε φυλάς. Κάτων (F 23 Pet) μέντοι τούτων ἀμφοτέρων ἀξιοπιστότερος ὢν τριάκοντα φυλὰς ἐπὶ Τυλλίου τὰς πάσας γενέσθαι λέγει, καὶ οὐ χωρίζει τῶν μοιρῶν τὸν ἀριθμόν.

9 (6; 10) LIVIUS 1, 44, 1: *censu perfecto .... edixit* (Servius Tullius), *ut omnes cives Romani, equites peditesque in suis quisque centuriis in campo Martio prima luce adessent.* (2) *ibi instructum exercitum omnem suovetaurilibus lustravit, idque conditum lustrum appellatum, quia is censendo finis factus est. milia octoginta eo lustro civium censa dicuntur; adicit scriptorum antiquissimus Fabius Pictor, eorum qui arma ferre possent eum numerum fuisse.*

10 (10; 13) LIVIUS 1, 53, 2: *is* (Tarquinius Superbus) *primus Volscis bellum in ducentos amplius post suam aetatem annos movit, Suessamque Pometiam ex iis vi cepit.* (3) *ubi cum divendita praeda quadraginta talenta argenti refecisset, concepit animo eam amplitudinem Jovis templi, quae digna deum hominumque rege, quae Romano imperio, quae ipsius etiam loci maiestate esset: captivam pecuniam in aedificationem eius templi seposuit .....* (55) *Gabiis receptis Tarquinius pacem cum Aequorum gente fecit, foedus cum Tuscis renovavit, inde ad negotia urbana animum convertit, quorum erat primum ut Jovis templum in monte Tarpeio monumentum regni sui nominisque relinqueret: Tarquinios reges ambos patrem vovisse, filium perfecisse.* (2-4: reinigung des terrains von allen bestehenden heiligtümern; nur Terminus zu vertreiben gestatteten die auguria nicht). (5) *hoc perpetuitatis auspicio accepto, secutum aliud magnitudinem imperii portendens prodigium est: caput humanum integra facie aperientibus fundamenta templi dicitur apparuisse.* (6) *quae* F 11
visa species haud per ambages arcem eam imperii caputque rerum fore portendebat, idque ita cecinere vates quique in urbe erant quosque ad eam rem consultandam ex Etruria acciverant. (7) *augebatur ad impensas regis animus; itaque Pometinae manubiae, quae perducendo ad culmen operi destinatae erant, vix in fundamenta suppeditavere.* (8) *eo magis Fabio, praeterquam quod antiquior est, cre-*

1 ταλαίπωρον B ἀταλαίπωρον A εὐταλαίπωρον Rei [ὀλίγον] – ἀταλαίπωρον Kayser 5 τε om. A 6 αὐτὰς B αὐτὸς r 9-10 Κάτων – ἀριθμόν transp. C. Jacoby τέτταρας (*lin.* 6) καὶ (A om. B) τριάκοντα φυλὰς ἀμφοτέρων κάτων μέντοι τούτων ἐπὶ Τυλλίου τὰς πάσας γενέσθαι λέγει ο ὥστε (*lin.* 7) – πέντε (*lin.* 8) add. B (om. A) 10 οὐ χωρίζει: οὐχ ὡρίζει B οὐχ ὁρίζει r 14 *quia*: v.l. *qua, qui et* *is* ('ex cod. Mureti') Gronov *in* o 20 *divendita praeda* v *dividenda* (*-enta*) *praeda* o *divendenda* Gronov *quadringenta* (§ 8) Harlei. I(?) *refecisset* (P[ms]) Gronov *refecisset coepisset* M; v.l. *refecisset ac re cepisset, reque cepisset, rec(o)episset, cepisset* 26 *vovisse*: v.l. *voluisse* 33 *pometinae* D[3] *p(r)omptinae, pontinae* r

diderim, quadraginta ea sola talenta fuisse, (9) *quam Pisoni* (F 16 Pet), *qui quadraginta milia pondo argenti seposita in eam rem scribit, summam pecuniae neque ex unius tum urbis praeda sperandam et nullius ne horum quidem magnificentiae operum fundamenta non exsuperaturam.*

11 (25; 12) ARNOB. *Adv. gent.* 6, 7: *regnatoris in populi Capitolio quis est hominum qui ignoret Oli esse sepulchrum Vulcentani? quis est* (*inquam*) *qui non sciat ex fundaminum sedibus caput hominis evolutum non ante plurimum temporis aut solum sine partibus ceteris* (*hoc enim quidam ferunt*) *aut cum membris omnibus humationis officia sortitum? quod si planum fieri testimoniis postulatis auctorum, Sammonicus, Granius, Valerius Antias* (F 13 Pet) *et Fabius indicabunt, cuius Aulus fuerit filius, gentis et nationis cuius, cuius manu servuli vita fuerit spoliatus et lumine, quid de suis commeruerit civibus ut ei sit abnegata telluris paternae sepultura. condiscetis etiam, quamvis nolle istud publicare se fingant, quid sit capite retecto factum, vel in parte qua areae curiosa fuerit obscuritate conclusum, ut immobilis videlicet atque fixa obsignati ominis perpetuitas staret. quod cum opprimi par esset et vetustatis oblitteratione celari, compositio nominis iecit in medium et cum suis causis per data sibi tempora inextinguibili fecit testificatione procedere; nec erubuit civitas maxima et numinum cunctorum cultrix, cum vocabulum templo daret, ex Oli capite Capitolium quam ex nomine Jovis nuncupare.* 10 § 5

12 (9; 14) DION. HAL. *A.R.* 4, 64, 2: (belagerung von Ardea durch Tarquinius Superbus) ἐν τούτωι δὴ τῶι καιρῶι Σέξτος ὁ πρεσβύτατος τῶν Ταρκυνίου παίδων ἀποσταλεὶς ὑπὸ τοῦ πατρὸς εἰς πόλιν, ἣ ἐκαλεῖτο Κολλάτεια, χρείας τινὰς ὑπηρετήσων στρατιωτικάς, παρ' ἀνδρὶ κατήχθη συγγενεῖ Λευκίωι Ταρκυνίωι τῶι Κολλατίνωι προσαγορευομένωι. (3) τοῦτον τὸν ἄνδρα Φάβιος μὲν υἱὸν εἶναί φησιν Ἠγερίου, περὶ οὗ δεδήλωκα πρότερον (cf. 3, 50, 3) ὅτι Ταρκυνίωι τῶι προτέρωι βασιλεύσαντι Ῥωμαίων ἀδελφόπαις ἦν, καὶ Κολλατείας ἡγεμὼν ἀποδειχθεὶς ἀπὸ τῆς ἐν ἐκείνηι τῆι πόλει διατριβῆς αὐτός τε Κολλατῖνος ἐκλήθη καὶ τοῖς ἐγγόνοις ἀφ' ἑαυτοῦ τὴν αὐτὴν κατέλιπεν ἐπίκλησιν. ἐγὼ δὲ καὶ τοῦτον υἱωνὸν εἶναι τοῦ Ἠγερίου πείθομαι, εἴ γε τὴν αὐτὴν εἶχε τοῖς Ταρκυνίου παισὶν ἡλικίαν, ὡς Φάβιός τε καὶ οἱ λοιποὶ συγγραφεῖς παραδεδώκασιν. F 7

13 (24/11; 15/6) a) CICERO *De div.* 1, 55: *omnes hoc historici,* Fabii, *Gellii* (F 21 Pet), *sed proxume Coelius* (F 49 Pet): *cum bello Latino ludi votivi maxumi primum fierent, civitas ad arma repente est excitata; itaque ludis* 490[a]

4 *summam* Glareanus *quia summum* (*quam* s. dett.) o *quippe summam* Bkr [*ne*] Castiglioni 5 *Capitolio* v – *lium* Arn 6 *Oli* Salm *tolo* Arn 10 *Valerius Antias* Ursinus *valerianus* Arn 11 *cuius manu* v *germani* Arn *cur manu* Zinke 13 *paternae* Hildebrand *paternitate* Arn 14 *retecto* Zinke *rejecto* Arn *qua areae curiosa* Roth *qua rei curiosa* Arn *qua areis* Hildebrand 15 *ominis* Gelen *hominis* Arn 20 *Oli* Salm *soli* Arn 21 ἐν τῶι δὴ B 23 κατήχθη Ree κατηχ[illegible] AB[illegible] [illegible] B[illegible] 25 φησιν om. 24 A [illegible] B[illegible] [illegible] B[illegible] 26 ἀδελφόπαις [illegible] AB[illegible] 27 κολλατεια B 30 εἰ γε . . εἶχε om. A

intermissis instaurativi constituti sunt. qui ante quam fierent, cumque iam populus consedisset, servus per circum, cum virgis caederetur, furcam ferens ductus est. exin cuidam rustico Romano dormienti visus est venire qui diceret praesulem sibi non placuisse ludis, idque ab eodem iussum esse eum senatui nuntiare. illum non esse ausum; iterum esse idem iussum et monitum, ne vim suam experiri vellet; ne tum quidem esse ausum. exin filium eius esse mortuum, eandem in somnis admonitionem fuisse tertiam. tum illum etiam debilem factum rem ad amicos detulisse, quorum de sententia lecticula in curiam esse delatum, cumque senatui enarravisset, pedibus suis salvum domum revertisse. itaque somnio comprobato a senatu ludos illos iterum instauratos memoriae proditum est. b) DION. HAL. *A.R.* 7, 70: (c. 68-69 prodigien und anzeige des T. Latinius über die traumerscheinung des Jupiter Capitolinus, der verlangt, ἵν' ἀναθῶνται τὰς ἑορτὰς καὶ ἐξ ἀρχῆς ἑτέρας ἐπιτελέσωσιν). (70) ἐπεὶ δὲ κατὰ τοῦτο γέγονα τῆς ἱστορίας τὸ μέρος, οὐκ οἴομαι δεῖν τὰ περὶ τὴν ἑορτὴν ἐπιτελούμενα ὑπ' αὐτῶν παρελθεῖν, οὐχ ἵνα μοι χαριεστέρα γένηται προσθήκας λαβοῦσα θεατρικὰς καὶ λόγους ἀνθηροτέρους ἡ διήγησις, ἀλλ' ἵνα τῶν ἀναγκαίων τι πιστώσηται πραγμάτων, ὅτι τὰ συνοικίσαντα ἔθνη τὴν 'Ρωμαίων πόλιν 'Ελληνικὰ ἦν ἐκ τῶν ἐπιφανεστάτων ἀποικισθέντα τόπων, ἀλλ' οὐχ ὥσπερ ἔνιοι νομίζουσι βάρβαρα καὶ ἀνέστια. (2) ὑπεσχόμην γὰρ ἐπὶ τῶι τέλει τῆς πρώτης γραφῆς (1, 90, 2), ἣν περὶ τοῦ γένους αὐτῶν συνταξάμενος ἐξέδωκα, μυρίοις βεβαιώσειν τεκμηρίοις τὴν πρόθεσιν, ἔθη καὶ νόμιμα καὶ ἐπιτηδεύματα παλαιὰ παρεχόμενος αὐτῶν, ἃ μέχρι τοῦ κατ' ἐμὲ φυλάττουσι χρόνου, οἷα παρὰ τῶν προγόνων ἐδέξαντο, οὐχ ἡγούμενος ἀποχρῆν τοῖς ἀναγράφουσι τὰς ἀρχαίας καὶ τοπικὰς ἱστορίας, ὡς παρὰ τῶν ἐπιχωρίων αὐτὰς παρέλαβον, ἀξιοπίστως διελθεῖν, ἀλλὰ καὶ μαρτυριῶν οἰόμενος αὐταῖς δεῖν πολλῶν καὶ δυσαντιλέκτων, εἰ μέλλουσι πισταὶ φανήσεσθαι. (3) ἐν αἷς πρῶτα καὶ κυριώτατα πάντων εἶναι πείθομαι τὰ γινόμενα καθ' ἑκάστην πόλιν περὶ θεῶν καὶ δαιμόνων πατρίους σεβασμούς· ταῦτα γὰρ ἐπὶ μήκιστον χρόνον διὰ φυλακῆς ἔχει 'Ελλάς τε καὶ βάρβαρος χώρα, καὶ οὐθὲν ἀξιοῖ καινοτομεῖν εἰς αὐτὰ ὑπὸ δείματος κρατουμένη μηνιμάτων δαιμονίων . . . . . . (71) ἕτερος μὲν οὖν ἀποχρῆν ἂν ὑπέλαβε καὶ αὐτὰ τὰ νῦν πραττόμενα ἐν τῆι πόλει μηνύματα οὐ † μικρὰ τῶν παλαιῶν ἐπιτηδευμάτων ὑπολαβεῖν †, ἐγὼ δὲ ἵνα μή τις ἀσθενῆ τὴν πίστιν εἶναι ταύτην ὑπολάβηι † εἴτε κατ' ἐκείνην τὴν ἀπίθανον ὑπόληψιν, ὅτι παντὸς τοῦ 'Ελληνικοῦ κρατήσαντες ἀσμένως ἂν τὰ κρείττω μετέμαθον ἔθη τῶν ἐπιχωρίων ὑπεριδόντες, ἐξ ἐκείνου ποιήσομαι τοῦ χρόνου τὴν τέκμαρσιν, ὅτ' οὔπω τὴν τῆς 'Ελλάδος εἶχον ἡγεμονίαν οὐδὲ ἄλλην διαπόντιον οὐδεμίαν ἀρχήν, Κοίντωι Φαβίωι βεβαιωτῆι χρώμενος καὶ οὐδεμιᾶς ἔτι δεόμενος πίστεως ἑτέρας· παλαιότατος γὰρ ἀνὴρ τῶν τὰ 'Ρωμαικὰ συνταξαμένων καὶ πίστιν οὐκ ἐξ ὧν ἤκουσε μόνον, ἀλλὰ καὶ ἐξ ὧν αὐτὸς ἔγνω παρεχόμενος.

(2) ταύτην δὴ τὴν ἑορτὴν ἐψηφίσατο μὲν ἡ βουλὴ τῶν 'Ρωμαίων ἄγειν, ὡς

---

2 *per circum*: δι' ἀγορᾶς (F 13 b c. 72, 1) . . . καὶ εἴ τις ἄλλος ἦν τῆς πόλεως τόπος ἐπιφανὴς ἡγούμανον Dion. Hal. *A.R.* 7, 69, 1   9 *domum* (οἴκαδε Dion. Hal. *A.R.* 7, 68, 6) om. AVH   16 συνοικήσαντα B[c]   25 τοὺς γινομένους A   26 πατρίου σεβασμοῦ B   27-28 [κρατουμένη] Cobet   29 ἐν τῆι πόλει Kiessling ἐπὶ τ.π. O [ἐ.τ.π.] Kayser   30 ἀπολαβεῖν Sintenis οὐ πολὺ διαφέροντα – ὑπολαβεῖν o.ä.? [εἴτε] Portus εἴτε <κατ' ἄλλην εἴτε> Sintenis   35 ἀνὴρ Kiessling ὁ ἀνὴρ A ἀνὴρ B

καὶ πρότερον ἔφην, κατὰ τὰς γενομένας εὐχὰς ὑπὸ τοῦ δικτάτορος Αὔλου Ποστομίου, ὅτ' ἔμελλεν ἀγωνίζεσθαι πρὸς τὰς ἀποστάσας Λατίνων πόλεις, κατάγειν ἐπιχειρούσας Ταρκύνιον ἐπὶ τὴν ἀρχήν, ἀναλοῦσθαι δ' ἔταξε καθ' ἕκαστον ἐνιαυτὸν εἴς τε τὰς θυσίας καὶ τοὺς ἀγῶνας ἀργυρίου πεντακοσίας μνᾶς· καὶ μέχρι τοῦ Φοινικικοῦ πολέμου ταῦτ' ἐδαπάνων εἰς τὴν ἑορτήν. (3) ἐν δὲ ταῖς ἱεραῖς ἡμέραις ταύταις πολλὰ μὲν καὶ ἄλλα ἐγίνετο νόμοις Ἑλληνικοῖς κατά τε πανηγυρισμοὺς καὶ ξένων ὑποδοχὰς καὶ ἐκεχειρίας, ἃ πολὺ ἂν ἔργον εἴη λέγειν, τὰ δὲ περὶ πομπήν τε καὶ θυσίαν καὶ τὰ κατὰ τοὺς ἀγῶνας (ἀπόχρη γὰρ ἐκ τούτων καὶ τὰ μὴ λεχθέντα ἐξετάζειν) τοιάδε. (72) πρὶν <γὰρ> ἄρξασθαι τῶν ἀγώνων, πομπὴν ἔστελλον τοῖς θεοῖς οἱ τὴν μεγίστην ἔχοντες ἐξουσίαν, ἀπὸ τοῦ Καπιτωλίου τε καὶ δι' ἀγορᾶς ἄγοντες ἐπὶ τὸν μέγαν ἱππόδρομον. ἡγοῦντο δὲ τῆς πομπῆς πρῶτον μὲν οἱ παῖδες αὐτῶν οἱ πρόσηβοί τε καὶ τοῦ πομπεύειν ἔχοντες ἡλικίαν, ἱππεῖς μὲν ὧν οἱ πατέρες τιμήματα ἱππέων εἶχον, πεζοὶ δ' οἱ μέλλοντες ἐν τοῖς πεζοῖς στρατεύεσθαι, οἱ μὲν κατ' ἴλας τε καὶ κατὰ λόχους, οἱ δὲ κατὰ συμμορίας τε καὶ τάξεις ὡς εἰς διδασκαλεῖον πορευόμενοι, ἵνα φανερὰ γίνοιτο τοῖς ξένοις ἡ μέλλουσα ἀνδροῦσθαι τῆς πόλεως ἀκμὴ πλῆθός τε καὶ κάλλος οἵα τις ἦν. (2) τούτοις ἠκολούθουν ἡνίοχοι τέθριππά τε καὶ συνωρίδας καὶ τοὺς ἀζεύκτους ἵππους ἐλαύνοντες· μεθ' οὓς οἱ τῶν ἀθλημάτων ἀγωνισταὶ τῶν τε κούφων καὶ τῶν βαρέων, τὸ μὲν ἄλλο σῶμα γυμνοί, τὸ δὲ περὶ τὴν αἰδῶ καλυπτόμενοι. [[τοῦτο καὶ εἰς ἐμὲ τὸ ἔθος ἐν Ῥώμηι διέμενεν, ὡς ἐξ ἀρχῆς ἐγίνετο παρ' Ἕλλησιν· ἐν δὲ τῆι Ἑλλάδι καταλέλυται, Λακεδαιμονίων αὐτὸ καταλυσάντων .... τὰ δὲ πρὸ τούτων δι' αἰσχύνης εἶχον ἅπαντες Ἕλληνες ὅλα γυμνὰ φαίνειν ... τὰ σώματα, ὡς Ὅμηρος τεκμηριοῖ .... τοῦτο δὴ τὸ ἔθος ἀρχαῖον ἐν τοῖς Ἕλλησιν ὂν οἱ φυλάττοντες μέχρι τοῦδε Ῥωμαῖοι δῆλοί εἰσιν οὐ προσμαθόντες παρ' ἡμῶν ὕστερον, ἀλλ' οὐδὲ μεταθέμενοι σὺν χρόνωι καθάπερ ἡμεῖς.]] (5) ἠκολούθουν δὲ τοῖς ἀγωνισταῖς ὀρχηστῶν χοροὶ πολλοὶ τριχῆι νενεμημένοι, πρῶτοι μὲν ἀνδρῶν, δεύτεροι δ' ἀγενείων, τελευταῖοι δὲ παίδων, οἷς παρηκολούθουν αὐληταί τ' ἀρχαικοῖς ἐμφυσῶντες αὐλίσκοις βραχέσιν [[ὡς καὶ εἰς τόδε χρόνου γίνεται]] καὶ κιθαρισταὶ λύρας ἑπταχόρδους ἐλεφαντίνας καὶ τὰ καλούμενα βάρβιτα κρέκοντες [[ὧν παρὰ μὲν Ἕλλησιν ἐκλέλοιπεν ἡ χρῆσις ἐπ' ἐμοῦ πάτριος οὖσα· παρὰ δὲ Ῥωμαίοις ἐν ἁπάσαις φυλάττεται ταῖς ἀρχαίαις θυηπολίαις.]] (6) σκευαὶ δὲ τῶν ὀρχηστῶν ἦσαν χιτῶνες φοινίκεοι ζωστῆρσι χαλκέοις ἐσφιγμένοι καὶ ξίφη περιηρτημένα καὶ λόγχαι βραχύτεραι τῶν μετρίων, τοῖς δ' ἀν-

---

4 εἴς τε B εἶτε A 7 Ἑλληνικοῖς <παραπλήσια>? πανηγυριασμούς B ἐκκεχειρίας B 8 ἂν ἔργον B ἔ. ἂν r καὶ κατὰ (om. τὰ) A 10 <γὰρ> C 11 ἐξουσίαν: οὐσίαν Mommsen 12 οἱ (vor πρόσηβοι) om. A 15 [κατὰ] λόχους Kiessling ὡς om. B[ac] 18 <τὰ> τεθρ. τε καὶ <τὰς> συν. C. Jacoby καὶ ἀζεύκτους Kiessling 20 τὰ δὲ Rei 23 ἀναφαίνειν A 26 πολλοὶ B πολοὶ A ἴ. om. r 28 τ' add. B ἀρχαικῶς Cobet 29 [καὶ] Kiessling 32 φοινίκ<ει>οι B φοινικοῖ? C. Jacoby 33 παρηρτημένα Rei

πέραν Θύμβρεος ποταμοῦ στρατεύσας ἐπολέμησε Ῥωμαίοις, καὶ τὴν ἀπὸ σιτίων φερομένην εὐθηνίαν μέσην λαβὼν λιμῶι τοὺς προειρημένους ἔτρυχεν. Ὁράτιος δὲ Κάτλος στρατηγὸς χειροτονηθεὶς τὴν ξυλίνην κατελάβετο γέφυραν, καὶ τὸ πλῆθος τῶν βαρβάρων διαβῆναι βουλόμενον ἐπεῖχε. πλεονεκτούμενος δ' ὑπὸ τῶν πολεμίων προσέταξε τοῖς ὑποτεταγμένοις κόπτειν τὴν γέφυραν, καὶ τὸ πλῆθος τῶν βαρβάρων διαβῆναι βουλόμενον ἐκώλυσε. βέλει δὲ τὸν ὀφθαλμὸν πληγείς, ῥίψας ἑαυτὸν εἰς τὸν ποταμὸν διενήξατο εἰς τοὺς οἰκείους, ὡς Θεότιμος <ἐν> δευτέρωι Ἰταλικῶν.

c) *ANTIQUARISCHES, RHETORISCHES, BIOGRAPHISCHES ETC.*

(No. 90 F 125/30; 147; 790 T 1; 840 F 30)

—. ARISTOTELES (?) s. IV 2ª

NOMIMA ΡΩΜΑΙΩΝ

IV; (840 F 13; 23?).

835. ARISTOTHEOS VON TROIZEN c. 158/7ª

T

1 (–) Fouilles De Delphes III 3 no. 124 (*Syll.* ^{3} 702): . . . ἔδοξε τᾶι πόλει τῶν Δελφῶν . . . ἐπειδὴ Ἀριστόθεος Νικοθέου [Τρο]ζάνιος, ἱστοριογράφος, παραγενόμενος [ἐ]ν τὰν πόλιν . . . ἐποιήσατο δὲ καὶ ἀκροάσεις ἐπ[ὶ π]λείονας ἁμέρας τῶν πεπραγματευμένων αὐτῶι, παρανέγνω [δὲ καὶ] ἐν[κώ]μια εἰς Ῥωμαίους τοὺς κοινοὺς τῶν Ἑλλάνων εὐεργέτας, δεδόσθαι παρὰ τᾶς πόλιος προξενίαν αὐτῶι καὶ ἐκγόνοις κτλ.

836. PYRRHON VON LIPARA

1 (IV 479) Plutarch. *Aet. Rom.* 79 p. 282 F: διὰ τί τοῦ θριαμβεύσαντος, εἶτ' ἀποθανόντος καὶ καέντος, ἐξῆν ὀστέον λαβόντας εἰς τὴν πόλιν εἰσφέρειν καὶ κατατίθεσθαι, ὡς Πύρρων ὁ Λιπαραῖος ἱστόρηκεν; ἢ τιμῆς ἕνεκα τοῦ τεθνηκότος; καὶ γὰρ ἄλλοις ἀριστεῦσι καὶ στρατηγοῖς ἔδωκαν οὐκ αὐτοὺς μόνον ἀλλὰ καὶ τοὺς ἀπ' αὐτῶν ἐνθάπτεσθαι τῆι ἀγορᾶι, καθάπερ Οὐαλερίωι καὶ Φαβρικίωι· καί φασι τούτων ἀπογόνοις ἀποθανοῦσι καὶ κομισθεῖσιν εἰς ἀγορὰν ὑφίεσθαι δᾶιδα καιομένην, εἶτ' εὐθὺς αἴρεσθαι, χρωμένων ἀνεπιφθόνως τῆι τιμῆι καὶ τὸ ἐξεῖναι μόνον ἐκβεβαιουμένων. (80) διὰ τί τοὺς θριαμβεύσαντας ἑστιῶντες ἐν δημοσίωι παρῃτοῦντο τοὺς ὑπάτους, καὶ πέμποντες παρεκάλουν μὴ ἐλθεῖν ἐπὶ τὸ δεῖπνον; ἢ καὶ τόπον ἔδει τῶι θριαμβεύσαντι κλισίας τὸν ἐντιμότατον ἀποδίδοσθαι καὶ προπομπὴν μετὰ τὸ δεῖπνον· ταῦτα δ' οὐκ ἔξεστιν ἑτέρωι γίνεσθαι τῶν ὑπάτων παρόντων ἀλλ' ἐκείνοις;

---

1 θύμβριος Π^{2}Σg θύβριος FΠ 2 Ὁράτιος v (J^2 *s.l.*) ὁράλιος o Κάτλος: καῦλος Φ κόκλης ς 6 καὶ ῥίψας Φ 7 <ἐν> v om. FΦΠ 26 ἀπ' ΕΦ ἐπ' Π <τοῖς> τούτων? 30 μὴ Ε μὴ δὲ r 30-31 κλισίας τὸν Cobet καὶ σίαστον o 31 προπομπὴν Ε προπεμπτὴν r

—. APION DER OASITE s. I 1'

ΠΕΡΙ ΤΗΣ ΑΠΙΚΙΟΥ ΤΡΥΦΗΣ

616 F 24.

—. C. SUETONIUS TRANQUILLUS c. 70/13

ΠΕΡΙ ΡΩΜΗΣ ΚΑΙ ΤΩΝ ΕΝ ΑΥΤΗΙ ΝΟΜΙΜΩΝ ΚΑΙ ΗΘΩΝ Α̅Β̅.
ΠΕΡΙ ΤΩΝ ΠΑΡΑ ΡΩΜΑΙΟΙΣ ΘΕΩΡΙΩΝ ΚΑΙ ΑΓΩΝΩΝ Α̅Β̅.
ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΡΩΜΑΙΟΥΣ ΕΝΙΑΥΤΟΥ Α̅.
ΣΤΕΜΜΑ‹ΤΑ› ΡΩΜΑΙΩΝ ΑΝΔΡΩΝ ΕΠΙΣΗΜΩΝ.
ΠΕΡΙ ΤΗΣ ΚΙΚΕΡΩΝΟΣ ΠΟΛΙΤΕΙΑΣ Α̅.
DE INSTITUTIONE OFFICIORUM.

IV.

—. PHLEGON VON TRALLES s. II 1'

ΠΕΡΙ ΤΩΝ ΠΑΡΑ ΡΩΜΑΙΟΙΣ ΕΟΡΤΩΝ Α̅-Γ̅ – ΠΕΡΙ ΤΩΝ ΕΝ ΡΩΜΗΙ ΤΟΠΩΝ ΚΑΙ ΩΝ ΕΠΙΚΕΚΛΗΝΤΑΙ ΟΝΟΜΑΤΩΝ

257 T 1.

—. DAMOPHILOS (DER BITHYNIER?) s. II 2'

(ΤΑ ΚΑΤΑ ΡΩΜΗΝ?)

IV.

—. HELLADIOS VON ANTINOUPOLIS 300/25'

ΡΩΜΗ

635 T 1.

837. PALLADIOS VON METHONE s. IV 1'

T

1 (IV 3) Suda s.v. Παλλάδιος Παλλαδίου Μεθωναῖος· σοφιστής. γέγονε δὲ ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως. Περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν· Διαλέξεις· Λόγους διαφόρους· Ὀλυμπιακόν· Πανηγυρικόν· Δικανικόν.

2 Phot. *Bibl.* 132/5 p. 97 a 23: ἀνεγνώσθησαν Παλλαδίου σοφιστοῦ Μελέται διάφοροι καὶ Ἀφθονίου καὶ Εὐσεβίου σοφιστοῦ καὶ Μαξίμου σοφιστοῦ Ἀλεξανδρέως. ἀλλὰ τῶν ἄλλων ὁ Παλλάδιος κατὰ πᾶσαν ἀρετὴν τὴν ἐν λόγοις ἐπὶ πλεῖστον διενήνοχεν.

F

ΠΕΡΙ ΤΩΝ ΠΑΡΑ ΡΩΜΑΙΟΙΣ ΕΟΡΤΩΝ

—

5 ἐθῶν? 8 Στέμμα‹τα› Bernhardy

838. LEPIDUS

1. ΠΕΡΙ ΙΕΡΕΩΝ

1 (–) Ioann. Lydus *De mag.* 1, 17 p. 22, 10 Wü: (tracht der patrizier) κάμπαγον αὐτὸ καλοῦσιν ἐκ τῆς ἐπὶ τὸν κάμπον, οἱονεὶ τὸ πεδίον, χρεί(ας ἔτι) καὶ νῦν· ἐπὶ γὰρ τοῦ πεδίου γενόμενοι τὰς προαγωγὰς τῶν ἀρχόντων Ῥωμαῖοι ἐπετέλουν, ἐφ' οὗ τοῖς τοιούτοις ἐστέλλοντο ὑποδήμασι. τουτονὶ τὸν κάμπαγον Θούσκων γενέσθαι τὸ πρὶν ὁ Λέπιδος ἐν τῶι Περὶ ἱερέων φησί.

2. ΙΣΤΟΡΙΑΣ ΕΠΙΤΟΜΗ Ᾱ-Η̄(?)

2 (IV 439, 1) Steph. Byz. s.v. Τεγέα· πόλις Ἀρκαδίας· (Hom. *Il.* B 607; Pausan. 8, 3, 4). Λέπιδος δ' ἐν Ἱστορίας ἐπιτομῆς ᾱ περὶ Λακεδαιμονίων οὕτω φησί· <<χρᾶι δ' αὐτοῖς ἡ Πυθία ἐπ' Ἀρκαδίαι ὧδε· "Ἀρκαδίην μ' αἰτεῖς; μέγα μ' αἰτεῖς· οὔ τοι δώσω. / πολλοὶ ἐν Ἀρκαδίηι βαλανηφάγοι ἄνδρες ἔασιν, / οἵ σ' ἀποκωλύσωσιν. ἐγὼ δέ τοι οὔ τι μεγαίρω· / δώσω τοι Τεγέην ποσσίκροτον ὀρχήσασθαι'. ἐχρῶντο δὲ καὶ πάλιν, καὶ ἀφικνεῖται αὐτοῖς τάδε· 'ἔστι τις Ἀρκαδίης Τεγέη λευρῶι ἐνὶ χώρωι, / ἔνθ' ἄνεμοι πνείουσι δύο κρατερῆς ὑπ' ἀνάγκης, / καὶ τύπος ἀντίτυπος, καὶ πῆμ' ἐπὶ πήματι κεῖται. / ἔνθ' Ἀγαμεμνονίδην κατέχει φυσίζοος αἶα· / τὸν σὺ κομισσάμενος Τεγέης ἐπιτάρροθος ἔσσηι'>>.

3 (2) Steph. Byz. s.v. Σκοῦποι· πόλις Θράικης. Λέπιδος ἐν Ἱστορικῆς ἐπιτομῆς η̄. τὸ ἐθνικὸν Σκουπηνοί.

4 (3) Steph. Byz. s.v. Βουθρωτός· .... (Teukros 274 F 1). τὸ ἐθνικὸν Βουθρώτιος. Λέπιδος δέ φησι διὰ τοῦ τ̄ Βουτρώτιος.

839. INEDITUM VATICANUM (s. I•?)

(ΑΠΟΦΘΕΓΜΑΤΑ ΡΩΜΑΙΚΑ)

1 (–) Cod. Vat. (Synesii) Gr. 435 (s. XIV) fol. 220: Πλουτάρ<χου ἢ> Κεκιλίου Ἀποφθέγματα Ῥωμαικά. (1) οὐκ ἐβούλοντο οἱ παλαιοὶ Ῥω-

---

11 λέσπιδος ἐν ἱστορίαις ἐπ. R ἐπιτομῆ V 13 μέγα μ'αἰτεῖς RV (Hdt. 1, 66, 2) μὲ 'γαιτεῖς P πολλοὶ δ' P 14 οἵ (οἷ V) σ' RV (Hdt) ἧς P 15 οὔ τι v (Hdt) οὔ τοι o ποσσίκροτον v (Hdt) ποσὶ (ποσσὶ R[c]) κρότον o 16 ὀρχήσασθαι / καὶ καλὸν πεδίον σχοίνωι διαμετρήσασθαι Hdt 17 ἀρκαδίη R 17-18 πνείσι R 18 δύω Hdt. 1, 67, 4 19 φυσίζωος R 20 κομισάμενος RV τεγέης R(Hdt) τεγέαις (ἐπὶ V) VP ἔσηι RV 21-22 Σκοῦποι-Σκουπηνοί v σκόποι (σκόσποι V) – σκοπηνοί o 21 λέσπιδος VP 21-22 ἱστορικῆ V 24 Βουτρώτιος v βουθρώτιος o 27-p. 908, 10: edd. (v.)Arn(im) *Herm.* 27, 1892, p. 118 ff.; *Caecilii Calact. Fragm.* coll. Of(enloch) 1907, p. 206 ff.; *Diodors Röm. Annalen* her. von Dra(chmann), 1912, p. 67 ff. 27-28 Πλουτ.-Ῥωμ. 'blosse vermutung dieses oder eines älteren schreibers' Arn Πλουτάρ<χου ἢ> Arn

μαίων, ὦ † σίβοσσε ἀνδρῶν ἄριστε, σοφοὶ εἶναι δοκεῖν, ὅθεν οὐδὲ ἐθήρων τὴν δόξαν δεινότητι λόγων ἢ περιττοῖς καὶ πιθανοῖς ἀποφθέγμασιν, οἷς ἐχρήσαντο Ἑλλήνων τινές, ἃ διαβεβόηται χρησμῶν εἶναι δοκοῦντα ἤδη πιστότερα· ‘μηδὲν ἄγαν’ καὶ ‘ἕπου θεῶι’ καὶ ‘χρόνων φείδου’ καὶ ‘γνῶθι σαυτόν’ καὶ ‘ἐγγύα, πάρα δ’ ἄτα’ καὶ ἄλλα τούτοις ἐοικότα, ἴσως μὲν καὶ ὠφέλιμα τοῖς πειθομένοις, ἔχοντα δέ τι ἐν τῶι βραχεῖ τῆς ἀποδόσεως ἡδὺ καὶ προσκλητικόν. Δικαιάρχωι (IV = F 31 Wehrli) δὲ οὐδὲ ταῦτα σοφῶν εἶναι ἀνδρῶν δοκεῖ· μὴ γὰρ δή γε τοὺς πάλαι λόγωι φιλοσοφεῖν, ἀλλ’ εἶναι τὴν σοφίαν τότε γοῦν ἐπιτήδευσιν ἔργων καλῶν, χρόνωι δὲ λόγων ὀχλικῶν γενέσθαι τέχνην· καὶ νῦν μὲν τὸν πιθανῶς διαλεχθέντα μέγαν εἶναι δοκεῖν φιλόσοφον, ἐν δὲ τοῖς πάλαι χρόνοις ὁ ἀγαθὸς μόνος ἦν φιλόσοφος, εἰ καὶ μὴ περιβλέπτους καὶ ὀχλικοὺς ἀσκοῖτο λόγους. οὐ γὰρ ἐζήτουν ἐκεῖ<νοί> γε εἰ πολιτευτέον οὐδὲ πῶς, ἀλλ’ ἐπολιτεύοντο αὐτοὶ καλῶς· οὐδὲ εἰ χρὴ γαμεῖν, ἀλλὰ γήμαντες ὃν δεῖ τρόπον γαμεῖν, ταῖς γυναιξὶ συνεβίουν. ταῦτα ἦν, φησίν, ἔργα ἀνδρῶν καὶ ἐπιτηδεύματα σοφῶν, αἱ δὲ ἀποφθέγξεις αὗται πρᾶγμα φορτικόν. τοιούτους πείθομαι καὶ τοὺς ὑμετέρους γενέσθαι πατέρας· εἶναι γὰρ ἀγαθοὶ ἐβούλοντο, καὶ τούτου τοῖς ἔργοις ἐφικνοῦντο, στρογγύλας δ’ ἀποφθέγξεις καὶ καλλιρήμονας ὥστε περιττὰς εἶναι δοκεῖν οὔτ’ ἐπετήδευον οὔτε ἐγίνωσκον. οἵοις μέντοι λογισμοῖς ἕκαστα ἔπραττον, τοιούτοις καὶ λόγοις περὶ αὐτῶν ἐχρῶντο, οὐκ εἰς βραχὺ συνηγμένοις ἀλλὰ καλοῖς, εἰ τὸν νοῦν σκέπτοιτό τις, μὴ ἐπιδεικτικῶς ἐξετάζων ἀλλ’ ἐπὶ τὴν χρείαν ἕκαστα ἀνάγων.

(2) οἷόν τι περὶ Ἀππίου τοῦ ἀναπήρου πεπύσμεθα. ἦν μὲν γὰρ ἤδη γηραιός, πρὸς Πύρρον δὲ Ῥωμαίοις πόλεμος ἦν, καὶ ὁ βασιλεὺς τῆι πρώτηι μάχηι νικήσας διαπρεσβεύεται, συμβῆναι ἐπὶ τοῖσδε ἀξιῶν· τὸ μὲν Ἑλληνικὸν τὸ ἐν Ἰταλίαι πᾶν ἐλεύθερον εἶναι καὶ αὐτόνομον, χρῆσθαι δὲ καὶ Σαυνίτας καὶ Λευκανοὺς καὶ πάντας Βρεττίους τοῖς αὑτῶν νόμοις, Πύρρου ὄντας συμμάχους, Ῥωμαίους δὲ Λατίνων ἄρχειν μόνων. πρὸς ταῦτα οἱ μὲν ἀντέλεγον, αἰσχρὰ πρὸς δὲ καὶ βλαβερὰ εἶναι φάμενοι τῆι πόλει, τοῖς δ’ οὐκ ἐδόκει ἀντιτείνειν, τὸν περὶ τῶν ὅλων κίνδυνον δεδιόσι. καί τις τῶν ἐκ μέσου ἀνὴρ ἐπαινούμενος ‘ἄμεινον ἂν’ ἔφη ‘βουλευσαίμεθα, εἰ καὶ Ἄππιον σύμβουλον λάβοιμεν’· ὁ γὰρ ἀνὴρ σὺν τῶι φρονίμωι καὶ φιλόπολις ἐδόκει. καλεῖ<ται> οὖν· καὶ ὡς ἧκε, λέγουσιν αὐτῶι ἐφ’ οἷς ἠξίου συμβαίνειν ὁ βασιλεύς. τὸν δὲ ἐπὶ πολὺν χρόνον σιωπήσαντα εἰπεῖν μόλις ‘πάλαι μέν, ὦ βουλή, ὑπερηχθόμην ἀνάπηρος ὤν, νῦν δὲ

---

1 σίβοσσε: Σήβωσε (Σηβῶσε) Dittenberger 2-3 ἀποφθέγμασιν (-έγγμασιν V) οἷοις ἐχρ. Ἑλλ. τ., <δόξαν δὲ ἔλαβον ὡς σοφοὶ ὄντες οἱ τὰ τοιάδε μάλιστα εἰπόντες> o.ä. Arn 6 προκλητικόν Arn παρακλητικόν Kaibel 12 ἐκεῖ<νοί> γε Arn 13-14 γαμεῖν <οὐδὲ> ὃν δεῖ τρόπον γαμεῖν, ἀλλὰ γήμαντες τ. γυν. συνεβ. Wünsch 14 συνεβίουν V[c] -ίων V[ac] φησίν Arn φασιν V 16 τούτου Arn -των V 23 (26) πύρον V 30 (p. 907, 5) ἄπιον V 31 καλεῖ<ται> Kaibel

πολλὴν τῆι συμφορᾶι ταύτηι χάριν ἔχω, μὴ ὁρᾶν ὑμᾶς τοὺς τοιαῦτα βουλευομένους· εἴθε δέ με καὶ κωφὸν γεγονέναι, ἵνα μηδὲ ἀκούοιμι αἰσχρῶν λόγων'. κἀντεῦθεν ἐπεδείκνυε τό τε ἐπικίνδυνον καὶ ἄδοξον τῆς συμβάσεως.

(3) ὅμοιον δὲ καὶ τὸ Καίσωνος. ὁ γὰρ δὴ Καίσων τῶι παρὰ Καρχηδονίων πρεσβευτῆι ταχθεὶς ἐλθεῖν εἰς λόγους (ὁ δὲ τάξας ἦν Ἄππιος <ὁ> ἐπὶ Σικελίας πρῶτος στρατηλατῶν), ἐπεὶ παριὼν ὁ Φοῖνιξ εἶπε καὶ ἐμεγαληγόρει περὶ τῆς Καρχηδόνος, Ῥωμαίοις δὲ ἐπετίμα διότι ἐπιχειροῦσι περὶ νήσου πρὸς αὐτοὺς πολεμεῖν οὔτε ναυτικὸν ἔχοντες οὔτε ἔμπειροι ἀγώνων ὄντες θαλαττίων, τῆς Καρχηδόνος τοσούτους χρόνους ἐνδυναστευούσης τῆι θαλάττηι, καὶ νεωστὶ Πύρρον ἰδόντες ὑπ' αὐτῶν καταναυμαχημένον τηλικοῦτον βασιλέα — ταῦτα τοῦ Καρχηδονίου λέγοντος, 'ἡμεῖς' εἶπεν 'οὕτως πεφύκαμεν (ἐρῶ δέ σοι ἔργα ἀναμφισβήτητα, ἵνα ἔχηις ἀπαγγέλλειν τῆι πόλει)· τοῖς πολεμοῦσιν εἰς τὰ ἐκείνων ἔργα συγκαταβαίνομεν, κἂν τοῖς ἀλλοτρίοις ἐπιτηδεύμασι περίεσμεν τῶν ἐκ πολλοῦ αὐτὰ ἠσκηκότων. Τυρρηνοὶ γὰρ ἡμῖν ἐπολέμουν χαλκάσπιδες καὶ φαλαγγηδόν, οὐ κατὰ σπείρας μαχόμενοι· καὶ ἡμεῖς μεθοπλισθέντες καὶ τὸν ἐκείνων ὁπλισμὸν μεταλαβόντες παρεταττόμεθα αὐτοῖς, καὶ τοὺς ἐκ πλείστου ἐθάδας τῶν ἐν φάλαγγι ἀγώνων οὕτως ἀγωνιζόμενοι ἐνικῶμεν. οὐκ ἦν ὁ Σαυνιτικὸς ἡμῖν θυρεὸς πάτριος, οὐδ' ὑσσοὺς εἴχομεν, ἀλλ' ἀσπίσιν ἐμαχόμεθα καὶ δόρασιν· ἀλλ' οὐδ' ἱππεύειν ἰσχύομεν, τὸ δὲ πᾶν ἢ τὸ πλεῖστον τῆς Ῥωμαικῆς δυνάμεως πεζὸν ἦν. ἀλλὰ Σαυνίταις καταστάντες εἰς πόλεμον, καὶ τοῖς ἐκείνων θυρεοῖς καὶ ὑσσοῖς ὁπλισθέντες ἱππεύειν τε αὐτοὺς ἀναγκάσαντες, ἀλλοτρίοις ὅπλοις καὶ ζηλώμασιν ἐδουλωσάμεθα τοὺς μέγα ἐφ' ἑαυτοῖς πεφρονηκότας. οὐδὲ πολιορκεῖν, ὦ Καρχηδόνιοι, ἐγινώσκομεν· ἀλλὰ παρὰ τῶν Ἑλλήνων μαθόντες, ἀνδρῶν τοῦ ἔργου πεπειραμένων, κἀκείνων τῶν ἐπιστημόνων καὶ πάντων ἀνθρώπων ἐν πολιορκίαι δεδυνήμεθα πλέον. μὴ δὴ Ῥωμαίους ἀναγκάσητε ἅψασθαι τῶν θαλαττίων· εἰ γὰρ ἡμῖν δεήσει ναυτικοῦ, πλείους μὲν καὶ ἀμείνους ὑμῶν ἐν ὀλίγωι χρόνωι κατασκευασόμεθα ναῦς, κρεῖττον δὲ ναυμαχήσομεν τῶν ἐκ πλείστου ναυτικῶν'. καὶ οὐκ ἐψεύσατο ὁ Καίσων· βιασθέντες γὰρ ὑπὸ Καρχηδονίων ναυμαχῆσαι, εὐθὺς τῆι πρώτηι περιεγένοντο ναυμαχίαι, Δουιλίου στρατηγοῦντος.

(4) Μάνιος δὲ Βαλέριος, <ὁ> τὰς πρὸς Ἱέρωνα συνθήκας ποιησάμενος, δοκεῖ καὶ βραχέως καὶ ἀληθῶς εἰπὼν προτρέψαι τὴν βουλὴν ἔχεσθαι τῶν ναυτικῶν ὅτι 'περὶ νήσου καὶ ἐν νήσωι μαχομένους οὐκ ἔστι τῶι παντὶ νικᾶν μὴ ναυκρατοῦντας'. καὶ οὐδ' οὗτος ἐψεύσατο· τῶι γὰρ τρίτωι καὶ εἰκοστῶι τῶν ἐτῶν ναυμαχίαι κρατήσαντες Καρχηδονίων Σικελίαν τε ἔσχον, περὶ ἧς ὁ ἀγών,

1 ἔχω τοῦ (o. τὸ) μὴ Arn ἔχω μὴ ὁρῶν Kaibel 2 εἴθ' ἔδει Kaibel κωφὸν <ἦν>? Arn 4 κέσωνος (stets) V 5 <ὁ> Arn 6 παριὼν Kaibel περὶ ὧν V 7 νήσου Arn νόμου V 10 πύρον V 14 τυρηνοὶ V 25 δὴ Arn δὲ V 25-26 ἀναγκάσητε Dra -άσετε V -άζετε Arn -άσαιτε Radermacher 31 <ὁ> Arn 35 περὶ ἧς <ἦν>? Dra

καὶ φόρου τοὺς Φοίνικας ἐποιήσαντο ὑποτελεῖς. μαντικὰ ταῦτα ἐκ λογισμοῦ ἔμφρονος, ἐπιμεμαρτυρημένα ἔργων ἐκβάσει.

(5) μὴ ἄρα καὶ τὸ ʽΡέμου τοιοῦτον ἦν. ὅτε γὰρ δὴ τὴν ʼΑλβανῶν βασιλείαν οἱ περὶ τὸν ʽΡωμύλον Νεμέτορι ἀποδόντες τῶι πάππωι κτίζειν ἔγνωσαν ἰδίαν αὐτῶν πόλιν, περὶ τοῦ τόπου ἐν ὧι κτιστέον διεφέροντο· καὶ ʽΡωμύλου τὸ Παλάτιον προκρίνοντος, ἐν ὧι καὶ ἐγεννήθησαν καὶ ἐτράφησαν, ὁ ʽΡέμος ἕτερον προηιρεῖτο χωρίον καὶ αὐτὸ παρὰ τὸν Τίβεριν ὄν, καὶ μέχρι τοῦ νῦν ὁ τόπος καλεῖται ʽΡεμορία. ἀπαραχωρήτως δ' ἄμφω διὰ φιλοτιμίαν ἔχοντες, συντίθενται θεοῖς ἐπιτρέψαι τὸ πρᾶγμα, καὶ ἐν ἡμέραι τινὶ ῥητῆι ἅμα ἀνίσχοντι ἡλίωι ὀρνιθεύεσθαι ἐν τῶι αὐτοῦ χωρίωι ἑκάτερον· ὁποτέρωι * * *

840. ANHANG

1 a) DION. HAL. *A.R.* 1, 4, 2: ἔτι γὰρ ἀγνοεῖται παρὰ τοῖς Ἕλλησιν ὀλίγου δεῖν πᾶσιν ἡ παλαιὰ τῆς ʽΡωμαίων πόλεως ἱστορία ..... (5, 4) ... οὐδεμία γὰρ ἀκριβὴς ἐξελήλυθε περὶ αὐτῶν ʽΕλληνὶς ἱστορία μέχρι τῶν καθ' ἡμᾶς χρόνων, ὅτι μὴ κεφαλαιώδεις ἐπιτομαὶ πάνυ βραχεῖαι. (6, 1) πρώτου μέν, ὅσα κἀμὲ εἰδέναι, τὴν ʽΡωμαικὴν ἀρχαιολογίαν ἐπιδραμόντος ʽΙερωνύμου τοῦ Καρδιανοῦ συγγραφέως ἐν τῆι Περὶ τῶν ἐπιγόνων πραγματείαι (154), ἔπειτα Τιμαίου τοῦ Σικελιώτου (566 T 9) τὰ μὲν ἀρχαῖα τῶν ἱστοριῶν ἐν ταῖς Κοιναῖς ʽΙστορίαις ἀφηγησαμένου, τοὺς δὲ πρὸς Πύρρον τὸν ʼΗπειρώτην πολέμους εἰς ἰδίαν καταχωρίσαντος πραγματείαν. ἅμα δὲ τούτοις ʼΑντιγόνου (816) τε καὶ Πολυβίου καὶ Σιληνοῦ (175) καὶ μυρίων ἄλλων τοῖς αὐτοῖς πράγμασιν οὐχ ὁμοίως ἐπιβαλόντων, ὧν ἕκαστος ὀλίγα οὐδὲ αὐτὰ διεσπουδασμένως οὐδὲ ἀκριβῶς ἀλλ' ἐκ τῶν ἐπιτυχόντων ἀκουσμάτων συνθεὶς ἀνέγραψεν. (2) ὁμοίας δὲ τούτοις ... ἐξέδωκαν ἱστορίας καὶ ʽΡωμαίων ὅσοι τὰ παλαιὰ ἔργα τῆς πόλεως ʽΕλληνικῆι διαλέκτωι συνέγραψαν (809 T 4a) .... **b)** JOSEPH. *c. Ap.* 1, 66: καὶ τοῦτο φαίνεται καὶ περὶ τὴν Εὐρώπην συμβεβηκός, ὅπου γε τῆς ʽΡωμαίων πόλεως τοιαύτην ἐκ μακροῦ δύναμιν κεκτημένης καὶ τοιαύτας πράξεις κατορθούσης πολεμικὰς οὔθ' [ὁ] ʽΗρόδοτος οὔτε Θουκυδίδης οὔτε τῶν ἅμα τούτοις γενομένων οὐδὲ εἷς ἐμνημόνευκεν, ἀλλ' ὀψέ ποτε καὶ μόλις αὐτῶν εἰς τοὺς Ἕλληνας ἡ γνῶσις διεξῆλθεν. F 24 a.

Die Ueberlieferung

2 a) CICERO *De or.* 2, 52 (s. 809 T 8b): *erat enim historia nihil aliud nisi annalium confectio, cuius rei memoriaeque publicae retinendae causa ab initio rerum Romanarum usque ad P. Mucium pontificem maximum*

---

5 αὐτῶν Arn αὐτοῦ V 10 αὐτοῦ Arn αὐτῶι V 17 ἐπιγόνων A ἐπειγομένων B 18 ἱστοριῶν: πραγμάτων o. ἔργων o.ä.? 20 καταχωρίσαντος v -ήσαντος AB 22-23 οὐδὲ αὐτὰ διεσπουδασμένως οὐδὲ ἀκριβῶς A οὐδὲ ἀκριβῶς αὐτῶ διεσπουδασμένως B καὶ οὐδὲ ἀκριβῶς αὐτῶι διεσπουδασμένα Hudson, Mei καὶ οὐδὲ ταῦτα διεσπουδασμένως [οὐδὲ ἀκριβῶς] Kiessling, Grasberger 28 [ὁ] Niese

(c. 130/20ᵃ) *res omnis singulorum annorum mandabat litteris pontifex maximus referebatque in album et proponebat tabulam domi, potestas ut esset populo cognoscendi, eique etiam nunc Annales Maximi nominantur.* b) SERV. DAN. VERGIL. *A.* 1, 373: *ita autem annales conficiebantur: tabulam dealbatam quotannis pontifex maximus habuit, in qua praescriptis consulum nominibus et aliorum magistratuum digna memoratu notare consueverat domi militiaeque terra marique gesta per singulos dies. cuius diligentiae annuos commentarios in octoginta libros veteres rettulerunt eosque a pontificibus maximis, a quibus fiebant, Annales Maximos appellarunt.* c) DION. HAL. *A.R.* 1, 73, 1 (F 40a): παλαιὸς μὲν οὖν οὔτε συγγραφεὺς οὔτε λογογράφος ἔστι Ῥωμαίων οὐδὲ εἷς· ἐκ παλαιῶν μέντοι λόγων ἐν ἱεραῖς δέλτοις σωζομένων ἕκαστός τι παραλαβὼν ἀνέγραψεν. d) LIVIUS 8, 40, 5 a. 322ᵃ (F 5b): *nec quisquam aequalis temporibus illis scriptor exstat, quo satis certo auctore stetur.* e) DIODOR. 1, 4, 4: ... πολλὴν ἐμπειρίαν τῆς Ῥωμαίων διαλέκτου περιπεποιημένοι πάσας τὰς τῆς ἡγεμονίας ταύτης πράξεις ἀκριβῶς ἀνελάβομεν ἐκ τῶν παρ' ἐκείνοις ὑπομνημάτων ἐκ πολλῶν χρόνων τετηρημένων.

3 a) PLUTARCH. *Numa* 1, 2: ἀλλὰ καὶ Κλώδιός τις ἐν Ἐλέγχωι χρόνων (I² p. 178 Pet) – οὕτω γάρ πως ἐπιγέγραπται τὸ βιβλίδιον – ἰσχυρίζεται τὰς μὲν ἀρχαίας ἐκείνας ἀναγραφὰς ἐν τοῖς Κελτικοῖς πάθεσι τῆς πόλεως ἠφανίσθαι, τὰς δὲ νῦν φερομένας οὐκ ἀληθῶς συγκεῖσθαι δι' ἀνδρῶν χαριζομένων τισὶν εἰς τὰ πρῶτα γένη καὶ τοὺς ἐπιφανεστάτους οἴκους ἐξ οὐ προσηκόντων εἰσβιαζομένοις. b) LIVIUS 6, 1: *quae ab condita urbe Roma ad captam eandem urbem* (390ᵃ) *Romani .... gessere .... quinque libris exposui,* (2) *res cum vetustate nimia obscuras, velut quae magno ex intervallo loci vix cernuntur, tum quod parvae et rarae per eadem tempora litterae fuere, una custodia fidelis memoriae rerum gestarum, et quod, etiam si quae in commentariis pontificum aliisque publicis privatisque erant monumentis, incensa urbe pleraeque interiere.* (3) *clariora deinceps certioraque ab secunda origine velut ab stirpibus laetius feraciusque renatae urbis gesta domi militiaeque exponentur.*

4 LIVIUS *Praef.* 6: *quae ante conditam condendamve urbem poeticis magis decora fabulis quam incorruptis rerum gestarum monumentis traduntur, ea nec affirmare nec refellere in animo est.* (7) *datur haec venia*

---

2 *referebatque* Lambinus *efferebatque* o 3 *eique* H¹E² *hique* e *ii qui* E¹ 18 καὶ (S) om. L 19 βιβλίον L 21 φερομένας Cobet φαινομένας o ἀνδρῶν <εὐχέρειαν o.ä.> Rei 23 *eandem urbem* M *urbem eandem* P *urbem* om. ς 26 *parvae et rarae* M Vorm *parvae rarae* HD(?)LA(?) *perrarae* Ald [*parvae et*] *rarae* Walters-Conway 27 *quae in* M *in* om. HDLA 28 *erant* P *trans* M 29 *interiere* P *interire* M 33 *detur?*

antiquitati, ut miscendo humana divinis primordia urbium augustiora faciat.

5 a) Livius 2, 21, 4 a. 498/6[a]: *tanti errores implicant temporum, aliter apud alios ordinatis magistratibus, ut nec qui consules secundum quos, nec quid quoque anno actum sit, in tanta vetustate non rerum modo sed etiam auctorum digerere possis.* b) – 8, 40, 3 a. 322[a]: *nec facile est aut rem rei aut auctorem auctori praeferre. (4) vitiatam memoriam funebribus laudibus reor falsisque imaginum titulis, dum familiae ad se quaeque famam rerum gestarum honorumque fallente mendacio trahunt. (5) inde certe et singulorum gesta et publica monumenta rerum confusa* ..... (F 2d). c) – 3, 23, 7 a. 459[a]: *eodem anno descisse Antiates apud plerosque auctores invenio; L. Cornelium consulem id bellum gessisse oppidumque cepisse. certum affirmare, quia nulla apud vetustiores scriptores eius rei mentio est, non ausim.* d) – 2, 17, 3 a. 502[a]: *vineis incensis, multis hostium vulneratis et occisis, consulum quoque alterum – sed utrum auctores non adiciunt – gravi vulnere ex equo deiectum prope interfecerunt* (scil. die Aurunker in Pometia).

6 a) [Hesiod.] *Th.* 1011: Κίρκη δ' Ἠελίου θυγάτηρ Ὑπεριονίδαο / γείνατ' Ὀδυσσῆος ταλασίφρονος ἐν φιλότητι / Ἄγριον ἠδὲ Λατῖνον ἀμύμονά τε κρατερόν τε· / [Τηλέγονον δ' ἔτικτε διὰ χρυσῆν Ἀφροδίτην] / οἳ δή τοι μάλα τῆλε μυχῶι νήσων ἱεράων / πᾶσιν Τυρσηνοῖσιν ἀγακλειτοῖσι ἄνασσον. b) Tab. Iliak. A p. 184 Jahn: Ἰλίου Πέρσις κατὰ Στησίχορον ...... Αἰνείας σὺν τοῖς ἰδίοις ἀπαίρων εἰς τὴν Ἑσπερίαν.

Aelte griechis Zeugnis (s. VI

7 Dion. Hal. *A.R.* 1, 73, 4: εἰ δέ τις ἀπιδεῖν βουλήσεται τὰ προσωτέρω, καὶ τρίτη τις ἀρχαιοτέρα τούτων εὑρεθήσεται Ῥώμη, γενομένη πρὶν Αἰνείαν καὶ Τρῶας ἐλθεῖν εἰς Ἰταλίαν. ταῦτα δὲ οὐ τῶν ἐπιτυχόντων τις οὐδὲ νέων συγγραφεὺς ἱστόρηκεν ἀλλ' ΑΝΤΙΟΧΟΣ Ο ΣΥΡΑΚΟΥΣΙΟΣ (555 F 6) ... φησὶ δὲ .... «ἐπεὶ δὲ Ἰταλὸς κατεγήρα, Μόργης ἐβασίλευσεν· ἐπὶ τούτου δὲ ἀνὴρ ἀφίκετο ἐκ Ῥώμης φυγάς· Σικελὸς ὄνομα αὐτῶι».

c. 430/

8 Dion. Hal. *A.R.* 1, 72, 2: ὁ δὲ τὰς ἱερείας τὰς ἐν Ἄργει καὶ τὰ καθ' ἑκάστην πραχθέντα συναγαγὼν (Hellanikos 4 F 84) Αἰνείαν φησὶν ἐκ Μολοττῶν εἰς Ἰταλίαν ἐλθόντα μετ' Ὀδυσσέως οἰκιστὴν γενέσθαι τῆς πόλεως, ὀνομάσαι δ' αὐτὴν ἀπὸ μιᾶς τῶν Ἰλιάδων Ῥώμης. ταύτην δὲ λέγει ταῖς ἀλ-

nach 4

---

5 *quos* Crevier *quosdam* o *quosnam* Haupt *ne quid* RDL 8 *familiae* ς *-lia* o 9 *fallenti* MA[2] 15 *sed utrum* Hertz *sed verum nomen* o *sed nomen* Madvig 20 [Τηλέγονον – Ἀφροδίτην] (om. D Eust) Mützell 21 μυχῶι νήσων Dy μυχῶν εἴσω b ἀγακλυτοῖσιν b 27 Ἀντίοχος Synk ἑάντιχος u. ἑ(. .)άντιχὸς Di 29 φυγάς om. B 32 μετ' ὀδυσσέως (Eus Synk) A μετ' ὀδυσσέα B; cf. F 16 33 δ' ἔλεγε B

λαις Τρωάσι παρακελευσαμένην κοινῆι μετ' αὐτῆς ἐμπρῆσαι τὰ σκάφη, βαρυνομένην τῆι πλάνηι. F 37.

9 DION. HAL. *A.R.* 1, 72, 2: ὁμολογεῖ δ' αὐτῶι (dem Hellanikos) καὶ c. 400ᵃ
ΔΑΜΑΣΤΗΣ Ο ΣΙΓΕΙΕΥΣ (5 F 3) καὶ ἄλλοι τινές.

10-11 DION. HAL. *A.R.* 1, 72, 6: ΔΙΟΝΥΣΙΟΣ δὲ Ο ΧΑΛΚΙΔΕΥΣ s. IV?
(IV) οἰκιστὴν μὲν ἀποφαίνει τῆς πόλεως Ῥῶμον. τοῦτον δὲ λέγει κατὰ μέν τινας Ἀσκανίου, κατὰ δέ τινας Ἠμαθίωνος εἶναι παῖδα. (**11**) εἰσὶ δέ ΤΙΝΕΣ οἳ τὴν Ῥώμην ἐκτίσθαι λέγουσιν ὑπὸ Ῥώμου τοῦ Ἰταλοῦ, μητρὸς δὲ Λευκαρίας τῆς Λατίνου θυγατρός.

12 FESTUS p. 266 M (p. 326, 35 Li): ALCIMUS (560 F 4) *ait Tyrrhenia* c. 350/40?
Aeneae natum filium Romulum fuisse atque eo ortam Albam Aeneae neptem, cuius filius nomine Rhomus condiderit urbem Romam.

13 a) DION. HAL. *A.R.* 1, 72, 3: ΑΡΙΣΤΟΤΕΛΗΣ δὲ ὁ φιλόσοφος s. IV 2ᵃ
(F 609 Rose; cf. p. 903, 10) Ἀχαιῶν τινας ἱστορεῖ τῶν ἀπὸ Τροίας ἀνακομισαμένων περιπλέοντας Μαλέαν, ἔπειτα χειμῶνι βιαίωι καταληφθέντας, τέως μὲν ὑπὸ τῶν πνευμάτων φερομένους πολλαχῆι τοῦ πελάγους πλανᾶσθαι, τελευτῶντας δ' ἐλθεῖν εἰς τὸν τόπον τοῦτον τῆς Ὀπικῆς, ὃς καλεῖται Λατίνιον(?), ἐπὶ τῶι Τυρρηνικῶι πελάγει κείμενος. (4) ἀσμένους δὲ τὴν γῆν ἰδόντας ἀνελκῦσαί τε τὰς ναῦς αὐτόθι καὶ διατρῖψαι τὴν χειμερινὴν ὥραν, παρασκευαζομένους ἔαρος ἀρχομένου πλεῖν. ἐμπρησθεισῶν δὲ αὐτοῖς ὑπὸ νύκτα τῶν νεῶν, οὐκ ἔχοντας ὅπως ποιήσονται τὴν ἄπαρσιν, ἀβουλήτωι ἀνάγκηι τοὺς βίους ἐν ὧι κατήχθησαν χωρίωι ἱδρύσασθαι. συμβῆναι δὲ αὐτοῖς τοῦτο διὰ γυναῖκας αἰχμαλώτους, ἃς ἔτυχον ἄγοντες ἐξ Ἰλίου· ταύτας δὲ κατακαῦσαι τὰ πλοῖα, φοβουμένας τὴν οἴκαδε τῶν Ἀχαιῶν ἄπαρσιν ὡς εἰς δουλείαν ἀφιξομένας.

b) FESTUS p. 266/9 M (p. 329, 6 Li; Solin. *Coll.* 1, 2): LEMBOS, *qui appellatur* HERACLIDES, *existimat revertentibus ab Ilio Achivis quosdam tempestate deiectos in Italiae regiones, secutos Tiberis decursum pervenisse ubi nunc sit Roma, ibique propter taedium navigationis inpulsas captivas auctoritate virginis cuiusdam tempestivae nomine Rhomes incendisse classem; atque ab ea necessitate ibi manendi urbem conditam ab is, et potissimum eius nomine eam appellatam, a cuius consilio eas sedes sibi firmavissent.*

---

1 αὐτῆς Jac αὐτῶν (Eus) Di τὰς σκαφὰς B 4 Σιγειεὺς Jac σιγεὺς Di 9 Λευκαρίας (Plutarch. *Romul.* 2, 1 = F 40e; Λευταρίας Tzetz. *Lyk.* 702) Kiessling τῆς λεύκτρας (B) u. ἠλέκτρας (A) Di Λεύκης (Eus Synk; cf. F 12) Schwegler 12 *Rhomus* Ursinus *rhodius* F 13 λατίνου Di (Eus) τῆς μητρὸς αὐτοῦ Synk 14-15 κομισαμένων B ἀναχθέντων Synk ὁ φιλόσοφος Di (Eus) ὁ φιλοίστωρ Synk 15 μάλεον (-αιον) Eus Synk 17 λατίνιον Di (cf. Weinstock *RE* XIX col. 425. 23 ff.) *Latinios* Eus λάτιον (-τείων) Synk Λαουίνιον Kiessling Λαύρεντον (F 37a; 38b)? 20 ἀποπλεῖν Bücheler *zur abermaligen frühlingsschiffahrt* Eus πρὸς τὴν ἄπαρσιν Synk 23 δὲ: γὰρ? 26 *existimat* v *-ant* F *quosdam* Ursinus *quendam* F

c) Plutarch. *Aet. Rom.* 6 p. 265 BC: διὰ τί τοὺς συγγενεῖς τῶι στόματι φιλοῦσιν αἱ γυναῖκες; πότερον, ὡς οἱ π λ ε ῖ σ τ ο ι νομίζουσιν, ἀπειρημένον ἦν πίνειν οἶνον ταῖς γυναιξίν· . . . .; ἢ δι' ἣν ΑΡΙΣΤΟΤΕΛΗΣ ὁ φιλόσοφος αἰτίαν ἱστόρηκε; τὸ γὰρ πολυθρύλλητον ἐκεῖνο καὶ πολλαχοῦ γενέσθαι λεγόμενον, ὡς ἔοικεν, ἐτολμήθη καὶ ταῖς Τρωιάσι περὶ τὴν 'Ιταλίαν. τῶν γὰρ ἀνδρῶν ὡς προσέπλευσαν ἀποβάντων, ἐνέπρησαν τὰ πλοῖα, πάντως ἀπαλλαγῆναι τῆς πλάνης δεόμεναι καὶ τῆς θαλάττης· φοβηθεῖσαι δὲ τοὺς ἄνδρας ἠσπάζοντο τῶν συγγενῶν καὶ οἰκείων μετὰ τοῦ καταφιλεῖν καὶ περιπλέκεσθαι τοὺς προστυγχάνοντας. παυσαμένων δὲ τῆς ὀργῆς καὶ διαλλαγέντων, ἐχρῶντο καὶ τὸ λοιπὸν ταύτηι τῆι φιλοφροσύνηι πρὸς αὐτούς. Plutarch. *Mul. virt.* 1 p. 243 E ff.; F 23; 40e.

14 a) Dion. Hal. *A.R.* 1, 72, 5: ΚΑΛΛΙΑΣ δὲ ὁ τὰς 'Αγαθοκλέους s. III in
πράξεις ἀναγράψας (564 F 5) 'Ρώμην τινὰ Τρωάδα τῶν ἀφικνουμένων ἅμα τοῖς ἄλλοις Τρωσὶν εἰς 'Ιταλίαν γήμασθαι Λατίνωι τῶι βασιλεῖ τῶν 'Αβοριγίνων καὶ γεννῆσαι τρεῖς παῖδας 'Ρῶμον καὶ 'Ρωμύλον καὶ ‹Τηλέγονον * *›, οἰκίσαντας δὲ πόλιν ἀπὸ τῆς μητρὸς αὐτῆι θέσθαι τοὔνομα. **b)** Festus p. 269 M (p. 329, 1 Li): † *Caltinus Agathoclis Siculi qui res gestas conscribsit, arbitratur e manu Troianorum fugientium Ilio capto cuidam fuisse nomen Latino, eumque habuisse coniugem Rhomen, a qua, ut Italia sit potitus, urbem, quam condiderit, Romam appellavisse.*

15 Dion. Hal. *A.R.* 1, 74, 1: τὸν δὲ τελευταῖον γενόμενον τῆς 'Ρώμης s. III i
οἰκισμὸν ἢ κτίσιν ἢ ὅ τι δήποτε χρὴ καλεῖν ΤΙΜΑΙΟΣ μὲν ὁ Σικελιώτης (566 F 60), οὐκ οἶδ' ὅτωι κανόνι χρησάμενος, ἅμα Καρχηδόνι κτιζομένηι γενέσθαι φησὶν ὀγδόωι καὶ τριακοστῶι πρότερον ἔτει τῆς πρώτης ὀλυμπιάδος (814/3ª). (Es folgen Cincius 810 F 1; Fabius 809 F 3; Cato F 17 Pet).

16 Lykophr. *Al.* 1232: τοιούσδ' ἐμός τις σύγγονος (Aineias) λείψει διπλοῦς / σκύμνους λέοντας, ἔξοχον ῥώμηι γένος (Rhomos und Romylos) / . . . . δς πρῶτα μὲν 'Ραίκηλον οἰκήσει μολὼν / Κισσοῦ παρ' αἰπὺν πρῶνα καὶ Λαφυστίας / κεραστφόρους γυναῖκας· ἐκ δ' 'Αλμωπίας / παλιμπλανήτην δέξε-

---

4 πολλαχοῦ Wyttenbach πολλοῦ ο   5 καὶ ταῖς Τρωιάσι Wyttenbach τ.τρ. καὶ ο
10 τοῦ λοιποῦ E   13 τρωάδων B   14-15 τῶν ἀβοριγίνων Di(Eus) τῆς ἰταλίας
Synk   15 τρεῖς B(Synk) δύο A(Eus) καὶ ‹Τηλέγονον. καὶ τοῦτον μὲν μεταστῆναι,
'Ρῶμον δὲ καὶ 'Ρωμύλον ὑπομεῖναι› Ritschl καὶ * * B καὶ om. A cf. Synk. p. 363,
6 'Ρῶμον – Τηλέγονον, ὃν οἰκῆσαι ἐν ἄλλοις χωρίοις ἐλέγετο, 'Ρῶμον δὲ καὶ 'Ρωμύλον
παῖδας Λατίνου καὶ 'Ρώμης τῆς Τρωιάδος τὴν πόλιν κτίσαι καὶ 'Ρώμην καλέσαι τῶι
μητρώωι ὀνόματι κτλ.   17 *Caltinus*: *Callias* Scal *Callias Syracusanus?*   *aga-*
thocles F   18-19 *e manu – Latino*: 'versehen bei dem lateinischen epitomator'
Mommsen   19 *qua* O. Müller *quo* F   20 *quam condiderit* O. Müller *cond. quam* F
21-22 καλεῖν γενόμενον B   22 δήποτε om. B   26 ἐμός τε ABC[ac]   28 'Ράκηλον
Scheer   29 'Αλμωπίας (Steph. Byz. s.v.) ν ἀλμωνίας ο   παλιμπλανήτην (Steph.
Byz.) ν πάλιν πλανήτην ο

ται Τυρσηνία / Λιγγεύς τε θερμῶν ῥεῖθρον ἐκβράσσων ποτῶν / καὶ Πῖσ' Ἀγύλλης θ' αἱ πολύρρηνοι νάπαι. / σὺν δέ σφι μίξει φίλιον ἐχθρὸς ὢν στρατόν, / ὅρκοις κρατήσας καὶ λιταῖς γουνασμάτων, / νάνος (Odysseus) πλάναισι πάντ' ἐρευνήσας μυχὸν / [1245] ἁλός τε καὶ γῆς· σὺν δὲ δίπτυχοι τόκοι / Μυσῶν ἄνακτος (Telephos), οὗ ποτ' Οἰκουρὸς δόρυ / γνάμψει Θέοινος, γυῖα συνδήσας λύγοις, / Τάρχων τε καὶ Τυρσηνός, αἴθωνες λύκοι / τῶν Ἡρακλείων ἐκγεγῶτες αἱμάτων. / [1250] ἔνθα τράπεζαν εἰδάτων πλήρη κιχών, / τὴν ὕστερον βρωθεῖσαν ἐξ ὀπαόνων, / μνήμην παλαιῶν λήψεται θεσπισμάτων· / κτίσει δὲ χώραν ἐν τόποις Βορειγόνων / ὑπὲρ Λατίνους Δαυνίους τ' ᾠκισμένην / [1255] πύργους τριάκοντ', ἐξαριθμήσας γονὰς / συὸς κελαινῆς, ἣν ἀπ' Ἰδαίων λόφων / καὶ Δαρδανείων ἐκ τόπων ναυσθλώσεται, / ἰσηρίθμων θρέπτειραν ἐν τόκοις κάπρων, / ἧς καὶ πόλει δείκηλον ἀνθήσει μιᾶι / [1260] χαλκῶι τυπώσας, καὶ τέκνων γλαγοτρόφων. / δείμας δὲ σηκὸν Μυνδίαι Παλληνίδι / πατρῶι' ἀγάλματ' ἐγκατοικιεῖ θεῶν, / ἃ δή, παρώσας καὶ δάμαρτα καὶ τέκνα / καὶ κτῆσιν ἄλλην ὀμπνίαν κειμηλίων, / [1265] σὺν τῶι γεραιῶι πατρὶ πρεσβειώσεται, / πέπλοις περισχών, ἦμος αἰχμηταὶ κύνες, / τὰ πάντα πάτρας συλλαφύξαντες πάλωι, / τούτωι μόνωι πόρωσιν αἵρεσιν δόμων / λαβεῖν ὃ χρήιζει κἀπενέγκασθαι δάνος. / [1270] τῶι καὶ παρ' ἐχθροῖς εὐσεβέστατος κριθεὶς / τὴν πλεῖστον ὑμνηθεῖσαν ἐν χάρμαις πάτραν / ἐν ὀψιτέκνοις ὀλβίαν δωμήσεται, / τύρσιν μακεδνὰς ἀμφὶ Κιρκαίου νάπας . . . . .

17 DION. HAL. *A.R.* I, 72, 5: ΞΕΝΑΓΟΡΑΣ δὲ ὁ συγγραφεὺς (240 F 29) Ὀδυσσέως καὶ Κίρκης υἱοὺς γενέσθαι τρεῖς, Ῥῶμον, Ἀντείαν, Ἀρδείαν· οἰκίσαντας δὲ τρεῖς πόλεις ἀφ' ἑαυτῶν θέσθαι τοῖς κτίσμασι τὰς ὀνομασίας. s. III 1ª

18-19 a) FESTUS p. 269 M (p. 328, 16 Li): *AGATHOCLES Cyzicenarum rerum conscribtor* (472 F 5) *ait vaticinio Heleni inpulsum Aenean Italiam petivisse, portantem suam secum neptem, Ascani filiam nomine Rhomen, eamque, ut Italia sint Phryges potiti et is regionibus maxime, quae nunc sunt vicinae Urbi, prima<m> omnium consecrasse in Palatio Fidei templum; in quo monte postea cum conderetur Urbs, visam esse iustam vocabuli Romae † nomen causam eam quae priore † unde ea locum dedicavisset Fidei.* (19) *ait quidem Agathocles conplures esse auctores, qui dicant* s. III 1ª

1 Λιγγεύς ον Λυγκεύς Scheer   πίσ' AC πίσσ' DE   2 ἀγύλης A ἀγκύλης D ἀγγύλης E^{c} 9 ὑπὲρ Λατίνους Δαυνίους τ' (om. A) ᾠκισμένην ο ὑπὲρ Λακίου Δαυνίου τ' ᾠκισμένη(!) Steph. Byz. s.v. Δαύνιον Σαυνίους τ' Holzinger; cf. Kretschmer *Glotta* 20, 1932, p. 198 n. 2   11 ἰσαρίθμων BE^{c} 15 πρεσβιώσεται BCDE   19 δομήσεται ACD^{c} E^{ac} 22 Ἀντείαν (ἄντειαν, -εια Steph. Byz. s.v.) v ἀντίαν Di(Eus Synk)   Ἀρδείαν v ἀρδεῖαν B ἀρδίαν A(Synk) *Ardeas* Eus   27 *prior is* v *his* F   *maximae* F   28 *prima<m>* v   30 [*nomen*] O. Müller   *eundem locum* Scal

Aenean sepultum in urbe Berecynthia proxime flumen Nolon, atque ex eius progenie quendam nomine Rhomum venisse in Italiam et urbem Romam nominatam condidisse. b) Solin. *Coll.* 1, 3: *Agathocles scribit Romen non captivam fuisse.... sed Ascanio natam Aeneae neptem appellationis istius causam fuisse.*

20 Serv. Dan. Vergil. *A.* 1, 273: *Eratosthenes* (241 F 45) *Ascanii Aeneae filii, ‹filium› Romulum parentem urbis refert.* s. III 2^{a}

21-22 Dion. Hal. *A.R.* 1, 72, 1: ΚΕΦΑΛΩΝ μὲν γὰρ ὁ Γεργίθιος συγγραφεὺς παλαιὸς πάνυ (*i.e.* Hegesianax von Alexandreia 45 F 9; 10) δευτέραι γενεᾶι μετὰ τὸν Ἰλιακὸν πόλεμον ἐκτίσθαι λέγει τὴν πόλιν ὑπὸ τῶν ἐξ Ἰλίου διασωθέντων σὺν Αἰνείαι (F 40b), οἰκιστὴν δὲ αὐτῆς ἀποφαίνει τὸν ἡγησάμενον τῆς ἀποικίας Ῥῶμον· τοῦτον δ' εἶναι τῶν Αἰνείου παίδων ἕνα. τέτταρας δέ φησιν Αἰνείαι γενέσθαι παῖδας, Ἀσκάνιον Εὐρυλέοντα Ῥωμύλον Ῥῶμον. (22) εἴρηται δὲ καὶ ΔΗΜΑΓΟΡΑΙ (VI) καὶ ΑΓΑΘΥΛΛΩΙ (F 27) καὶ ἄλλοις συχνοῖς ὅ τε χρόνος καὶ ὁ τῆς ἀποικίας ἡγεμὼν ὁ αὐτός. F 37; 40. um 200?

23 Plutarch. *Camill.* 22, 2: τοῦ μέντοι πάθους αὐτοῦ καὶ τῆς ἁλώσεως (Roms durch die Gallier a. 387/6) ἔοικεν ἀμυδρά τις εὐθὺς εἰς τὴν Ἑλλάδα φήμη διελθεῖν. (3) ΗΡΑΚΛΕΙΔΗΣ γὰρ Ο ΠΟΝΤΙΚΟΣ οὐ πολὺ τῶν χρόνων ἐκείνων ἀπολειπόμενος ἐν τῶι Περὶ ψυχῆς συντάγματί (F 28 Voss) φησιν ἀπὸ τῆς ἑσπέρας λόγον κατασχεῖν, ὡς στρατὸς ἐξ Ὑπερβορέων ἐλθὼν ἔξωθεν ἡιρήκοι πόλιν Ἑλληνίδα Ῥώμην ἐκεῖ που κατωικημένην περὶ τὴν μεγάλην θάλασσαν..... (4) ΑΡΙΣΤΟΤΕΛΗΣ δ' ὁ φιλόσοφος (F 610 Rose) τὸ μὲν ἁλῶναι τὴν πόλιν ὑπὸ Κελτῶν ἀκριβῶς δῆλός ἐστιν ἀκηκοώς, τὸν δὲ σώσαντα Λεύκιον εἶναί φησιν. ἦν δὲ Μᾶρκος, οὐ Λεύκιος, ὁ Κάμιλλος. (5) ἀλλὰ ταῦτα μὲν εἰκασμῶι λέλεκται. (F 28). s. IV 2^{a}

24 a) Plin. *N.H.* 3, 57: *Theophrastus* (IV), *qui primus externorum aliqua de Romanis diligentius scripsit – nam Theopompus* (115 F 317), *ante quem nemo mentionem habuit, urbem dumtaxat a Gallis captam dixit; Clitarchus, ab eo proximus, legationem tantum ad Alexandrum missam* (137 F 31) – (58) *hic iam plus quam ex fama Cerceiorum insulae et men-* Vor 287^{a}

---

1 *in monte Berecynthio proxime flumen* (o. *urbem*) *Noricon* A. Reinach *Klio* 18 p. 321 4 *ab ascanio* II 7 *‹filium›*? Thilo 8 κεφάλων B -λλων A -λίων Eus Synk γεργίθιος A -ήθιος B^{c} -ησαῖος Eus Synk 10 μετὰ δευτέραν τῆς τροίας ἁλώσεως γενεάν Synk 12 αἰνεία A 13 δὲ Di *denn* Eus φησιν B Eus Synk φασιν A 14 δημαγόραι Di(Synk) *deodoros* Eus 14-15 ἀγαθύλλωι Di *agathimos* Eus ἀγάθυμος Synk 20 συντάγματι S συγγράμματι YS^{m} 22 κατωικημένην Y(S^{m}) συνωι- S 25 μᾶρχος S μάρκιος Y 30 *clitarcus, -gus* Plin 31 *ex* a *et* r

suram posuit stadia LXXX in eo volumine, quod scripsit Nicodoro Atheniensium magistratu (314/3). **b)** Theophrast. *H. Pl.* 5, 8, 2: (waldreichtum von Kyrnos-Korsika) πλεῦσαι γάρ ποτε (a. 357/4?) τοὺς Ῥωμαίους βουλομένους κατασκευάσασθαι πόλιν ἐν τῆι νήσωι πέντε καὶ εἴκοσι ναυσί, καὶ τηλικοῦτον εἶναι τὸ μέγεθος τῶν δένδρων ὥστε εἰσπλέοντας εἰς κόλπους τινὰς καὶ λιμένας διασχισθεῖσι τοῖς ἱστοῖς ἐπικινδυνεῦσαι. καὶ ὅλως δὲ πᾶσαν τὴν νῆσον δασεῖαν καὶ ὥσπερ ἠγριωμένην τῆι ὕληι· δι' ὃ καὶ ἀποστῆναι τὴν πόλιν οἰκίζειν .... (3) ἡ δὲ τῶν Λατίνων ἔφυδρος πᾶσα. καὶ ἡ μὲν πεδεινὴ δάφνην ἔχει καὶ μυρρίνους καὶ ὀξύην θαυμαστήν ..., ἡ δὲ ὀρεινὴ πεύκην καὶ ἐλάτην· τὸ δὲ Κιρκαῖον καλούμενον εἶναι μὲν ἄκραν ὑψηλήν, δασεῖαν δὲ σφόδρα, καὶ ἔχειν δρῦν καὶ δάφνην πολλὴν καὶ μυρρίνους .... (F 31). τὸν δὲ τόπον εἶναι καὶ τοῦτον νέαν πρόσθεσιν, καὶ πρότερον μὲν οὖν νῆσον εἶναι τὸ Κιρκαῖον, νῦν δὲ ὑπὸ ποταμῶν τινων προσκεχῶσθαι, καὶ εἶναι ἠιόνα· τῆς δὲ νήσου τὸ μέγεθος περὶ ὀγδοήκοντα σταδίους. **c)** — — 9, 15, 1: φαρμακώδεις δὲ δοκοῦσιν εἶναι τόποι μάλιστα τῶν μὲν ἔξω τῆς Ἑλλάδος οἱ περὶ τὴν Τυρρηνίαν καὶ τὴν Λατίνην, ἐν ἧι καὶ τὴν Κίρκην εἶναι λέγουσιν.

25 Kallimach. *Dieges.* col. 5, 25 (= F 106/7 Pf): φ[η]σὶ Πευκετίων προσκαθημένων [τ]οῖς τείχεσι τῆς Ῥώμης τῶν Ῥωμαίων Γάιον ἐναλλόμενον καταβαλεῖν τὸν [ἐ]κείνων ἡγούμενον, τρωθῆναι δὲ εἰς τὸν μηρόν. μετὰ δὲ ταῦτα ἐπὶ τῶι σκάζειν δυσφορήσαντα παύσασθαι τῆς ἀθυμίας ὑπὸ τῆς μητρὸς ἐπιπληχθέντα. Hellenist. Zeit (Dichter)

26 Dion. Hal. *A.R.* 1, 34: (kurz nach den Arkadern, die auf dem Pallantion siedeln, kommt Herakles um den äussersten Westen zu unterwerfen mit einem heere nach Italien) ἐξ ὧν τινες Ἡρακλέα παραιτησάμενοι τῆς πραγματείας ἀφεθῆναι, περὶ ταῦτα τὰ χωρία ὑπέμειναν, καὶ πολίζονται λόφον ἐπιτήδειον εὑρόντες, τρισταδίωι δὲ μάλιστα μήκει τοῦ Παλλαντίου διειργόμενον, ὃς νῦν μὲν Καπιτωλῖνος ὀνομάζεται, ὑπὸ δὲ τῶν τότε ἀνθρώπων Σατόρνιος ἐλέγετο, ὥσπερ ἂν εἴποι τις Ἑλλάδι φωνῆι Κρόνιος. (2) τῶν δὲ ὑπολειφθέντων οἱ μὲν πλείους ἦσαν Πελοποννήσιοι, Φενεᾶταί τε καὶ Ἐπειοὶ [οἱ] ἐξ Ἤλιδος .... ἐμέμικτο δέ τι καὶ Τρωικὸν αὐτοῖς τῶν ἐπὶ Λαομέδοντος αἰχμαλώτων ἐξ Ἰλίου γενομένων .... (3) τὸ δὲ ὄνομα τῶι λόφωι τινὲς μὲν (ὥσπερ ἔφην) ἀρχαῖον οἴονται εἶναι, καὶ δι' αὐτὸ τοὺς Ἐπειοὺς οὐχ ἥκιστα φιλοχωρῆσαι [τῶι λόφωι] μνήμηι τοῦ ἐν Ἤλιδι Κρονίου λόφου ..... (4) ΕΥΞΕΝΟΣ δὲ ποιητὴς ἀρχαῖος καὶ ἄλλοι τινὲς τῶν Ἰταλικῶν μυθογράφων ὑπ' αὐτῶν οἴονται Πισατῶν διὰ τὴν ὁμοιότητα τοῦ παρὰ σφίσι Κρονίου τεθῆναι τῶι τόπωι τοὔνομα, καὶ τὸν βωμὸν τῶι Κρόνωι τοὺς Ἐπειοὺς ἱδρύσασθαι μεθ' Ἡρακλέους, ὃς ἔτι καὶ νῦν δια-

---

1 *nicodero* F[1]Ra 2 *magistratu* d *-tui, -tus, -t* r 6 διασχισθεῖσι U διασχίεισι, -ίοισι, -ίασι r ἐπικινδυνεῦσαι Wimmer ἐπὶ τὸν πύκνον o(?) 9 μυρρίνην Ald[1] 12 νέαν πρόσθεσιν Wimmer εἰς ἀνδρὸς θέσιν o(?) 17 Πευκετιῶν Altheim 25 εὑρ<ό>ντες ἐν τρ. B 25-26 [τρισταδίωι] o. [μήκει] Rei 27 σατούρνιος B 29 [οἱ] Reudler λαομέδοντα B 30 ὅπερ ἔφην, τινὲς μὲν Rei 31 δι' αὐτὸ Rei <δι>ὰ τὸ A <διὰ>υτ<ὸ> B τῶι λόφωι om. A 32 εὔξενος o Ἔννιος Syl

μένει παρὰ τῆι ῥίζηι τοῦ λόφου κατὰ τὴν ἄνοδον τὴν ἀπὸ τῆς ἀγορᾶς φέρουσαν εἰς τὸ Καπιτώλιον, τήν τε θυσίαν, ἣν καὶ ἐπ' ἐμοῦ Ῥωμαῖοι ἔθυον, φυλάττοντες τὸν Ἑλληνικὸν νόμον, ἐκείνους εἶναι τοὺς καταστησαμένους.

27 Dion. Hal. *A.R.* 1, 49, 2: εἰσὶ δὲ καὶ οἳ δεῦρο (nach Arkadien) μὲν ἀφικέσθαι τὸν Αἰνείαν μυθολογοῦσιν, οὐ μέντοι τήν γε τελευτὴν αὐτῶι τοῦ βίου συμπεσεῖν ἐν τοῖσδε τοῖς χωρίοις ἀλλ' ἐν Ἰταλίαι, ὡς ἄλλοι τε πολλοὶ δηλοῦσι καὶ ΑΓΑΘΥΛΛΟΣ Ἀρκὰς (F 22) ὁ ποιητής, ἐν ἐλεγείωι λέγων ὧδε· «ἵκετο δ' Ἀρκαδίην, Νήσωι δ' ἐγκάτθετο παῖδας / δοιάς, Κωδώνης λέκτρα καὶ Ἀνθεμόνης. / αὐτὸς δ' Ἑσπερίην ἔσυτο χθόνα, γείνατο δ' υἷα / Ῥωμύλον».

28 Plutarch. *Romul.* 17, 6: (Antigonos 816 F 2). ΣΙΜΥΛΟΣ δ' ὁ ποιητὴς (s. III[a]?) καὶ παντάπασι ληρεῖ μὴ Σαβίνοις οἰόμενος ἀλλὰ Κελτοῖς τὴν Ταρπηίαν προδοῦναι τὸ Καπιτώλιον ἐρασθεῖσαν αὐτῶν τοῦ βασιλέως. λέγει δὲ ταῦτα· «ἡ δ' ἀγχοῦ Τάρπεια παραὶ Καπιτώλιον αἶπος / ναίουσα Ῥώμης ἔπλετο τειχολέτις, / Κελτῶν ἣ στέρξασα γαμήλια λέκτρα γενέσθαι / σκηπτούχωι, πατέρων οὐκ ἐφύλαξε δόμους». (7) καὶ μετ' ὀλίγα περὶ τῆς τελευτῆς· «τὴν δ' οὔτ' ἄρ' Βόιοί τε καὶ ἔθνεα μυρία Κελτῶν / χηράμενοι ῥείθρων ἐντὸς ἔθεντο Πάδου· / ὅπλα δ' ἐπιπροβαλόντες ἀρειμανέων ἀπὸ χειρῶν / κούρηι ἐπὶ στυγερῆι κόσμον ἔθεντο φόνου».

29 a) Plutarch. *Romul.* 21, 8: ΒΟΥΤΑΣ δέ τις αἰτίας μυθώδεις ἐν s. I[a]? ἐλεγείοις περὶ τῶν Ῥωμαικῶν ἀναγράφων φησὶ τοῦ Ἀμουλίου τοὺς περὶ τὸν Ῥωμύλον κρατήσαντας ἐλθεῖν δρόμωι μετὰ χαρᾶς ἐπὶ τὸν τόπον, ἐν ὧι νηπίοις οὖσιν αὐτοῖς ἡ λύκαινα θηλὴν ὑπέσχε, καὶ μίμημα τοῦ τε δρόμου τὴν ἑορτὴν (*scil.* τὰ Λουπερκάλια) ἄγεσθαι, καὶ τρέχειν τοὺς ἀπὸ γένους τοὺς «ἐμποδίους τύπτοντες, ὅπως τότε φάσγαν' ἔχοντες / ἐξ Ἄλβης ἔθεον Ῥωμύλος ἠδὲ Ῥέμος». (9) καὶ τὸ μὲν ξίφος ἡιμαγμένον προσφέρεσθαι τῶι μετώπωι τοῦ τότε φόνου καὶ κινδύνου σύμβολον, τὴν δὲ διὰ τοῦ γάλακτος ἀποκάθαρσιν ὑπόμνημα τῆς τροφῆς αὐτῶν εἶναι. (Es folgt C. Acilius 813 F 2). b) Arnob. *Adv. gent.* 5, 18: *Fentam igitur Fatuam, Bona quae dicitur Dea, transeamus, quam murteis caesam virgis, quod marito nesciente seriam meri ebiberit plenam, Sextus Clodius indicat sexto De diis gr<a>eco* (IV), *signumque monstrari quod, cum ei divinam rem mulieres faciunt, vini amphora constituatur obtecta, nec murteas fas sit inferre verbenas, sicut suis scribit in Causalibus Butas.*

30 Stobaios *Flor.* 4, 36, 8: Ἐκ τῶν ΗΛΙΟΔΩΡΟΥ Ἰταλικῶν θαυμάτων. «Ἰταλίης οὐ πολλὸν ὑπερστείχοντι κολώνην / Γαυρείην χώρη τις ὁδιτάων ἐπὶ λαιὰ / κέκλιται ἀργήεσσα χιὼν ὥς, ἐκ δέ οἱ ὕδωρ / ἀίσσει μάλα πικρὸν ἀναπνεῦσαι πιέειν τε. /

---

4 δ' οἳ καὶ A 6 τοῖσδε B τούτοις A 7 ἐλεγείαι A 8 ἐγκατέθετο B 9 ἔσσυτο B[ac] 13 Τάρπεια v ταρπηΐα o 14 παραὶ Bryan παρὰ o τειχολέτις Steph -έτης o 15 σκηπτούχωι Rei -χων o 16 οὔτ': οὐχ? Kalinka 17 βιοί τε U 19 κόσμον MA κόρην U φόνον G. Hermann 23 τοῦ <τό>τε Steph 24 [τοὺς]? τύπτοντες UA -τας M 28 *Fentam* Hildebrand *fetam* P *Faunam* Ursinus 30 *seriam* Sabaeus *semariam* P 33 *Butas* Ghelen *putas* P 34-p. 917, 7: S; om. MA 34 ἰταλικῶν S tr(= ed. Trincavelliana 'ex cod. Marciano s. XV/XVI expressa') V (= Vossian. gr. O 9 s. XV f. 26r) Ἰατρικῶν Mei 34 θαυμάτων S(V) θεαμάτων tr 35 Γαυρείην Grotius γαυρέην S Γαυρανὴν Mei 36 χιὼν ὥς Scal χιονόεις S

κεῖνο πολυστάφυλοι περιναιέται ἀνέρες ὕδωρ / ὅσσων ἄλκαρ ἔχουσιν· ὁ μὲν λοετροῖο χατίζων / αὔτως, ὄφρα κε μοῦνον ἐν ὕδατι γυῖα καθήρηι, / ὀφθαλμοὺς βλεφάροισι λίην ἀραρῶσι καλύψας / δεύεται, ὡς μή οἵ τι παραδράμηι ἕρκεος εἴσω / ὑγρὸν ἐπὶ γλήνης· τὸ γὰρ ἄλγεος ἄν τι τιθείηι. / ὃς δέ κε λημηρῆι νεφέληι εἰλυμένος ὄσσε / ἀσχάλληι ὀδύναις, κεροειδέα δ' ἀμφὶ χιτῶνα / οἶδος πιαλέοισι περιβρίθηι πελάνοισι, / κείνωι καίριόν ἐστι καὶ ἀσφαλὲς ὄμμα διῆναι / ἀμπετὲς ἀκλήιστον· ἄφαρ δ' ἀπὸ πᾶσα τελέσθη / θυμοδακὴς ὀδύνη, ῥέα δ' ἄλθεται ὕδατι νοῦσος>>.

31 Theophrast. *H. Pl.* 5, 8, 3: λέγειν δὲ τοὺς ἐγχωρίους ὡς ἐνταῦθα (am Kirkaion: F 24b) ἡ Κίρκη κατώικει, καὶ δεικνύναι τὸν τοῦ Ἐλπήνορος τάφον, ἐξ οὗ φύονται μυρρίναι καθάπερ αἱ στεφανωτίδες τῶν ἄλλων ὄντων μεγάλων μυρρίνων. ἐπιχώριοι-Zitate

32 Dion. Hal. *A.R.* 1, 67, 4: σχήματος δὲ καὶ μορφῆς αὐτῶν (der Penaten) πέρι Τίμαιος μὲν ὁ συγγραφεὺς (566 F 59) ὧδε ἀποφαίνεται· κηρύκεια σιδηρᾶ καὶ χαλκᾶ καὶ κέραμον Τρωικὸν εἶναι τὰ ἐν τοῖς ἀδύτοις τοῖς ἐν Λαουινίωι κείμενα ἱερά, πυθέσθαι δὲ αὐτὸς ταῦτα παρὰ τῶν ἐπιχωρίων.

33 Dion. Hal. *A.R.* 1, 35, 3: (Antiochos 555 F 5; Hellanikos 4 F 111). ἐκεῖνό γε ἐξ ἀμφοῖν δῆλον, ὅτι κατὰ τὴν Ἡρακλέους ἡλικίαν ἢ μικρῶι πρόσθεν οὕτως ὠνομάσθη (*scil.* ἡ Ἰταλία). τὰ δὲ πρὸ τούτων Ἕλληνες μὲν Ἑσπερίαν καὶ Αὐσονίαν αὐτὴν ἐκάλουν, οἱ δ' ἐπιχώριοι Σατορνίαν, ὡς εἴρηταί μοι πρότερον (1, 18, 2). (36, 1) ἔστι δέ τις καὶ ἕτερος λόγος ὑπὸ τῶν ἐπιχωρίων μυθολογούμενος, ὡς πρὸ τῆς Διὸς ἀρχῆς ὁ Κρόνος ἐν τῆι γῆι ταύτηι δυναστεύσειε, καὶ ὁ λεγόμενος ἐπ' ἐκείνου βίος ἅπασι δαψιλὴς ὁπόσοις ὧραι φύουσιν οὐ παρ' ἄλλοις μᾶλλον ἢ παρὰ σφίσι γένοιτο.

34 Dion. Hal. *A.R.* 1, 55: τοῦ δὲ μηκέτι προσωτέρω τῆς Εὐρώπης πλεῦσαι τὸν Τρωικὸν στόλον οἵ τε χρησμοὶ αἴτιοι ἐγένοντο τέλος λαβόντες ἐν τούτοις τοῖς χωρίοις καὶ τὸ δαιμόνιον πολλαχῶς τὴν ἑαυτοῦ βούλησιν ἐνδεικνύμενον. ἐπειδὴ γὰρ ὅρμωι χρησάμενοι τῶι Λωρεντῶι σκηνὰς ἐπήξαντο περὶ τὸν αἰγιαλόν, πρῶτον μὲν πιεζομένοις τοῖς ἀνθρώποις ὑπὸ δίψης οὐκ ἔχοντος ὕδωρ τοῦ τόπου – λέγω δὲ ἃ παρὰ τῶν ἐγχωρίων παρέλαβον – λιβάδες αὐτόματοι νάματος ἡδίστου ἐκ γῆς ἀνελθοῦσαι ὤφθησαν, ἐξ ὧν ἥ τε στρατιὰ πᾶσα ὑδρεύσατο καὶ ὁ τόπος περίρρυτος γέγονε μέχρι θαλάττης, καταβάντος ἀπὸ τῶν πηγῶν τοῦ ῥεύματος. (2) νῦν μέντοι οὐκέτι πλήθουσιν

---

1 ὅσσων S 2 αὔτως Mei αὐτὸς S αὔτως Scal κε Gesner καὶ S 3 ἀραρῶσι Mei -όσι S δεύεται Mei δύεται S 4 ἄλγεος ἄν τι τιθείη Hense ἄλγεος εἴη S ἄλγεος αἴτιόν (Gesner) ἐστιν Mei λημηρῆι Mei νημηρὴ S (tr V) λημηρὴ Arsenius εἰλυμένος Cobet λελυσμένος S κεκλεισμένος Scal κεκαλυμμένος Gesner πεπυκασμένος Mei 5 οἶδος Scal. ὄϊδος S 7 ῥέα Gesner ῥεῖα S tr V ἄλθεται Lobeck ἔχθεται S 13-14 κηρύκεια ABa -κια r 23 μᾶλλον: μόνον B 26-27 ἐπιδεικνύμενον B 30 αὐτόματοι Kiessling -ται O ὤφθησαν: ἔφθησαν Kiessling 31 ὑδρεύσαντο A ἐπίρρυτος ἐγένετο B

ὥστε καὶ ἀπορρεῖν αἱ λιβάδες, ἀλλ' ἔστιν ὀλίγον ὕδωρ ἐν κοίλωι χωρίωι συνεστηκός, λεγόμενον ὑπὸ τῶν ἐγχωρίων ἱερὸν 'Ηλίου· καὶ βωμοὶ δύο παρ' αὐτῶι δείκνυνται .... Τρωικὰ ἱδρύματα, ἐφ' ὧν τὸν Αἰνείαν μυθολογοῦσι πρώτην θυσίαν ποιήσασθαι τῶι θεῶι χαριστήριον τῶν ὑδάτων. (3) ἔπειτα ἄριστον αὐτοῖς αἱρουμένοις ἐπὶ τοῦ δαπέδου σέλινα μὲν πολλοῖς ὑπέστρωτο, καὶ ἦν ταῦτα ὥσπερ τράπεζα τῶν ἐδεσμάτων· ὡς δέ φασί τινες ἴτρια καρποῦ πεποιημένα πυρίνου καθαρειότητος ταῖς τροφαῖς ἕνεκα. ἐπεὶ δὲ αἱ παρατεθεῖσαι τροφαὶ κατανάλωντο, τῶν ὑπεστρωμένων αὐτοῖς σελίνων εἴτε ἰτρίων ἔφαγέ τις καὶ αὖθις ἕτερος· <ἐν> τούτωι τυγχάνει τις εἰπὼν εἴτε τῶν Αἰνείου παίδων, ὡς λόγος ἔχει, εἴτε τῶν ὁμοσκήνων 'ἀλλ' ἡμῖν γε ἤδη καὶ ἡ τράπεζα κατεδήδεσται'· ὡς δὲ τοῦτο ἤκουσαν, ἅπαντες ἀνεθορύβησαν, ὡς τὰ πρῶτα τοῦ μαντεύματος ἤδη σφίσι τέλος ἔχοι. (4) ἦν γάρ τι θέσφατον αὐτοῖς, ὡς μέν τινες λέγουσιν ἐν Δωδώνηι γενόμενον, ὡς δ' ἕτεροι γράφουσιν ἐν ἐρυθρᾶι χέρσωι τῆς Ἴδης, ἔνθα ὤικει Σίβυλλα ἐπιχωρία νύμφη χρησμωιδός, ἥ αὐτοῖς ἔφρασε πλεῖν ἐπὶ δυσμῶν ἡλίου, τέως ἂν εἰς τοῦτο τὸ χωρίον ἔλθωσιν, ἐν ὧι κατέδονται τὰς τραπέζας· ὅταν δὲ τοῦτο μάθωσι γενόμενον, ἡγεμόνα τετράποδα ποιησαμένους, ὅπου ἂν κάμηι τὸ ζῶιον, ἐνταῦθα δείμασθαι πόλιν κτλ.

35 DION. HAL. *A.R.* 2, 49, 4: s. Zenodotos 821 F 3.

36 DION. HAL. *A.R.* 1, 8, 1: ἄρχομαι μὲν οὖν τῆς ἱστορίας ἀπὸ τῶν παλαιοτάτων μύθων, οὓς παρέλιπον οἱ πρὸ ἐμοῦ γενόμενοι συγγραφεῖς, χαλεποὺς ὄντας ἄνευ πραγματείας μεγάλης ἐξευρεθῆναι. b) – – 2, 1, 1: ἡ 'Ρωμαίων πόλις ἵδρυται μὲν ἐν τοῖς ἑσπερίοις μέρεσι τῆς 'Ιταλίας περὶ ποταμὸν Τέβεριν .... οἱ δὲ κατασχόντες αὐτὴν πρῶτοι τῶν μνημονευομένων βάρβαροί τινες ἦσαν αὐτόχθονες Σικελοὶ λεγόμενοι (1, 9, 1), πολλὰ καὶ ἄλλα τῆς 'Ιταλίας χωρία κατασχόντες, ὧν οὐκ ὀλίγα διέμεινεν οὐδ' ἀφανῆ μνημεῖα μέχρι τῶν καθ' ἡμᾶς χρόνων, ἐν οἷς καὶ τόπων τινῶν ὀνόματα Σικελικὰ λεγόμενα, μηνύοντα τὴν πάλαι ποτὲ αὐτῶν ἐνοίκησιν. (2) τούτους ἐκβαλόντες 'Αβοριγῖνες (1, 9, 1-10, 1) αὐτοὶ κατέσχον τὸν τόπον, Οἰνώτρων ὄντες ἀπόγονοι τῶν κατοικούντων τὴν ἀπὸ Τάραντος ἄχρι Ποσειδωνίας παράλιον. ἱερά τις αὕτη νεότης καθοσιωθεῖσα θεοῖς κατὰ τὸν ἐπιχώριον νόμον ὑπὸ τῶν πατέρων ἀποσταλῆναι λέγεται, χώραν οἰκήσουσα τὴν ὑπὸ τοῦ δαιμονίου σφίσι

Sammelzitate u. Anonymes

2 ἡλίου: ἰλίου AB^{ac} 5 <ὡς παραδέδοται> πολλοῖς Rei ὡς μὲν πολλοῖς ἀποδέδοται σέλινα Buecheler 7 καθαρειότητος Cobet -ριό- o 9 ἐν τούτωι Rei τούτω B τοῦτο A 13-14 ἐρυθρᾶ B ἐρυθραῖς A 14 χέρσωι C. Jacoby(?) σχεσίω AB χωρίωι Portus σπηλαίωι Rei 15 τέως C. Jacoby ἕως o τὸ om. A 16 κατέδονται Usener κατεδοῦνται o 17 ὅποι B ὅπηι ἂν κάμψηι Usener 23 περὶ o παρὰ Buecheler 25 διέμενεν A 26 σικελικὰ o σικελικῶς (o. -λιστὶ) Cas 26-27 [λεγόμενα] Buecheler 28-29 Οἰνώτρων – παράλιον: cf. Antiochos 555 F 2-3 31 δαιμονίου B δαίμονος r

δοθησομένην. τὸ δὲ τῶν Οἰνώτρων γένος Ἀρκαδικὸν ἦν..... (3) Ἀβοριγίνων δὲ κατεχόντων τὰ χωρία, πρῶτοι μὲν αὐτοῖς γίνονται σύνοικοι Πελασγοὶ πλάνητες ἐκ... Θετταλίας (1, 17)....· μετὰ δὲ τοὺς Πελασγοὺς Ἀρκάδες ἐκ Παλλαντίου πόλεως ἐξελθόντες, Εὔανδρον ἡγεμόνα ποιησάμενοι τῆς ἀποικίας (1, 31)..., οἳ πρὸς ἑνὶ τῶν ἑπτὰ λόφων πολίζονται, ὃς ἐν μέσωι μάλιστα κεῖται τῆς Ῥώμης, Παλλάντιον ὀνομάσαντες τὸ χωρίον ἐπὶ τῆς ἐν Ἀρκαδίαι πατρίδος. (4) χρόνοις δ' οὐ πολλοῖς ὕστερον Ἡρακλέους καταχθέντος εἰς Ἰταλίαν (1, 34 = F 26).... μοῖρά τις ὑπολειφθεῖσα τῆς σὺν αὐτῶι δυνάμεως Ἑλληνικὴ πλησίον ἱδρύεται τοῦ Παλλαντίου πρὸς ἑτέρωι τῶν ἐμπεπολισμένων τῆι πόλει λόφων, ὃς τότε μὲν ὑπὸ τῶν ἐπιχωρίων Σατόρνιος ἐλέγετο, νῦν δὲ Καπιτωλῖνος ὑπὸ Ῥωμαίων.... (2) γενεᾶι δ' ἑκκαιδεκάτηι(?) μετὰ τὸν Τρωικὸν πόλεμον Ἀλβανοὶ (1, 71, 5) συνοικίζουσιν ἄμφω τὰ χωρία ταῦτα, τείχει περιλαβόντες καὶ τάφρωι· τέως δὲ ἦν αὔλια βουφορβίων τε καὶ ποιμνίων καὶ τῶν ἄλλων καταγωγαὶ βοτήρων.... (2) γένος δὲ τὸ <τῶν> Ἀλβανῶν μικτὸν ἦν ἔκ τε Ἀρκάδων [καὶ Πελασγῶν] καὶ τῶν ἐξ Ἤλιδος ἐλθόντων Ἐπειῶν (F 26), τελευταίων δὲ τῶν μετὰ <τὴν> Ἰλίου ἅλωσιν ἀφικομένων εἰς Ἰταλίαν Τρώων, οὓς ἦγεν Αἰνείας ὁ Ἀγχίσου καὶ Ἀφροδίτης (1, 45 ff.)· εἰκὸς δέ τι καὶ βαρβαρικὸν ἐκ τῶν προσοίκων ἢ παλαιῶν οἰκητόρων ὑπολιπὲς τῶι Ἑλληνικῶι συγκαταμιγῆναι. ὄνομα δὲ κοινὸν οἱ σύμπαντες οὗτοι Λατῖνοι ἐκλήθησαν ἐπ' ἀνδρὸς δυναστεύσαντος τῶν τόπων Λατίνου (1, 45, 2) τὰς κατὰ ἔθνος ὀνομασίας ἀφαιρεθέντες. (3) ἐτειχίσθη μὲν οὖν ἡ πόλις ὑπὸ τούτων τῶν ἐθνῶν ἐνιαυτῶι δευτέρωι <καὶ τριακοστῶι> καὶ τετρακοσιοστῶι μετὰ <τὴν> Ἰλίου ἅλωσιν ἐπὶ τῆς ἑβδόμης ὀλυμπιάδος. οἱ δὲ ἀγαγόντες τὴν ἀποικίαν (1, 72 f.) ἀδελφοὶ δίδυμοι τοῦ βασιλείου γένους ἦσαν· Ῥωμύλος αὐτῶν ὄνομα θατέρωι, τῶι δ' ἑτέρωι Ῥῶμος, τὰ μητρόθεν μὲν ἀπ' Αἰνείου τε καὶ Δαρδανίδαι, πατρὸς δὲ ἀκρίβειαν μὲν οὐ ῥάιδιον εἰπεῖν ἐξ ὅτου φύντες, πεπίστευνται δὲ ὑπὸ Ῥωμαίων Ἄρεος υἱοὶ γενέσθαι. (4) οὐ μέντοι διέμεινάν γε ἀμφότεροι τῆς ἀποικίας ἡγεμόνες, ὑπὲρ τῆς ἀρχῆς στασιάσαντες, ἀλλ' ὁ περιλειφθεὶς αὐτῶν Ῥωμύλος, ἀπολομένου θατέρου κατὰ τὴν μάχην, οἰκιστὴς γίνεται τῆς πόλεως,

---

1 Ἀρκαδικόν: cf. Pherekydes 3 F 156   3 πλάνητες B πλανῆται r   5 οἳ – πολίζονται B οἱ πολίζονται πρὸς – λόφων r   9 Ἑλληνικῆς Rei   ἱδρύεται B ἵδρυται r   10 πόλει B ῥώμηι r   ὑπὸ: ἐπὶ AB[ac]   11 ἑκκαιδεκάτηι (cf. 1, 45, 3; 73, 4 = F 40a): τρισκαιδεκάτηι?   13 ποιμ<ν>ίων B ποιμένων A   14 <τῶν> Grasberger   ἀλβανῶν B ἀλβανὸν r   15 ἔκ τε ἀρκαδίων καὶ τῶν ἐξ Ἠ. ἐλθ. καὶ πελασγῶν B [καὶ Πελασγῶν (glosse zu βαρβάρων)] Jac ἔκ τε Πελασγῶν καὶ Ἀ. καὶ Ἐ. τῶν ἐξ Ἠ. ἐλθόντων Ambrosch   16 τελευταῖον B   <τὴν> C. Jacoby   17 οὓς ἦγεν Rei ὃς ἦν O   19 συγκαταμιγῆναι Buecheler συγκαταλεγῆναι O   20-21 κατὰ ἔθνη Rei κατὰ <τὸ> ἔθνος C. Jacoby   22 <καὶ τριακοστῶι> (1, 72, 5) Ghelen   <τὴν> C. Jacoby   23 ἐπὶ: ἔτει ᾱ (1, 71, 5) = 752/1 Kiessling   26 <πρὸς> ἀκρίβειαν Steph   27 γε om. B   28 ἀλλ' ὁ B ἀλλὰ r   29 ἀπολομένου κατὰ τ.μ. θατέρου B [κατὰ τὴν μάχην]?

καὶ τοὔνομα αὐτῆι τῆς ἰδίας κλήσεως ἐπώνυμον τίθεται. c) – – I, 44, 3: δευτέραι δ' ὕστερον γενεᾶι μετὰ τὴν Ἡρακλέους ἄπαρσιν, ἔτει δὲ πέμπτωι καὶ πεντηκοστῶι μάλιστα, ὡς αὐτοὶ Ῥωμαῖοι λέγουσι, βασιλεὺς μὲν Ἀβοριγίνων ἦν Λατῖνος ὁ Φαύνου, γένος δὲ Ἡρακλέους, πέμπτον καὶ τριακοστὸν ἔτος ἔχων τὴν ἀρχήν. (45) κατὰ δὲ τὸν χρόνον τοῦτον Τρῶες οἱ σὺν Αἰνείαι... κατέσχον εἰς Λωρεντόν (F 37 c. 53, 3).....

37 a) Dion. Hal. *A.R.* I, 45, 4: βούλομαι δὲ καὶ περὶ τῆς Αἰνείου παρουσίας εἰς Ἰταλίαν, ἐπεὶ τῶν συγγραφέων τοῖς μὲν ἠγνόηται, τοῖς δὲ διαπεφώνηται ὁ περὶ αὐτοῦ λόγος, μὴ παρέργως διελθεῖν, τάς τε τῶν Ἑλλήνων καὶ τὰς Ῥωμαίων τῶν μάλιστα πιστευομένων ἱστορίας παραβαλών. ἔχει δὲ τὰ περὶ αὐτοῦ λεγόμενα ὧδε. <46-47: fahrt bis Pallene und den verbündeten Krusaiern>. (48) ὁ μὲν οὖν πιστότατος τῶν λόγων, ὧι κέχρηται τῶν παλαιῶν συγγραφέων Ἑλλάνικος ἐν τοῖς Τρωικοῖς (4 F 31; cf. 840 F 8) περὶ τῆς Αἰνείου φυγῆς τοιόσδε ἐστίν. εἴρηνται δὲ καὶ ἄλλοις τισὶ περὶ τῶν αὐτῶν οὐ κατὰ ταὐτὰ ἔχοντες λόγοι, οὓς ἧττον ἔγωγε τούτου πιθανοὺς εἶναι νομίζω· κρινέτω δὲ ὡς ἕκαστος τῶν ἀκουόντων βούλεται. <2-3: nach Sophokles ἐν Λαοκόωντι F 344 N² und Menekrates von Xanthos no. 769 F 3 blieb er in 'Phrygien'; cf. c. 53, 4-5>. (4) ἄλλοι δέ τινες ἐπὶ τοῦ ναυστάθμου τοῦ Τρωικοῦ τυχεῖν αὐτὸν τηνικαῦτα (als Troia in griechische hand fiel) διατρίβοντα λέγουσιν, οἱ δ' εἰς Φρυγίαν ἀπεσταλμένον ὑπὸ Πριάμου μετὰ δυνάμεως ἐπί τινα χρείαν στρατιωτικήν· εἰσὶ δ' οἳ μυθωδεστέραν αὐτοῦ ποιοῦσι τὴν ἔξοδον. ἐχέτω δ' ὅπηι τις αὐτὸν πείθει. (49) τὰ δὲ μετὰ τὴν ἔξοδον ἔτι πλείω παρέχει τοῖς πολλοῖς τὴν ἀπορίαν. οἱ μὲν γὰρ ἕως Θράικης ἀγαγόντες αὐτὸν ἐκεῖ λέγουσι τελευτῆσαι τὸν βίον, ὧν ἐστι Κεφάλων τε ὁ Γεργίθιος (cf. F 21) καὶ Ἡγήσιππος <ὁ> περὶ Παλλήνης γράψας (391 F 5), ἄνδρες ἀρχαῖοι καὶ λόγου ἄξιοι. ἕτεροι δὲ ἐκ Θράικης ἀναστήσαντες αὐτὸν ἕως Ἀρκαδίας παρακομίζουσιν, οἰκῆσαι δὲ λέγουσιν ἐν Ὀρχομενῶι τε τῶι Ἀρκαδικῶι, [καὶ] Νήσωι δὲ λεγομένηι, καί<περ> οὔσηι μεσόχθονι, ἀπὸ τελμάτων καὶ ποταμοῦ· τάς τε καλουμένας Καπύας Αἰνείου τε καὶ Τρώων ἀπόκτισιν εἶναι Καπύας ὀνομασθείσας ἀπὸ τοῦ Τρωικοῦ Κάπυος. λέγεται δὲ ταῦτα ἄλλοις τε καὶ Ἀριαίθωι <τῶι> γράψαντι τὰ Ἀρκαδικά (316 F 1). (2) εἰσὶ δὲ καὶ οἳ δεῦρο μὲν ἀφικέσθαι τὸν Αἰνείαν μυθολογοῦσιν, οὐ μέντοι τήν γε τελευτὴν αὐτῶι τοῦ βίου συμπεσεῖν ἐν

---

4 γόνος v δὲ καὶ B 5 ἔτος om. A 9 διαπεφώνηται: διεφθόνηται B[ac] διεφθόγγηται Rei 11 παραβαλών Rei παραλαβών o 15 εἴρηται AB[ac] ταῦτα B 21 οἱ δ' A οἷα B 26 ἡγήσιος B <ὁ> Kiessling 29 [καὶ] Sauppe δὲ om. B 29-30 καί<περ> Steph 30 ἀπὸ Mei ὑπὸ o 31 Καπύας (F 37b): das arkadische Kaphyai 32 ἀριάθωι A <τῶι> Kiessling 33 δ' οἳ καὶ A

τοῖσδε τοῖς χωρίοις ἀλλ' ἐν Ἰταλίαι, ὡς ἄλλοι τε πολλοὶ δηλοῦσι καὶ Ἀγάθυλλος Ἀρκὰς ὁ ποιητής (F 27)..... (3) τῆς δ' εἰς Ἰταλίαν Αἰνείου καὶ Τρώων ἀφίξεως Ῥωμαῖοί τε πάντες βεβαιωταὶ καὶ τὰ δρώμενα ὑπ' αὐτῶν ἔν τε θυσίαις καὶ ἑορταῖς μηνύματα Σιβύλλης τε λόγια καὶ χρησμοὶ Πυθικοὶ καὶ ἄλλα πολλά, ὧν οὐκ ἄν τις ὡς εὐπρεπείας ἕνεκα συγκειμένων ὑπερίδοι· πολλὰ δὲ καὶ παρ' Ἕλλησι γνωρίσματα [καὶ] φανερὰ εἰς τόδε χρόνου περιλείπεται, ἔνθα ὡρμίσαντο καὶ παρ' οἷς διατριβὴν ἀπλοίας ἕνεκεν ἐποιήσαντο, ὧν ἐγὼ μνήμην ὡς ἂν οἷός τε ὦ πολλῶν ὄντων βραχυτάτην ποιήσομαι. <49, 4 - 53, 3: stationen Pallene / Krusaioi – Delos / Anios – Kythera – Kinaithion / Arkader – Zakynthos – Leukas – Aktion – Ambrakia – Buthrotos / Dodona – Anchiseshafen – Salentinos / Athenaion (Italien) – Sizilien – Palinurushafen – Leukasia – Misenoshafen / Prochyte / Caieta>. τελευτῶντες δ' ἀφικνοῦνται τῆς Ἰταλίας εἰς Λωρεντόν (F 36 c. 45), ἔνθα τῆς πλάνης παυσάμενοι χάρακα ἔθεντο· καὶ τὸ χωρίον, ἐν ὧι κατεστρατοπεδεύσαντο, ἐξ ἐκείνου Τροία καλεῖται, ἀπέχει δὲ τῆς θαλάττης ἀμφὶ τοὺς τέτταρας σταδίους.

(4) ἔγραψα δὲ ταῦτα καὶ τὴν παρέκβασιν ἐποιησάμην τοῦ ἀναγκαίου χάριν, ἐπειδὴ <τῶν> συγγραφέων οἱ μὲν οὐδ' ἐλθεῖν Αἰνείαν φασὶν εἰς Ἰταλίαν ἅμα Τρωσίν, οἱ δ' ἕτερον Αἰνείαν, οὐ τὸν ἐξ Ἀφροδίτης καὶ Ἀγχίσου γενόμενον, οἱ δ' Ἀσκάνιον τὸν Αἰνείου, οἱ δ' ἄλλους τινάς. εἰσὶ δ' οἱ τὸν ἐξ Ἀφροδίτης Αἰνείαν λέγουσι καταστήσαντα τὸν λόχον εἰς Ἰταλίαν ἀνακομισθῆναι πάλιν οἴκαδε καὶ βασιλεῦσαι τῆς Τροίας, τελευτῶντα δὲ καταλιπεῖν Ἀσκανίωι τῶι παιδὶ τὴν βασιλείαν, καὶ τὸ ἀπ' ἐκείνου γένος ἐπὶ πλεῖστον κατασχεῖν τὴν ἀρχήν, ὡς μὲν ἐγὼ εἰκάζω τοῖς Ὁμήρου ἔπεσιν (*Il.* Υ 307/8) οὐκ ὀρθῶς λαμβανομένοις παρακρουσθέντες. <53, 5 - 54: verteidigung der vulgata; es folgt F 34>. **b**) STRABON 13, 1, 53 p. 607/8: οἴεται δ' ὁ Σκήψιος (V) καὶ βασίλειον τοῦ Αἰνείου γεγονέναι τὴν Σκῆψιν .... οὐχ ὁμολογεῖ δὲ τῶι περὶ τῶν ἀρχηγετῶν τῆς Σκήψεως λόγωι τῶι λεχθέντι νῦν τὰ περὶ τοῦ Αἰνείου θρυλούμενα· περιγενέσθαι γὰρ δὴ τοῦτόν φασι ἐκ τοῦ πολέμου διὰ τὴν πρὸς Πρίαμον δυσμένειαν .... (*Il.* Ν 460/1), τοὺς δὲ συνάρχοντας Ἀντηνορίδας καὶ αὐτὸν τὸν Ἀντήνορα διὰ τὴν Μενελάου παρ' αὐτῶι ξενίαν· (Sophokl. p. 160 N^2). ... τὸν μὲν οὖν Ἀντήνορα καὶ τοὺς παῖδας μετὰ τῶν περιγενομένων Ἐνετῶν εἰς τὴν Θράικην περισωθῆναι, κἀκεῖθεν διαπεσεῖν εἰς τὴν λεγομένην κατὰ τὸν Ἀδρίαν Ἐνετικήν, τὸν δὲ Αἰνείαν μετ' Ἀγχίσου τοῦ πατρὸς καὶ τοῦ

---

1 τοῖσδε B τούτοις r 2 δ' εἰς: δὲ ἐς A δ' ἐπ' B 3 βεβαιοῦνται A 7 [καὶ] Jac 18 φανερὰ καὶ Pflugk 7 παραλείπεται B^{ac} λείπεται A 8 ἕνεκεν C. Jacoby -κα o 18 <τῶν> Pflugk 18-19 εἰς ἰταλίαν φασὶν B 19 ἀφροδίτης καὶ ἀγχίσου B ἀγχ. κ. ἀφρ. r 21 λόχον: ὄχλον Pflugk 32 περιγενομένων Eust παραγ- D .. νομένων C λεγομένων x 33 περισωθῆναι: περαιωθῆναι Cor διεκπεσεῖν Eust 34 ἐν τῶι ἀδρίαι Eust

παιδὸς Ἀσκανίου λαὸν ἀθροίσαντα πλεῦσαι. καὶ οἱ μὲν οἰκῆσαι περὶ τὸν Μακεδονικὸν Ὄλυμπόν φασιν, οἱ δὲ περὶ Μαντίνειαν τῆς Ἀρκαδίας κτίσαι Καπύας, ἀπὸ Κάπυος θέμενον τοὔνομα τῶι πολίσματι, οἱ δ' εἰς Αἴγεσταν κατᾶραι τῆς Σικελίας σὺν Ἐλύμωι Τρωὶ καὶ Ἔρυκα καὶ Λιλύβαιον κατασχεῖν καὶ ποταμοὺς περὶ Αἴγεσταν προσαγορεῦσαι Σκάμανδρον καὶ Σιμόεντα, ἔνθεν δ' εἰς τὴν Λατίνην ἐλθόντα μεῖναι κατά τι λόγιον τὸ κελεῦον μένειν, ὅπου ἂν τὴν τράπεζαν καταφάγηι· συμβῆναι δὲ τῆς Λατίνης περὶ τὸ Λαουίνιον τοῦτο, ἄρτου μεγάλου τεθέντος ἀντὶ τραπέζης κατὰ ἀπορίαν καὶ ἅμα ἀναλωθέντος τοῖς ἐπ' αὐτῶι κρέασιν. Ὅμηρος μέντοι συνηγορεῖν οὐδετέροις ἔοικεν, οὐδὲ τοῖς περὶ τῶν ἀρχηγετῶν τῆς Σκήψεως λεχθεῖσιν· ἐμφαίνει γὰρ μεμενηκότα τὸν Αἰνείαν ἐν τῆι Τροίαι καὶ διαδεδεγμένον τὴν ἀρχὴν καὶ παραδεδωκότα παισὶ παίδων τὴν διαδοχὴν αὐτῆς (*Il.* Υ 306/8) .... πολὺ δὲ μᾶλλον τοῖς ἑτέροις διαφωνεῖ τοῖς μέχρι καὶ Ἰταλίας αὐτοῦ τὴν πλάνην λέγουσι καὶ αὐτόθι ποιοῦσι τὴν καταστροφὴν τοῦ βίου. τινὲς δὲ γράφουσιν «Αἰνείαο γένος πάντεσσιν ἀνάξει, καὶ παῖδες παίδων», τοὺς Ῥωμαίους λέγοντες. c) LIVIUS I, 1: *iam primum omnium satis constat Troia capta in ceteros saevitum esse Troianos, duobus Aeneae Antenorique .... omne ius belli Achivos abstinuisse.* (2) *casibus deinde variis Antenorem cum multitudine Enetum .... venisse in intimum Hadriatici maris sinum ....* (4) *Aeneam ab simili clade domo profugum, sed ad maiora rerum initia ducentibus fatis, primo in Macedoniam venisse, inde in Siciliam quaerentem sedes delatum, ab Sicilia classe ad Laurentem agrum tenuisse. Troia et huic loco nomen est.* (5) *ibi egressi Troiani, ut quibus ab immenso prope errore nihil praeter arma et naves superessent, cum praedam ex agris agerent, Latinus rex Aboriginesque, qui tum ea tenebant loca, ad arcendam vim advenarum ... concurrunt.* (6) *duplex inde fama est. alii proelio victum Latinum pacem cum Aenea, deinde affinitatem iunxisse tradunt;* (7) *alii, cum instructae acies constitissent, priusquam signa canerent, processisse Latinum inter primores ducemque advenarum evocasse ad colloquium .....* (9) *inde foedus ictum ... Aeneam apud Latinum fuisse in hospitio; ibi Latinum apud penates deos domesticum publico adiunxisse foedus, filia Aeneae in matrimonium data.* (10) *ea utique res Troianis spem affirmat tandem stabili certaque sede finiendi erroris. oppidum condunt; Aeneas ab nomine uxoris Laviniam appellat.* (11) *brevi stirps quoque virilis ex novo matrimonio fuit, cui Ascanium parentes dixere nomen.* F 16; 27; 38b.

---

4 Ἐλύμωι (F?) Tschucke ἐλύμνωι o   τρωὶ om. D   λύβαιον CDal   5 ἔνθεν: ἐκεῖθεν Eust   7 καταφάγοι Dx   8 ἀπορίαν Cas ἀπειρίαν o   20 *maiorum* Novák   22 *tenuisse*: *venisse* M *tendisse* Up   *troiae* F   23 *ibi*: *ubi* M   24 *superessent* M *-et* v.l.   32 *utique res* M *r.u.* r

38 a) Dion. Hal. *A.R.* 1, 59, 3: Λαουίνιον, ὡς μὲν αὐτοὶ Ῥωμαῖοι λέγουσιν, ἀπὸ τῆς Λατίνου θυγατρός, ἧι Λαῦναν εἶναί φασι τοὔνομα, ὡς δ' ἄλλοι τινὲς τῶν Ἑλληνικῶν μυθογράφων ἔλεξαν, ἀπὸ τῆς Ἀνίου τοῦ Δηλίων βασιλέως θυγατρὸς Λαύνας καὶ τῆσδε ὀνομαζομένης, <ἧς> ἀποθανούσης νόσωι περὶ τὸν οἰκισμὸν τῆς πόλεως πρώτης καὶ ἐν ὧι ἔκαμε χωρίωι ταφείσης μνῆμα γενέσθαι τὴν πόλιν. συμπλεῦσαι δ' αὐτὴν τοῖς Τρωσὶ λέγεται δοθεῖσαν ὑπὸ τοῦ πατρὸς Αἰνείαι δεηθέντι μαντικὴν οὖσαν καὶ σοφήν ..... (63, 1) περὶ δὲ τῶν χρόνων, ἐν οἷς ἐκτίσθη τὸ Λαουίνιον, ἄλλοι μὲν ἄλλως λέγουσιν, ἐμοὶ μέντοι δοκοῦσιν οἱ δευτέρωι μετὰ τὴν ἔξοδον τὴν ἐκ Τροίας ἔτει φέροντες αὐτὴν εἰκότα μᾶλλον λέγειν (begründung). b) Strabon 5, 3, 2 p. 229: φασὶ δὲ Αἰνείαν μετὰ τοῦ πατρὸς Ἀγχίσου καὶ τοῦ παιδὸς Ἀσκανίου κατάραντας εἰς Λαύρεντον τῆς πλησίον τῶν Ὠστίων καὶ τοῦ Τιβέρεως ἠιόνος, μικρὸν ὑπὲρ τῆς θαλάττης ὅσον ἐν τέτταρσι καὶ εἴκοσι σταδίοις, κτίσαι πόλιν. ἐπελθόντα δὲ Λατῖνον τὸν τῶν Ἀβοριγίνων βασιλέα τῶν οἰκούντων τὸν τόπον τοῦτον, ὅπου νῦν ἡ Ῥώμη ἐστί, συμμάχοις χρήσασθαι τοῖς περὶ τὸν Αἰνείαν ἐπὶ τοὺς γειτονεύοντας Ῥουτούλους τοὺς Ἀρδέαν (cf. F 17) κατέχοντας (στάδιοι δ' εἰσὶν ἀπὸ τῆς Ἀρδέας εἰς τὴν Ῥώμην ἑκατὸν ἑξήκοντα), νικήσαντα δ' ἀπὸ τῆς θυγατρὸς Λαουινίας ἐπώνυμον κτίσαι πλησίον πόλιν. πάλιν δὲ τῶν Ῥουτούλων συμβαλόντων εἰς μάχην, τὸν μὲν Λατῖνον πεσεῖν, τὸν δὲ Αἰνείαν νικήσαντα βασιλεῦσαι καὶ Λατίνους καλέσαι τοὺς ὑφ' αὑτῶι.

39 a) Dion. Hal. *A.R.* 1, 64, 4: (Latinus fällt im krieg gegen die Rutuler und deren führer Tyrrhenos, einen neffen von Latinos' gattin Amita, und Aineias übernimmt die herrschaft; im 4. jahr danach neuer angriff der Rutuler und Etrusker unter Mesentius; Aineias fällt). τὸ δὲ Αἰνείου σῶμα φανερὸν οὐδαμῆι γενόμενον οἱ μὲν εἰς θεοὺς μεταστῆναι εἴκαζον, οἱ δ' ἐν τῶι ποταμῶι, παρ' ὃν ἡ μάχη ἐγένετο, διαφθαρῆναι. (5) καὶ αὐτῶι κατασκευάζουσιν οἱ Λατῖνοι ἡρῶον ἐπιγραφῆι τοιᾶιδε κοσμούμενον· 'Πατρὸς θεοῦ χθονίου, ὃς ποταμοῦ Νομικίου ῥεῦμα διέπει'. εἰσὶ δ' οἳ λέγουσιν ἐπ' Ἀγχίσηι κατασκευασθῆναι αὐτὸ ὑπ' Αἰνείου, ἐνιαυτῶι πρότερον τοῦ πολέμου τούτου τελευτήσαντι. ἔστι δὲ χωμάτιον οὐ μέγα, καὶ περὶ αὐτὸ δένδρα στοιχηδὸν πεφυκότα θέας ἄξια. b) Livius 1, 2, 6: *secundum inde proelium Latinis, Aeneae etiam ultimum operum mortalium fuit. situs est,*

---

2 λαῦναν B^{ac} (cf. c. 70, 1-2 O; 60, 1 AB^{ac}; 64, 1 A) λάυναν A λαυινίαν B^{c} (cf. Λαουινία c. 60, 1 B^{c}; 64, 1 B) 3 ἑλληνικῶν B^{c} ἑλλήνων AB^{ac} 3-4 τῆς Ἀνίου Steph σαινίου ABa <σελι>νίου Bb 4 δηλ<ίων> B δήλου A λα<ουινί>ας B <ἧς> Steph 7 τοῦ om. B 8 λαυίνιον B 9 λέγουσιν * * * Sintenis 10 φέροντες: λέγοντες B^{mg} (m. rec.) ἀναφέροντες Grasberger φέροντες <τὴν κτίσιν> Buecheler ἐπιφέροντες ἐνιαυτῶι Madvig 12 κατάραντα ς Cas λαύροντον B λαῦρον AC τῆς om. B [πλησίον]? 19 συμβαλλόντων C 25 αὐτὸ εἴκαζον B αὐτὸν εἰ. Kiessling 32 *mortalium operum* M

quemcumque eum dici ius fasque est, super Numicum flumen: Jovem Indigetem appellant. c) Serv. Dan. Vergil. *A.* 4, 620: *Cato* (F 10 Pet) *dicit iuxta Laurolavinium, cum Aeneae socii praedas agerent, proelium commissum, in quo Latinus occisus est, fugit Turnus, et Mezentii auxilio conparato renovavit proelium, quo victus quidem est ab Aenea, qui tamen [Aeneas] in ipso proelio non conparuit; Ascanius vero postea Mezentium interemit. alii dicunt quod victor Aeneas cum sacrificaret super Numicum fluvium lapsus est, et eius nec cadaver inventum est. unde dicit 'mediaque inhumatus harena'.*

40 a) Dion. Hal. *A.R.* 1, 72: ἀμφισβητήσεως δὲ πολλῆς οὔσης καὶ περὶ τοῦ χρόνου τῆς κτίσεως καὶ περὶ τῶν οἰκιστῶν τῆς πόλεως, οὐδὲ αὐτὸς ᾤιμην δεῖν ὥσπερ ὁμολογούμενα πρὸς ἁπάντων ἐξ ἐπιδρομῆς ἐπελθεῖν. <Kephalon, Demagoras, Agathyllos, ἄλλοι συχνοί F 21/22; Hellanikos, Damastes, ἄλλοι τινές F 8/9; Aristoteles F 13a; Kallias F 14a; Xenagoras F 17; Dionysios von Chalkis F 10; τινές F 11>. (73) ἔχων δὲ πολλοὺς καὶ ἄλλους τῶν Ἑλληνικῶν παρέχεσθαι συγγραφέων, οἳ διαφόρους ἀποφαίνουσι τοὺς οἰκιστὰς τῆς πόλεως, ἵνα μὴ δόξω μακρηγορεῖν, ἐπὶ τοὺς Ῥωμαίων ἐλεύσομαι συγγραφεῖς <F 2 c>. (2) τούτων δέ τινες μὲν Αἰνείου γενέσθαι υἱοὺς λέγουσι Ῥωμύλον τε καὶ Ῥῶμον τοὺς οἰκιστὰς τῆς Ῥώμης, ἕτεροι δὲ θυγατρὸς Αἰνείου παῖδας, ὅτου δὲ πατρὸς οὐκέτι διορίζοντες. δοθῆναι δ' αὐτοὺς ὑπ' Αἰνείου Λατίνωι τῶι βασιλεῖ τῶν Ἀβοριγίνων ὁμηρεύσοντας, ὅτε καὶ αἱ πίστεις τοῖς ἐπιχωρίοις πρὸς τοὺς ἐπήλυδας (F 37c) ἐγένοντο· ἀσπαζόμενον δὲ αὐτοὺς Λατῖνον τῆι τε ἄλληι θεραπείαι περιέπειν εὖ, καὶ ἐκγόνου ἄρρενος ἄπαιδα τελευτῶντα διαδόχους μέρους τινὸς τῆς ἑαυτοῦ ἀρχῆς καταλιπεῖν. (3) ἄλλοι δὲ λέγουσιν Αἰνείου τελευτήσαντος Ἀσκάνιον ἅπασαν τὴν Λατίνων ἀρχὴν παραλαβόντα νείμασθαι πρὸς τοὺς ἀδελφοὺς Ῥωμύλον τε καὶ Ῥῶμον τήν τε χώραν καὶ τὴν δύναμιν τὴν Λατίνων τριχῆι. αὐτὸν μὲν δὴ τήν τε Ἄλβαν κτίσαι καὶ ἄλλ' ἄττα πολίσματα, Ῥῶμον δὲ Καπύην μὲν ἀπὸ τοῦ προπάππου Κάπυος, Ἀγχίσην δὲ ἀπὸ τοῦ προπάτορος Ἀγχίσου, Αἰνείαν δὲ τὴν ὕστερον κληθεῖσαν Ἰάνικλον ἀπὸ τοῦ πατρός, Ῥώμην δὲ ἀφ' ἑαυτοῦ. ταύτην δὲ χρόνους τινὰς ἐρημωθεῖσαν, ἑτέρας αὖθις ἐλθούσης ἀποικίας, ἣν Ἀλβανοὶ ἔστειλαν (F 36a c. 2) ἡγουμένου

---

1 *fluvium* M 1-2 *indigitem* M 3 *socii*: *socri* F *praedas* N^{c} *praedes* NH 4 *quo*: *qui* Daniel *ipse quidem victus est* F *qui idem victus* Mommsen 5-6 *qui tamen Aeneas*: *Aeneas autem* F *Aeneas* om. M 8 *et est nec* F *inventum est*: *aparuit* F *inde* F 12 παρελθεῖν B 17 δόξω Buecheler δόξαιμι AB 19 τε B om. r 24 περιέπειν om. B καὶ B om. r 26 λατίνων om. A 28 τὴν λατίνων B τῶν λ. r ἄλλαττα A^{c} ἄλλατα A^{ac} ἄλλα ἄττα B 29 καπύην μὲν ῥῶμον B 31 ἑαυτοῦ * * Sauppe

'Ρωμύλου καὶ 'Ρώμου, τὴν ἀρχαίαν κτίσιν ἀπολαβεῖν, ὥστε διττὰς εἶναι τῆς 'Ρώμης τὰς κτίσεις, τὴν μὲν ὀλίγον ὕστερον τῶν Τρωικῶν γενομένην, τὴν δὲ πεντεκαίδεκα γενεαῖς ὑστεροῦσαν τῆς προτέρας. (4) εἰ δέ τις ἀπιδεῖν βουλήσεται τὰ προσωτέρω, καὶ τρίτη τις ἀρχαιοτέρα τούτων εὑρεθήσεται 'Ρώμη γενομένη πρὶν Αἰνείαν καὶ Τρῶας ἐλθεῖν εἰς 'Ιταλίαν .... (Antiochos F 7). ‹c. 74-75, 3 gründungsdaten und chronologie der königszeit›. (4) τὰ μὲν δὴ περὶ τοῦ χρόνου, καθ' ὃν ἡ νῦν δυναστεύουσα πόλις ᾠκίσθη τοῖς τε πρὸ ἐμοῦ γενομένοις εἰρημένα κἀμοὶ δοκοῦντα τοιάδ' ἐστίν. οἰκισταὶ δ' αὐτῆς οἵτινες ἦσαν, καὶ τίσι τύχαις χρησάμενοι τὴν ἀποικίαν ἔστειλαν, ὅσα τε ἄλλα περὶ τὴν κτίσιν ταύτην ἱστόρηται, πολλοῖς μὲν εἴρηται καὶ διαφόρως τὰ πλεῖστα ἐνίοις, λεχθήσεται δὲ κἀμοὶ τὰ πιθανώτατα τῶν μνημονευομένων. ἔχει δὲ ὧδε· ‹c. 76-78 die zwillingsgeburt der Rhea Silvia; c. 79-84 die geschichte der zwillinge (cf. Fabius 809 F 4b); c. 85-88 die stadtgründung›. (89) ἃ μὲν οὖν ἐμοὶ δύναμις ἐγένετο σὺν πολλῆι φροντίδι ἀνευρεῖν 'Ελλήνων τε καὶ 'Ρωμαίων συχνὰς ἀναλεξαμένωι γραφὰς ὑπὲρ τοῦ τῶν 'Ρωμαίων γένους τοιάδ' ἐστίν.

b) Festus p. 266/9 M (p. 326, 28 Li): *Romam appellatam esse Cephalon Gergithius, qui de adventu Aeneae in Italiam videtur conscribsisse* (45 F 10), *ait ab homine quodam comite Aeneae: eum enim occupato monte, qui nunc Palati‹n›us dicitur, urbem condidisse atque eam Rhomen nominasse. Apollodorus in Euxenide* (–) *ait Aenea et Lavinia natos Mayllem, Mulum, Rhomumque, atque ab Romo urbi tractum nomen.* ‹Alcimus F 12; Antigonus 816 F 1; Hyperochus 576 F 3; Agathocles und *complures auctores* F 18/9; Callias F 14; Heraclides Lembos F 13b; Galitas no. 818›....

c) Solin. *Coll.* 1: *sunt qui videri velint Romae vocabulum ab Euandro primum datum, cum oppidum ibi offendisset, quod exstructum ante Valentiam dixerat iuventus Latina, servataque significatione inpositi prius nominis Romam Graece Valentiam nominatam. quam Arcades quoniam habitassent in excelsa parte montis, derivatum deinceps ut tutissima urbium arces vocarentur.* ‹Herakleides (Lembos); Agathokles›.

d) Serv. Dan. Vergil. *A.* 1, 273: *sed de origine et conditore urbis diversa a diversis traduntur. Clinias* (819 F 1) *refert* .... * * .... Ateius (F 14 Fun) *adserit Romam ante adventum Euandri diu Valentiam vocitatam, sed post Graeco nomine Romen vocitatam. alii a filia Euandri ita dictam, alii a fatidica, quae praedixisset Euandro his eum locis oportere considere. Naevius* (F 25 *Heraclides* (F 13b) .... *Eratosthenes* (F 20) ....

1-2 τῆς ῥώμης om. B[ac] 9 καὶ Kiessling ἢ O 16 τῶν om. B 17 *romam* F² (i. ras.) *rom-* F¹ 20 *Palatinus* O. Müller *palatius* F 32 * * Schoppe ‹*Cato in Originibus*› Masvicius *Ateius* Masvicius *adeius* C

Morel) *et* Ennius (*A.* 35 ff. V[2]) *Aeneae ex filia nepotem Romulum conditorem urbis tradunt. Sibylla* (–) *ita dicit*: «‘Ρωμαῖοι, ‘Ρώμου παῖδες». e) Plutarch. *Romul.* 1: τὸ μέγα τῆς ‘Ρώμης ὄνομα καὶ δόξηι διὰ πάντων ἀνθρώπων κεχωρηκὸς ἐφ’ ὅτου καὶ δι’ ἣν αἰτίαν τῆι πόλει γέγονεν, οὐχ ὡμολόγηται παρὰ τοῖς συγγραφεῦσιν, ἀλλ’ οἱ μὲν Πελασγοὺς ἐπὶ πλεῖστα τῆς οἰκουμένης πλανηθέντας ἀνθρώπων τε πλείστων κρατήσαντας αὐτόθι κατοικῆσαι καὶ διὰ τὴν ἐν τοῖς ὅπλοις ῥώμην οὕτως ὀνομάσαι τὴν πόλιν, οἱ δὲ (F 13) Τροίας ἁλισκομένης διαφυγόντας ἐνίους καὶ πλοίων ἐπιτυχόντας ὑπὸ πνευμάτων τῆι Τυρρηνίαι προσπεσεῖν φερομένους καὶ περὶ τὸν Θύμβριν ποταμὸν ὁρμίσασθαι. (2) ταῖς δὲ γυναιξὶν αὐτῶν ἀπορουμέναις ἤδη καὶ δυσανασχετούσαις πρὸς τὴν θάλασσαν ὑποθέσθαι μίαν, ἣ καὶ γένει προὔχειν καὶ φρονεῖν ἐδόκει μάλιστα, ‘Ρώμην ὄνομα, καταπρῆσαι τὰ πλοῖα· πραχθέντος δὲ τούτου, πρῶτον μὲν ἀγανακτεῖν τοὺς ἄνδρας, ἔπειτα δι’ ἀνάγκην ἱδρυνθέντας περὶ τὸ Παλλάντιον, ὡς ὀλίγωι χρόνωι κρεῖττον ἐλπίδος ἔπραττον, ἀγαθῆς τε πειρώμενοι χώρας καὶ δεχομένων αὐτοὺς τῶν προσοίκων, ἄλλην τε τιμὴν ἀπονέμειν τῆι ‘Ρώμηι καὶ τὴν πόλιν ἀπ’ αὐτῆς ὡς αἰτίας προσαγορεύειν. (3) ἐξ ἐκείνου τε παραμένειν λέγουσι τὸ τοὺς συγγενεῖς τὰς γυναῖκας καὶ οἰκείους ἄνδρας ἀσπάζεσθαι τοῖς στόμασι ..... (2) ἄλλοι δὲ ‘Ρώμην ’Ιταλοῦ θυγατέρα καὶ Λευκαρίας (F 11), οἱ δὲ Τηλέφου τοῦ ‘Ηρακλέους, Αἰνείαι γαμηθεῖσαν, οἱ δ’ ’Ασκανίου τοῦ Αἰνείου λέγουσι τοὔνομα θέσθαι τῆι πόλει. οἱ δὲ ‘Ρωμανόν, ’Οδυσσέως παῖδα καὶ Κίρκης, οἰκίσαι τὴν πόλιν, οἱ δὲ ‘Ρῶμον ἐκ Τροίας ὑπὸ Διομήδους ἀποσταλέντα τὸν ’Ημαθίωνος (F 10), οἱ δὲ ‘Ρῶμιν Λατίνων τύραννον, ἐκβαλόντα Τυρρηνοὺς τοὺς εἰς Λυδίαν μὲν ἐκ Θετταλίας, ἐκ δὲ Λυδίας εἰς ’Ιταλίαν παραγενομένους. (2) οὐ μὴν οὐδ’ οἱ ‘Ρωμύλον τῶι δικαιοτάτωι τῶν λόγων ἀποφαίνοντες ἐπώνυμον τῆς πόλεως ὁμολογοῦσι περὶ τοῦ γένους αὐτοῦ. οἱ μὲν γὰρ Αἰνείου καὶ Δεξιθέας τῆς Φόρβαντος υἱὸν ὄντα νήπιον εἰς ’Ιταλίαν κομισθῆναι καὶ τὸν ἀδελφὸν αὐτοῦ ‘Ρῶμον· ἐν δὲ τῶι ποταμῶι πλημμύραντι τῶν ἄλλων σκαφῶν διαφθαρέντων, ἐν ὧι δ’ ἦσαν οἱ παῖδες εἰς μαλακὴν ἀποκλινθέντος ὄχθην ἀτρέμα, σωθέντας ἀπροσδοκήτως, ὀνομασθῆναι ‘Ρώμην. (3) οἱ δὲ ‘Ρώμην θυγατέρα τῆς Τρωάδος ἐκείνης Λατίνωι τῶι Τηλεμάχου γαμηθεῖσαν τεκεῖν τὸν ‘Ρωμύλον, οἱ δὲ Αἰμυλίαν τὴν Αἰνείου καὶ Λαβινίας ῎Αρει συγγενομένην. οἱ δὲ (Promathion no. 817) μυθώδη παντάπασι περὶ τῆς γενέσεως διεξίασι .... (3) τοῦ δὲ πίστιν ἔχοντος λόγου μάλιστα καὶ πλείστους μάρτυρας τὰ μὲν κυριώτατα πρῶτος εἰς τοὺς ῞Ελληνας ἐξέδωκε Διοκλῆς Πεπαρήθιος (820

10 ὁρμήσασθαι M αὐτῶν om. M 19 λευκαρίας UMA -νίας Barocc. 137 20 δ’ ἀσκανίου UM[c]A[c] δ’ αὖ ἀσκανίου M[ac] δ’ ἀπ’ ἀσκανίου A[ac] δ’ ’Ασκανίωι Xyl 21 οἰκῆσαι U 23 ἐκβαλλόντα (so!) M 26 [αὐτοῦ] Lindskog 29 σωθέντος Anon 30 ὀνομασθῆναι o ὄνομα θεῖναι Petavius 31 λατίνων U τηλεμάχω U

T 2), ὧι καὶ Φάβιος ὁ Πίκτωρ (809 F 4a) ἐν τοῖς πλείστοις ἐπηκολούθηκε. **f)** DIODOR. 7, 5: s. Fabius Pictor 809 F 2.

41 a) DION. HAL. *A.R.* 1, 29, 2: ἦν γὰρ δὴ χρόνος ὅτε καὶ Λατῖνοι καὶ Ὀμβρικοὶ καὶ Αὔσονες καὶ συχνοὶ ἄλλοι Τυρρηνοὶ ὑφ' Ἑλλήνων ἐλέγοντο, τῆς διὰ μακροῦ τῶν ἐθνῶν οἰκήσεως ἀσαφῆ ποιούσης τοῖς πρόσω τὴν ἀκρίβειαν, τήν τε Ῥώμην αὐτὴν πολλοὶ τῶν συγγραφέων Τυρρηνίδα πόλιν εἶναι ὑπέλαβον. **b)** PLUTARCH. *Camill.* 22, 3 (= Herakleid. Pont. F 28 Voss): .... πόλιν Ἑλληνίδα Ῥώμην ἐκεῖ που κατωικημένην περὶ τὴν μεγάλην θάλασσαν.

42 a) DION. HAL. *A.R.* 1, 86, 2: ἦν δὲ Ῥωμύλωι μὲν οἰωνιστήριον, ἔνθα ἠξίου τὴν ἀποικίαν ἱδρῦσαι, τὸ Παλλάντιον, Ῥώμωι δ' ὁ προσεχὴς ἐκείνωι λόφος Αὐεντῖνος καλούμενος, ὡς δέ τινες ἱστοροῦσιν ἡ Ῥεμορία. **b)** LIVIUS 1, 7: *priori Remo augurium venisse fertur, sex voltures; iamque nuntiato augurio cum duplex numerus Romulo se ostendisset, utrumque regem sua multitudo consalutaverat: tempore illi praecepto, at hi numero avium regnum trahebant.* (2) *inde cum altercatione congressi certamine irarum ad caedem vertuntur: ibi in turba ictus Remus cecidit. volgatior fama est ludibrio fratris Remum novos transiluisse muros; inde ab irato Romulo .... interfectum.* (3) *ita solus potitus imperio Romulus, condita urbs conditoris nomine appellata.* DION. HAL. *A.R.* 1, 87.

XXX. SKYTHEN

(Cf. XXVIII. Pontos)

—. HELLANIKOS VON LESBOS

s. V 2ª

ΣΚΥΘΙΚΑ

4 F 64-65; 185-187.

841. MNESIMACHOS VON PHASELIS

(s. IV/IIIª?)

1. ΠΕΡΙ ΣΚΥΘΩΝ Ā – ?

1 (IV 453, 1) SCHOL. APOLL. RHOD. 2, 1015b: Ἰρὸν δ' αὖτ' ἐπὶ τοῖσιν ὄρος καὶ γαῖαν ἄμειβον, / ἧι ἔνι Μοσσύνοικοι ἀν' οὔρεα ναιετάουσιν / μόσσυνας] τοῦτο καθῆκόν ἐστιν εἰς τὸν Εὔξεινον Πόντον. (Ktesias 688 F 56; Souidas 602 F 3; Agathon 801 F 1). ὁ δὲ Εἰρηναῖος (F 21 Haupt) Μνησίμαχόν φησι περὶ αὐτοῦ ἱστορεῖν ἐν τῶι ᾱ Περὶ Σκυθῶν ἀγνοῶν· ὁ γὰρ Μνησίμαχος ἐν τῆι Εὐρώπηι μέμνηται κειμένης τῆς Σκυθικῆς. ὁ

1 ὁ Πίκτωρ Sintenis οὐίκτωρ O 8 κατωικημένην Y (-ωικειμένην S[me]) συν- S
11 δὲ ὁ B δὲ Γ 12 αὐεντῖνος B λουεντῖνος A 28 Ἰρὸν O. Schneider ἱερὸν O

δὲ Ἀπολλώνιος καὶ οἱ προειρημένοι ἐν τῆι Ἀσίαι καταλέγονται. τρίτον ἐστὶν Ἱερὸν ὄρος τῆς Θράικης.

2. ΔΙΑΚΟΣΜΟΙ

2 (2) SCHOL. APOLL. RHOD. 4, 1412/4: εἴτ' οὖν οὐρανίαις ἐναρίθμιοί ἔστε θεῆισιν / εἴτε καταχθονίαις, εἴτ' οἰοπόλοι καλέεσθε, / νύμφαι] τοῦτό φησιν, ἐπεὶ τῶν νυμφῶν αἱ μέν εἰσιν οὐράνιαι, αἱ δὲ ἐπίγειοι, αἱ δὲ ἐπιποτάμιοι, αἱ δὲ λιμναῖαι, αἱ δὲ θαλάσσιαι. καὶ καθόλου δὲ τὸ τῶν νυμφῶν γένος εἰς πολλὰ διήιρηται, ὥς φησι Μνησίμαχος ὁ Φασηλίτης ἐν Διακόσμοις.

***3** (3) SCHOL. APOLL. RHOD. 2, 476/83a: ὁ γὰρ (*scil.* der vater des Paraibios) οἷος ἐν οὔρεσι δένδρεα τέμνων / δή ποθ' ἁμαδρυάδος νύμφης ἀθέριξε λιτάων κτλ.] ἁμαδρυάδας νύμφας Μνησίμαχός φησι διὰ τὸ ἅμα ταῖς δρυσὶ γεννᾶσθαι, ἢ ἐπεὶ δοκοῦσιν ἅμα ταῖς δρυσὶ φθείρεσθαι, νύμφαι ἁμαδρυάδες λέγονται. Χάρων δὲ ὁ Λαμψακηνὸς (262 F 12) ἱστορεῖ, ὡς ἄρα Ῥοῖκος, θεασάμενος δρῦν ὅσον οὔπω μέλλουσαν ἐπὶ γῆς καταφέρεσθαι, προσέταξε τοῖς παισὶν ὑποστηρίξαι ταύτην· ἡ δὲ μέλλουσα συμφθείρεσθαι τῆι δρυὶ νύμφη ἐπιστᾶσα τῶι Ῥοίκωι χάριν μὲν ἔφασκεν εἰδέναι ὑπὲρ τῆς σωτηρίας...... καὶ Πίνδαρος (F 165 Schr) δέ φησι, περὶ νυμφῶν ποιούμενος τὸν λόγον, <<ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῖσα>>.

842. TIMONAX s. IV/III•?

ΠΕΡΙ ΣΚΥΘΩΝ (ΣΚΥΘΙΚΑ) Α̅-Β̅(?)

1 (IV 522, 1) SCHOL. APOLL. RHOD. 4, 321/2: τῆς δὲ Σκυθίας ἔθνη ν̅ε̅ Τιμῶναξ ἀναγράφει ἐν α̅ Περὶ Σκυθῶν.

***2** (2) SCHOL. APOLL. RHOD. 4, 1217/9a: Τιμῶναξ ἐν α̅ τῶν Σκυθικῶν ἐν Κόλχοις φησὶν Ἰάσονα Μήδειαν γῆμαι, Αἰήτου αὐτῶι ἐγγυήσαντος. ὁ δ' αὐτός φησι· <<δείκνυνται δὲ παρὰ τὸν παράπλουν ἔνδον τοῦ Πόντου κῆποί τινες Ἰασόνιοι καλούμενοι, καθ' ὧν τὰς ἀποβάσεις αὐτὸν ποιήσασθαι, καὶ κατὰ τὴν Αἶαν γυμνάσια καὶ δίσκοι καὶ τῆς Μηδείας θάλαμος, καθ' ὃν ἐνυμφεύθη ποτέ, καὶ πρὸς τῆι πόλει ἱερὸν ἱδρυμένον <ὑπ'> Ἰάσονος, καὶ πρὸς τούτοις ἱερὰ πολλά>>.

---

1 καταλέγονται Wendel διαλέγονται o διαγίνονται Keil <περὶ> τοῦ> ἐν τ. Ἀ. διαλέγονται o. διαλ. <περὶ αὐτῶν>? τρίτον ἐστὶν L ἔστι καὶ ἕτερον P 6 ἐπεὶ ἔνιαι L 7 λιμναῖαι Steph λη- L 8 Φασηλίτης Steph φασιλήτης L 9 διακόσμοις L -μωι P 12 Μνησίμαχός φησι: λέγονται Et. Gen. p. 18, 11 Rei 14 δὲ: γὰρ Et 15 προσέταξε P Et -τάξαι L 19 λαχοῖσα Et (A -οῦσαι B) -οῦσα LP 25 Σκυθικῶν Hecker Σικελικῶν o 28 αὐτὸν P αὐτῶν L 30 <ὑπ'> Wendel

3 (3) SCHOL. APOLL. RHOD. 3, 1236: Φαέθων] ὅτι ὁ Ἄψυρτος καὶ Φαέθων ἐκαλεῖτο (3, 241 ff.), ὥς φησι Τιμῶναξ ἐν β̄ Σκυθικῶν.

—. POSEIDONIOS VON OLBIA s. II^{p}?

ΠΕΡΙ ΤΗΣ ΤΥΡΙΚΗΣ (?) ΧΩΡΑΣ

No. 279.

843. AGATHON VON SAMOS

1. ΣΚΥΘΙΚΑ

1 (IV 291, 1) [PLUT.] *De fluv.* 14, 5: γεννᾶται δ' ἐν αὐτῶι (dem Tanais) βοτάνη τῆι διαλέκτωι τῶν βαρβάρων φρίξα καλουμένη, ὅπερ μεθερμηνευόμενόν ἐστιν μισοπόνηρος· πηγάνωι δέ ἐστι παρόμοιος· ἣν οἱ πρόγονοι κρατοῦντες οὐδὲν ὑπὸ μητρυιῶν ἀδικοῦνται. μάλιστα δὲ φύεται παρὰ Βορέου προσαγορευόμενον ἄντρον. συλλεγομένη δ' ἐστὶν ψυχροτέρα χιόνος· ὅταν δέ τινι ἐκ μητρυιᾶς ἐπιβουλὴ γένηται, φλόγας ἀναδίδωσιν· καὶ τοῦτο σύσσημον ἔχοντες οἱ φοβούμενοι τὰς ἐπιγεγαμημένας ἐκκλίνουσι τῶν ἐπικειμένων φόβων τὰς ἀνάγκας, καθὼς ἱστορεῖ Ἀγάθων ὁ Σάμιος ἐν β̄ Σκυθικῶν.

2. ΠΕΡΙ ΠΟΤΑΜΩΝ

2 (4) [PLUT.] *De fluv.* 18, 1 (STOB. *Flor.* 4, 36, 12): Ἴναχος ποταμός ἐστι τῆς Ἀργείας χώρας . . . . . (2) γεννᾶται δ' ἐν αὐτῶι βοτάνη κύουρα καλουμένη, πηγάνωι παρόμοιος, ἣν αἱ γυναῖκες, ὅταν ἀκινδύνως ἐκτρῶσαι θελήσωσιν, ἐν οἴνωι βεβρεγμένην τοῖς ὀμφαλοῖς ἐπιτιθέασιν. (3) εὑρίσκεται δ' ἐν αὐτῶι καὶ λίθος βηρύλλωι παρόμοιος, ὃν ἐὰν κρατήσωσιν οἱ ψευδομαρτυρεῖν ἐθέλοντες, μέλας γίνεται. κεῖνται δὲ πολλοὶ ἐν τῶι τεμένει τῆς Προσυμναίας Ἥρας, καθὼς ἱστορεῖ Τιμόθεος ἐν τοῖς Ἀργολικοῖς (313 F 1)· μέμνηται δὲ τούτων καὶ Ἀγάθων ὁ Σάμιος ἐν β̄ Περὶ ποταμῶν.

3. OHNE BUCHTITEL

3 (2) [PLUT.] *Parall. min.* 38 A p. 315 BC: Βούσιρις, παῖς Ποσειδῶνος καὶ Ἀνίππης τῆς Νείλου, τοὺς παριόντας ὑπούλωι ξενίαι κατέθυε· μετῆλθε δ' αὐτὸν ἡ τῶν τετελευτηκότων νέμεσις· Ἡρακλῆς γὰρ ἐπιτεθεὶς τῶι ῥοπάλωι διεχρήσατο, ὡς Ἀγάθων Σάμιος.

844. KTESIPPOS

ΣΚΥΘΙΚΑ

1 (IV 376) [PLUT.] *De fluv.* 5, 2: γεννᾶται δ' ἐν τῶι ποταμῶι (dem Phasis)

---

4 Τυρι<α>κῆς o. Τυρι<γετι>κῆς Bernhardy Τυρι<τι>κῆς Mue 8-9 γεννᾶται — διαλέκτωι Ghelen γεννᾶται δ' ἐν τῶι τόπωι βοτάνη (*s.l.* m.^{1}) τῆι διαλέκτωι P 8 ἐν αὐτῶι P ἐν τῶι ὄρει (14, 4) P^{mg} (m. ^{1}) 9 φρύξα Maussac 10 ὑπὸ <τῶν>? He 11 παρὰ <τὸ>? He 13 σύσσημον Maussac σύσημον P 14 φόβων: φόνων? He 16-19 (ἐπιτιθέασιν) hat Stob. mit der überschrift Ἀγ. Σ. ἐν β̄ Π. ποτ. 17 κύουρα P(?) Stob (SAM) κύνουρα Stob (Voss.) 18 παρόμοιος Stob προσ- P θελήσωσιν Ghelen -σουσιν P θέλωσιν (-ουσιν M) Stob 19 ὀμφαλοῖς P ὀφθαλμοῖς Stob 26 ἐχρήσατο Σg 30-p. 930, 4 (γαμον): [Aristot.] *Mir. Ausc.* 158

ῥάβδος ὀνομαζομένη λευκόφυλλος· εὑρίσκεται δὲ <ἐν> τοῖς μυστηρίοις τῆς Ἑκάτης περὶ τὸν ὄρθρον, πρὸς παιανισμὸν ἔνθεον αὐτοῦ, περὶ τὴν ἀρχὴν τοῦ ἔαρος· ἣν οἱ ζηλότυποι τῶν ἀνδρῶν δρεπόμενοι ῥίπτουσι περὶ τὸν παρθένιον θάλαμον καὶ ἀνόθευτον τηροῦσιν τὸν γάμον. ἐάν τις προπετέστερον ἀποστραφῆι(?) τῶν ἀσεβεστέρων διὰ μέθην, καὶ εἰς τὸν τόπον εἰσέλθηι, τῶν σωφρονούντων ἀφαρπάζεται λογισμῶν, καὶ εὐθὺς ὁμολογεῖ πᾶσιν, ὅσα παρανόμως ἢ ἔπραξεν ἢ μέλλει πράττειν· οἱ δὲ παρατυγχάνοντες συλλαμβάνοντες ῥίπτουσιν ἐμβεβυρσωμένον εἰς τὸ καλούμενον Στόμιον τῶν ἀσεβῶν. ἔστι δὲ στρογγυλοειδές, φρέατι παραπλήσιον· ἐκδίδωσι δὲ τὸ βληθὲν μετὰ λ ἡμέρας εἰς τὴν Μαιῶτιν λίμνην σκωλήκων γέμον· γῦπες δ' αἰφνιδίως ἐπιφανέντες ἀόρατοι τὸ μὲν κείμενον διαρπάζουσι, ὡς ἱστορεῖ Κτήσιππος ἐν β Σκυθικῶν.

845. ANHANG

1 STRABON 7, 3, 6 p. 298: . . . Ἀπολλόδωρος ἐν τῶι δευτέρωι Περὶ νεῶν (244 F 157) . . . ἐπαινεῖ . . . Ἐρατοσθένους ἀπόφασιν (V), ὅτι φησὶν ἐκεῖνος καὶ Ὅμηρον καὶ τοὺς ἄλλους τοὺς παλαιοὺς τὰ μὲν Ἑλληνικὰ εἰδέναι, τῶν δὲ πόρρω πολλὴν ἔχειν ἀπειρίαν . . . . . συνηγορῶν δὲ τούτοις Ὅμηρόν φησι τὴν μὲν Αὐλίδα καλεῖν πετρήεσσαν, ὥσπερ καὶ ἔστι, πολύκνημον δὲ τὸν Ἐτεωνόν . . . τὰ δ' ἄποθεν οὔτ' αὐτὸν εἰδέναι οὔτε τοὺς ἄλλους. ποταμῶν γοῦν περὶ τετταράκοντα ῥεόντων εἰς τὸν Πόντον, μηδὲ τῶν ἐνδοξοτάτων μηδενὸς μεμνῆσθαι . . . . ἔτι δὲ Σκυθῶν μὲν μὴ μεμνῆσθαι, πλάττειν δὲ ἀγαυούς τινας Ἱππημολγοὺς καὶ Γαλακτοφάγους Ἀβίους τε (N 5/6)· Παφλαγόνας τε τοὺς ἐν τῆι μεσογαίαι (B 851 ff.; ö.) ἱστορηκέναι παρὰ τῶν πεζῆι τοῖς τόποις πλησιασάντων, τὴν παραλίαν δὲ ἀγνοεῖν. καὶ εἰκότως γε· ἄπλουν γὰρ εἶναι τότε τὴν θάλατταν ταύτην, καὶ καλεῖσθαι Ἄξενον διὰ τὸ δυσχείμερον καὶ τὴν ἀγριότητα τῶν περιοικούντων ἐθνῶν, καὶ μάλιστα τῶν Σκυθικῶν, ξενοθυτούντων καὶ σαρκοφαγούντων καὶ τοῖς κρανίοις ἐκπώμασι χρωμένων· ὕστερον δ' Εὔξεινον κεκλῆσθαι, τῶν Ἰώνων ἐν τῆι παραλίαι πόλεις κτισάντων.

2 STRABON 11, 6, 2 p. 507 (= Eratosthenes): εἰσπλέοντι δ' ἐν δεξιᾶι μὲν τοῖς Εὐρωπαίοις οἱ συνεχεῖς Σκύθαι νέμονται καὶ Σαρμάται οἱ μεταξὺ τοῦ Τανάιδος καὶ τῆς θαλάττης ταύτης (*scil.* τῆς Κασπίας), νομάδες οἱ πλείους, περὶ ὧν εἰρήκαμεν, ἐν ἀριστερᾶι δ' οἱ πρὸς ἕω Σκύθαι, νομάδες καὶ οὗτοι, μέχρι τῆς ἑῴας θαλάττης καὶ τῆς Ἰνδικῆς παρατείνοντες. ἅπαντας μὲν δὴ τοὺς προσβόρους κοινῶς οἱ παλαιοὶ τῶν Ἑλλήνων συγγραφεῖς Σκύθας καὶ Κελτοσκύθας ἐκάλουν, οἱ δ' ἔτι πρότερον διελόντες τοὺς μὲν ὑπὲρ τοῦ Εὐξείνου καὶ Ἴστρου καὶ τοῦ Ἀδρίου κατοικοῦντας Ὑπερβορέους ἔλεγον καὶ Σαυρομάτας καὶ Ἀριμασπούς, τοὺς δὲ πέραν τῆς Κασπίας θαλάττης τοὺς μὲν

1-2 εὑρίσκεται – ἔαρος om. Ar 1 δ' ἐν? 2 παιανισμὸν Gaulminus πανισμὸν P 4-5 ἐὰν δέ τις τῶν ἀσ. προπ. ἐπιστραφῆι ἢ καὶ διὰ μέθην εἰς τ.τ. Wyttenbach ἐὰν – προπ. ἀναστραφῆι διὰ μ. καὶ εἰς τ.τ. He 4 τις Ghelen τι P 9 σκωλήκων Maussac -ίκων P τὸ ἐγκείμενον (o. lückenhaft) Wyttenbach 19 πλάττειν (7, 3, 7) Villebrun πάντας o 30 πρὸς: περὶ E 31 ἑῴας CDx πρὸς ἕω Xyl

Σάκας, τοὺς δὲ Μασσαγέτας ἐκάλουν, οὐκ ἔχοντες ἀκριβῶς λέγειν περὶ αὐτῶν οὐδέν, καίπερ πρὸς Μασσαγέτας τοῦ Κύρου πόλεμον ἱστοροῦντες (696 F 2).

3 Joseph. *c. Ap.* 1, 65: Θρᾶικες δὲ διὰ γειτονίαν καὶ τὸ Σκυθικὸν ὑπὸ τῶν εἰς τὸν Πόντον ἐγνώσθη πλεόντων· ὅλως γὰρ ἅπαντες οἱ παρὰ τὴν θάλατταν καὶ τὴν πρὸς ταῖς ἀνατολαῖς καὶ τὴν ἑσπέριον κατοικοῦντες τοῖς συγγράφειν τι βουλομένοις γνωριμώτεροι κατέστησαν, οἱ δὲ ταύτης ἀνωτέρω τὰς οἰκήσεις ἔχοντες ἐπὶ πλεῖστον ἠγνοήθησαν.

4 Diog. Laert. 1, 101: Ἀνάχαρσις ὁ Σκύθης Γνούρου μὲν ἦν υἱός, ἀδελφὸς δὲ Καδουίδου τοῦ Σκυθῶν βασιλέως, μητρὸς δὲ Ἑλληνίδος· διὸ καὶ δίγλωττος ἦν. οὗτος ἐποίησε Τῶν τε παρὰ τοῖς Σκύθαις νομίμων καὶ τῶν παρὰ τοῖς Ἕλλησιν εἰς εὐτέλειαν βίου καὶ τὰ κατὰ πόλεμον, ἔπη ὀκτακόσια.

5 P. Ox. 1802 (Glossar) fr. 3 col. I, 1: [Μαργιανοὶ(?) ἐν] γ̄ Σκυ[θικ]ῶν / * * νων αρχη[..].ητρ[.] / * * α ποιοῦντε[ς ἐ]νθουσα / [παρ' ἑτ]έροις Μάρδοι καλοῦνται [5] / * * ιλοι Ἀντικλε[ίδης (140?) / [Ἀσκλ]ηπιάδης (144?) ἐν [.] ἐπιγ[ρ]α / * * * / * * / οικοῦσιν Ἡρακ[λείδης?] / * * *

XXXI. SPANIEN

—. ASKLEPIADES VON MYRLEIA s. I 1[a]

ΠΕΡΙΗΓΗΣΙΣ ΕΘΝΩΝ ΤΩΝ ΕΝ ΤΗΙ ΤΟΥΡΔΗΤΑΝΙΑΙ

697 F 7-8.

846. SOSTHENES VON KNIDOS

1. ΙΒΗΡΙΚΑ

1 (IV 504, 1) [Plut.] *De fluv.* 16, 3: παράκειται δὲ αὐτῶι (dem Nil) ὄρος Ἄργιλλον καλούμενον ἀπ' αἰτίας τοιαύτης. Ζεὺς δι' ἐρωτικὴν ἐπιθυμίαν ἐκ Λύκτου πόλεως Κρητικῆς Ἄργην νύμφην ἁρπάσας ἀπήνεγκεν εἰς ὄρος τῆς Αἰγύπτου † Ἄργιλλον καλούμενον, καὶ ἐγέννησεν ἐξ αὐτῆς υἱὸν καλούμενον Διόνυσον, ὃς ἀκμάσας εἰς τιμὴν τῆς μητρὸς τὸν λόφον Ἄργιλλον μετωνόμασεν. στρατολογήσας δὲ Πᾶνας καὶ Σατύρους ἰδίοις σκήπτροις Ἰνδοὺς ὑπέταξεν. νικήσας δὲ καὶ Ἰβηρίαν Πᾶνα κατέλιπεν ἐπιμελητὴν τῶν τόπων, ὃς τὴν χώραν ἀπ' αὐτοῦ Πανίαν μετωνόμασεν, ἣν οἱ μεταγενέστεροι παραγώγως Σπανίαν προσηγόρευσαν, καθὼς ἱστορεῖ Σωσθένης ἐν ιγ̄ Ἰβηρικῶν.

2. OHNE BUCHTITEL

2 (2) [Plut.] *De fluv.* 17, 4: γεννᾶται δ' ἐν αὐτῶι (dem Taygetos) βοτάνη καλουμένη χαρίσιον, ἣν γυναῖκες ἔαρος ἀρχομένου τοῖς τραχήλοις περιάπτουσιν, καὶ ὑπὸ τῶν ἀνδρῶν συμπαθέστερον ἀγαπῶνται, καθὼς ἱστορεῖ Κλεάνθης ἐν ᾱ Περὶ ὀρῶν.

---

1 ἀκριβὲς E 2 καίτοι x 8 γούρου V 9 καλονίδου V 10 Τῶν τε: τόν τε B 11 κατὰ τὸν π. F 13 [Μαργια]νῶν? Hunt ἐ]νθουσιά[ζουσι? Hunt 24 Ἄργιλλον: 'exspectabas principale Argilli nomen' He 26 Ἄργιλλον: Ἄργεννον Mue Ἀργαῖον? 27 <τοῖς> ἰδίοις He 28 Πανίαν: cf. Charax 103 F 3 31-33 Bernardakis 32 χαρίσιον P χαρίσιος P[ms] (m. 1) (ἀγαπῶνται): [Aristot.] *Mir. Ausc.* 163 χαρισία (Aristot.) He

μέμνηται δὲ τούτων ἀκριβέστερον Σωσθένης ὁ Κνίδιος, παρ' οὗ τὴν ὑπόθεσιν εἴληφεν Ἑρμογένης (VI).

847. ANHANG

1 a) STRABON 2, 1, 40 p. 93 (= Hipparchos?): ὁ δὲ καὶ τὴν Ῥώμην τιθεὶς (*scil.* Eratosthenes) ἐπὶ ταὐτοῦ μεσημβρινοῦ τὴν τοσοῦτον καὶ Καρχηδόνος δυσμικωτέραν, ὑπερβολὴν οὐκ ἀπολείπει τῆς τῶν τόπων ἀπειρίας καὶ τούτων καὶ τῶν ἐφεξῆς πρὸς δύσιν μέχρι Στηλῶν. **b)** – 3, 4, 19 p. 165/6: τινὲς μὲν οὖν εἰς τέτταρα μέρη διηιρῆσθαί φασι τὴν χώραν ταύτην (Spanien), καθάπερ εἴπομεν (3, 4, 13), ἄλλοι δὲ πενταμερῆ λέγουσιν. οὐκ ἔστι δὲ τἀκριβὲς ἐν τούτοις ἀποδιδόναι διὰ τὰς μεταβολὰς καὶ τὴν ἀδοξίαν τῶν τόπων. ἐν γὰρ τοῖς γνωρίμοις καὶ ἐνδόξοις αἵ τε μεταναστάσεις γνώριμοι καὶ οἱ μερισμοὶ τῆς χώρας καὶ αἱ μεταβολαὶ τῶν ὀνομάτων καὶ εἴ τι ἄλλο παραπλήσιον· θρυλεῖται γὰρ ὑπὸ πολλῶν, καὶ μάλιστα τῶν Ἑλλήνων, οἳ λαλίστατοι πάντων γεγόνασι. ὅσα δὲ καὶ βάρβαρα καὶ ἐκτετοπισμένα καὶ μικρόχωρα καὶ διεσπασμένα, τούτων ὑπομνήματα οὔτ' ἀσφαλῆ ἐστιν οὔτε πολλά· ὅσα δὲ δὴ πόρρω τῶν Ἑλλήνων ἐπιτείνει τὴν ἄγνοιαν. οἱ δὲ τῶν Ῥωμαίων συγγραφεῖς μιμοῦνται μὲν τοὺς Ἕλληνας, ἀλλ' οὐκ ἐπὶ πολύ· καὶ γὰρ ἃ λέγουσι παρὰ τῶν Ἑλλήνων μεταφέρουσιν, ἐξ ἑαυτῶν δ' οὐ πολὺ μὲν προσφέρονται τὸ φιλείδημον, ὥσθ' ὁπόταν ἔλλειψις γένηται παρ' ἐκείνων, οὐκ ἔστι πολὺ τὸ ἀναπληρούμενον ὑπὸ τῶν ἑτέρων, ἄλλως τε καὶ τῶν ὀνομάτων, ὅσα ἐνδοξότατα, τῶν πλείστων ὄντων Ἑλληνικῶν. (Asklepiades 697 F 8). **c)** JOSEPH. *c. Ap.* 1, 67: περὶ μὲν γὰρ Γαλατῶν τε καὶ Ἰβήρων οὕτως ἠγνόησαν οἱ δοκοῦντες ἀκριβέστατοι συγγραφεῖς, ὧν ἐστιν Ἔφορος (70 F 133), ὥστε πόλιν οἴεται μίαν εἶναι τοὺς Ἴβηρας τοὺς τοσοῦτο μέρος τῆς ἑσπερίου γῆς κατοικοῦντας· καὶ τὰ μήτε γενόμενα παρ' αὐτοῖς ἔθη μήτε λεγόμενα γράφειν ὡς ἐκείνων αὐτοῖς χρωμένων ἐτόλμησαν. (68) αἴτιον δὲ τοῦ μὲν μὴ γιγνώσκειν τἀληθὲς τὸ λίαν ἀνεπίμικτον, τοῦ δὲ γράφειν ψευδῆ τὸ βούλεσθαι δοκεῖν τι πλέον τῶν ἄλλων ἱστορεῖν.

2 STRABON 3, 2, 11 p. 148/9: οὐ πολὺ δ' ἄποθεν τοῦ Καστλῶνός ἐστι καὶ τὸ ὄρος, ἐξ οὗ ῥεῖν φασι τὸν Βαῖτιν, ὃ καλοῦσιν Ἀργυροῦν διὰ τὰ ἀργυρεῖα τὰ ἐν αὐτῶι. Πολύβιος (34, 9, 12) δὲ καὶ τὸν Ἄναν καὶ τοῦτον ἐκ τῆς Κελτιβηρίας ῥεῖν φησι, διέχοντας ἀλλήλων ὅσον ἐνακοσίους σταδίους· αὐξηθέντες γὰρ

---

8 τέτταρα Cas δύο ο   διηιρῆσθαι Cor -εῖσθαι ο   12 ἄλλαι μεταβολαὶ BC   14 [καὶ] βάρβαρα Cor   16 δή: καὶ Cor   20 φιλείδημον ς φιλόδημον ABC φιλότιμον B[c]   21 οὐκ ἔτι A   31 Καστλῶνος (cf. zu 3, 2, 3) Kramer κασταῶνος ο   32 ὃ Xyl ὂν ο

οἱ Κελτίβηρες ἐποίησαν καὶ τὴν πλησιόχωρον πᾶσαν ὁμώνυμον ἑαυτοῖς. ἐοίκασι δ' οἱ παλαιοὶ καλεῖν τὸν Βαῖτιν Ταρτησσόν, τὰ δὲ Γάδειρα καὶ τὰς πρὸς αὐτὴν νήσους Ἐρύθειαν (cf. 70 F 129)· διόπερ οὕτως εἰπεῖν ὑπολαμβάνουσι Στησίχορον (F 4 Diehl) περὶ τοῦ Γηρυόνου βουκόλου, διότι γεννηθείη «σχεδὸν ἀντιπέρας κλεινᾶς Ἐρυθείας / Ταρτησσοῦ ποταμοῦ παρὰ παγὰς ἀπείρονας ἀργυρορίζους / ἐν κευθμῶνι πέτρας». δυεῖν δ' οὐσῶν ἐκβολῶν τοῦ ποταμοῦ, πόλιν ἐν τῶι μεταξὺ χώρωι κατοικεῖσθαι πρότερόν φασιν, ἣν καλεῖσθαι Ταρτησσόν, ὁμώνυμον τῶι ποταμῶι καὶ τὴν χώραν Ταρτησσίδα, ἣν νῦν Τουρδοῦλοι νέμονται. καὶ Ἐρατοσθένης (V) δὲ τὴν συνεχῆ τῆι Κάλπηι Ταρτησσίδα καλεῖσθαί φησιν, καὶ Ἐρύθειαν νῆσον εὐδαίμονα. πρὸς ὃν Ἀρτεμίδωρος (V) ἀντιλέγων καὶ ταῦτα ψευδῶς λέγεσθαί φησιν ὑπ' αὐτοῦ, καθάπερ καὶ τὸ ἀπὸ Γαδείρων ἐπὶ τὸ Ἱερὸν ἀκρωτήριον διάστημα ἀπέχειν ἡμερῶν πέντε πλοῦν, οὐ πλειόνων ὄντων ἢ χιλίων καὶ ἑπτακοσίων σταδίων, καὶ τὸ τὰς ἀμπώτεις μέχρι δεῦρο περατοῦσθαι ἀντὶ τοῦ κύκλωι περὶ πᾶσαν τὴν οἰκουμένην συμβαίνειν, καὶ τὸ τὰ προσαρκτικὰ μέρη τῆς Ἰβηρίας εὐπαροδώτερα εἶναι πρὸς τὴν Κελτικὴν ἢ κατὰ τὸν ὠκεανὸν πλέουσι, καὶ ὅσα δὴ ἄλλα εἴρηκε Πυθέαι (V) πιστεύσας δι' ἀλαζονείαν.

(12) ὁ δὲ ποιητὴς . . . δίδωσιν ἀφορμάς, ὡς οὐδὲ τούτων ἀνήκοός ἐστι τῶν τόπων, εἴ τις ὀρθῶς συλλογίζεσθαι βούλοιτο ἀπ' ἀμφοῖν, τῶν τε χεῖρον λεγομένων περὶ αὐτῶν καὶ τῶν ἄμεινον καὶ ἀληθέστερον. χεῖρον μέν, ὅτι πρὸς δύσιν ἐσχάτη ἤκουεν αὕτη, ὅπου, καθάπερ αὐτός φησιν (Θ 485 f.), εἰς τὸν ὠκεανὸν ἐμπίπτει «λαμπρὸν φάος ἠελίοιο, / ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν» . . . . (13) πρὸς δὲ τὸ βέλτιον ἐκ τούτων· ἥ τε γὰρ Ἡρακλέους στρατεία μέχρι δεῦρο προελθοῦσα καὶ τῶν Φοινίκων ὑπέγραφεν αὐτῶι πλοῦτόν τινα καὶ ῥαιθυμίαν τῶν ἀνθρώπων· οὗτοι γὰρ Φοίνιξιν οὕτως ἐγένοντο σφόδρα ὑποχείριοι, ὥστε τὰς πλείους τῶν ἐν τῆι Τουρδητανίαι πόλεων καὶ τῶν πλησίον τόπων ὑπ' ἐκείνων νῦν οἰκεῖσθαι. καὶ ἡ τοῦ Ὀδυσσέως δὲ στρατεία δοκεῖ μοι δεῦρο γεννηθεῖσα καὶ ἱστορηθεῖσα ὑπ' αὐτοῦ παραδοῦναι πρόφασιν . . . . . οὐ γὰρ μόνον οἱ κατὰ τὴν Ἰταλίαν καὶ Σικελίαν τόποι καὶ ἄλλοι τινὲς τῶν τοιούτων σημεῖα ὑπογράφουσιν, ἀλλὰ καὶ ἐν τῆι Ἰβηρίαι Ὀδύσσεια πόλις δείκνυται καὶ Ἀθηνᾶς ἱερὸν καὶ ἄλλα μυρία ἴχνη τῆς τε ἐκείνου πλάνης καὶ ἄλλων τῶν ἐκ τοῦ Τρωικοῦ πολέμου <περι>γενομένων· . . . . ἥ τε τοῦ Αἰνείου παραδέδοται πλάνη καὶ Ἀντήνορος καὶ ἡ τῶν Ἐνετῶν, ὡσαύτως καὶ ἡ Διομήδους τε καὶ Μενελάου καὶ † Ὀδυσσέως καὶ ἄλλων πλειόνων. ὁ τοίνυν ποιητὴς τὰς τοσαύτας

3 ἐρύθειαν E -θίαν ABC 4 Γηρυόνος Cor βουκόλου Kramer -λίου o 5 (10) ἐρυθίας o πᾶγας Schneidewin 6 κευθμῶνι Hermann -ώνων o πέτραις BlC 8 Ταρτησσίδα καλεῖσθαί φασιν BlC 15 εἶναι: εἰσὶ AlC 21 ἐσχάτην ἤκουεν αὐτὴν B 23 (27) στρατεία Cor στρατιὰ o 24 <ἡ> τῶν Cor 26 τουρδιτανία lB 30 πόλις: πολλάκις l 32 <περι>γενομένων Cor γενομένων * *? 34 Ὀδυσσέως: Μενεσθέως (3, 1, 9) Cor

στρατείας ἐπὶ τὰ ἔσχατα τῆς Ἰβηρίας ἱστορηκώς, πυνθανόμενος δὲ καὶ πλοῦτον καὶ τὰς ἄλλας ἀρετὰς (οἱ γὰρ Φοίνικες ἐδήλουν τοῦτο) ἐνταῦθα τὸν τῶν εὐσεβῶν ἔπλασε χῶρον (δ 563 ff.) . . . . . . καὶ οἱ μετὰ ταῦτα δὲ ποιηταὶ παραπλήσια θρυλοῦσι, τήν τε ἐπὶ τὰς Γηρυόνου βόας στρατείαν καὶ τὴν ἐπὶ τὰ μῆλα τῶν Ἑσπερίδων τὰ χρύσεια ὡσαύτως στρατείαν, καὶ Μακάρων τινὰς νήσους κατονομάζοντες, ἃς καὶ νῦν δεικνυμένας ἴσμεν οὐ πολὺ ἄπωθεν τῶν ἄκρων τῆς Μαυρουσίας τῶν ἀντικειμένων τοῖς Γαδείροις.

(14) τοὺς δὲ Φοίνικας λέγω μηνυτάς· καὶ τῆς Ἰβηρίας καὶ τῆς Λιβύης τὴν ἀρίστην οὗτοι κατέσχον πρὸ τῆς ἡλικίας τῆς Ὁμήρου, καὶ διετέλεσαν κύριοι τῶν τόπων ὄντες, μέχρις οὗ Ῥωμαῖοι κατέλυσαν αὐτῶν τὴν ἡγεμονίαν.

3 Strabon 3, 1, 6 p. 139: ἡ δ' ἐφεξῆς (*scil.* χώρα) πρὸς ἕω κειμένη καὶ νότον ὑπερβολὴν οὐκ ἀπολείπει πρὸς ἅπασαν κρινομένη τὴν οἰκουμένην ἀρετῆς χάριν καὶ τῶν ἐκ γῆς καὶ θαλάττης ἀγαθῶν· αὕτη δ' ἐστίν, ἣν ὁ Βαῖτις διαρρεῖ ποταμός . . . . καλοῦσι δ' ἀπὸ μὲν τοῦ ποταμοῦ Βαιτικήν, ἀπὸ δὲ τῶν ἐνοικούντων Τουρδητανίαν. τοὺς δ' ἐνοικοῦντας Τουρδητανούς τε καὶ Τουρδούλους προσαγορεύουσιν, οἱ μὲν τοὺς αὐτοὺς νομίζοντες, οἱ δ' ἑτέρους, ὧν ἐστι καὶ Πολύβιος (24, 9, 1) συνοίκους φήσας τοῖς Τουρδητανοῖς πρὸς ἄρκτον τοὺς Τουρδούλους· νυνὶ δ' ἐν αὐτοῖς οὐδεὶς φαίνεται διορισμός. σοφώτατοι δ' ἐξετάζονται τῶν Ἰβήρων οὗτοι· καὶ γραμματικῆι χρῶνται, καὶ τῆς παλαιᾶς μνήμης ἔχουσι συγγράμματα καὶ ποιήματα καὶ νόμους ἐμμέτρους ἑξακισχιλίων ἐπῶν, ὥς φασι.

XXXII. SYRIEN

(No. 162-166; sect. XII Juden).

—. ALEXANDROS POLYHISTOR c. 80/35

ΠΕΡΙ ΣΥΡΙΑΣ Ᾱ

273 F 71-72.

—. PHILISTOS (VON NAUKRATIS) Hellenist. Zeit?

ΠΕΡΙ ΣΥΡΙΑΣ (ΚΑΙ ΛΙΒΥΗΣ?)

556 T 1b; 615 T 1a.

---

1 στρατείας Cor στρατιὰς ο 6 ἄπωθεν BlC ἄπο- r 8 καὶ <γὰρ> Cor 16 τουρδητανίαν – τουρδητανούς A Epit -δετ- BlC 22 ἐπῶν Mei, Knaack ἐτῶν ο

848. TIMAIOS (?) Hellenist. Zeit?

T

1 (I p. XLIX n. 1) SUDA s.v. Τίμαιος ὁ ἱστορικός· (566 T 19 c. 23; F 119a). ἔγραψε Περὶ Συρίας καὶ τῶν ἐν αὐτῆι πόλεων καὶ βασιλέων βιβλία γ̄.

F

ΠΕΡΙ ΣΥΡΙΑΣ ΚΑΙ ΤΩΝ ΕΝ ΑΥΤΗΙ ΠΟΛΕΩΝ ΚΑΙ ΒΑΣΙΛΕΩΝ Α̅-Γ̅

849. ANONYMUS (XENOPHON?) Hellenist. Zeit?

ΣΥΡΙΑΣ ΣΧΟΙΝΟΜΕΤΡΗΣΙΣ

F

1 (III 228, 22) EUSEB. *P.E.* 9, 36: (c. 35: Timochares 165 F 1). ὁ δὲ τῆς Συρίας [σχοινομέτρης] σχοινομέτρησιν γράψας ἐν τῆι πρώτηι φησὶ κεῖσθαι Ἱεροσόλυμα ἐπὶ μετεώρου τε καὶ τραχέος τόπου· ὠικοδομῆσθαι δέ τινα μὲν μέρη τοῦ τείχους ἀπὸ λίθου ξεστοῦ, τὰ δὲ πλεῖστα ἀπὸ χάλικος· καὶ ἔχειν τὴν περίμετρον τὴν πόλιν σταδίων κ̅ζ̅, ὑπάρχειν δὲ καὶ πηγὴν ἐν τῶι χωρίωι ὕδωρ δαψιλὲς ἀναβλύζουσαν.

850. THEODOROS VON GADARA s. I 2ª

T

1 (III 489) SUDA s.v. Θεόδωρος Γαδαρεύς· σοφιστής, ἀπὸ δούλων, διδάσκαλος γεγονὼς Τιβερίου Καίσαρος. † ἐπεὶ δὲ συνεκρίθη περὶ σοφιστικῆς ἀγωνισάμενος Ποτάμωνι καὶ Ἀντιπάτρωι ἐν αὐτῆι τῆι Ῥώμηι [ἐπὶ Ἀδριανοῦ Καίσαρος ὁ υἱὸς αὐτοῦ Ἀντώνιος συγκλητικὸς ἐγένετο]. βιβλία δὲ ἔγραψε Περὶ τῶν ἐν φωναῖς ζητουμένων γ̄· Περὶ ἱστορίας ᾱ· Περὶ θέσεως ἕν· Περὶ διαλέκτων ὁμοιότητος καὶ ἀποδείξεως β̄· Περὶ πολιτείας β̄· Περὶ Κοίλης Συρίας ᾱ· Περὶ ῥήτορος δυνάμεως ᾱ· καὶ ἄλλα.

2 QUINTILIAN. *Inst. Or.* 3, 1, 17: *praecipue tamen in se converterunt studia Apollodorus Pergamenus, qui praeceptor Apolloniae Caesaris Augusti fuit, et Theodorus Gadareus, qui se dici maluit Rhodium, quem studiose audisse, cum in eam insulam secessisset* (a. 6ª), *dicitur Tiberius Caesar.*

1-6: an Timochares (no. 165; doch s. 849 F 1) denkt v. Gutschmid; an Timagenes (88 F 13) Daub 11 σχοινομέτρης (del. v) σχοινομέτρησιν BO (om. I) 14 γράψας * *? (Ξενοφῶν – 273 F 72 – versteht Mue; cf. Βαίτων 119 F 8??) 20 Ῥώμηι * * ἔπειτα δὲ Portus 19 Καίσαρος <ἐν Ῥόδωι>? ἔχειν <μὲν>? 20-21 ἐπὶ – ἐγένετο 'aliena sunt' ('habitasse et artem explicasse') Bernhardy 24 ῥήτορος: ῥητορικῆς Bernhardy *Pros. Imp. Rom.* III p. 311 no. 119

(18) . . . . *sed Apollodori praecepta magis ex discipulis cognoscas . . . . plura scripsit Theodorus, cuius auditorem Hermagoran sunt qui viderint.*

3 a) STRABON 16, 2, 29 p. 759: ἐκ δὲ τῶν Γαδάρων . . . καὶ Θεόδωρος ὁ καθ' ἡμᾶς ῥήτωρ. **b)** EUSEB. (HIERON.) *Chron.* ol. 186, 4 (33/2ª): *Nicetes et Hybreas et Theodorus et Plutio nobilissimi artis rhetoricae Graeci praeceptores habentur.*

F

1. ΠΕΡΙ ΙΣΤΟΡΙΑΣ Ᾱ 2. ΠΕΡΙ ΚΟΙΛΗΣ ΣΥΡΙΑΣ Ᾱ

—

851. HERMOGENES VON TARSOS 161/80ᵖ

T

1 (III 523) SUDA s.v. Ἑρμογένης Ταρσεύς· ὁ ἐπίκλην Ξυστήρ, σοφιστής, οὗ διήκουσε καὶ Μουσώνιος ὁ φιλόσοφος. γέγονε δὲ ἐπὶ Μάρκου τοῦ βασιλέως . . . . . πλὴν περὶ τὸν ιη̅ ἢ κ̅ χρόνον γενόμενος γράφει ταῦτα τὰ βιβλία τὰ γέμοντα θαυμάτων· Τέχνην ῥητορικήν, ἣν μετὰ χεῖρας ἔχουσιν ἅπαντες· Περὶ στάσεων βιβλίον α̅· Περὶ ἰδεῶν λόγου βιβλία β̅· Περὶ Κοίλης Συρίας β̅.

F

ΠΕΡΙ ΚΟΙΛΗΣ ΣΥΡΙΑΣ Ᾱ Β̄

(737 F 1 § 216?).

—

852. DEMETRIOS Ο ΑΝΤΙΓΟΝΟΥ

F

1 (–) STEPH. BYZ. s.v. Κύρρος· πόλις Συρίας, ἧς ἀκρόπολις Γίνδαρος. ὁ πολίτης Κυρρέστης, ὡς Πολύβιος ε̅ (50, 7; 57, 4). καὶ Κυρρεστὶς ἡ Ἀθηνᾶ, καὶ ἡ χώρα Κυρρεστική· Στράβων ις̅ (2, 8). Δημήτριος δὲ ὁ Ἀντιγόνου τὸ Κυρρήστης διὰ τοῦ η̅ φησὶ † καθῦ.

2 (–) STEPH. BYZ. s.v. Ἀγβάτανα· πολίχνιον Συρίας· Ἡρόδοτος γ̅ (62, 1; 64, 4). οἱ δὲ νῦν Βατάνειαν αὐτὴν καλοῦσι . . . . Δημήτριος δέ φησιν Ἀγβάτανα διττά, τὰ μὲν τῆς Μηδίας, τὰ δὲ τῆς Συρίας. (Ktesias 688 F 42).

---

12 ὁ σοφιστής A 23 ἧς v ἡ o; cf. πόλις Γίνδαρος (Xyl τίνδαρος o), ἀκρόπολις τῆς Κυρρηστικῆς (v χυριστικῆς o) Strab Γίνδαρος Berkel σίνδαρος o 24 κυρέστης P Κυρρήστης Pol κυρεστίς R(?) κυρρέστις VP κυριστίς Strab 25 ἡ om. R κυρεστική R κυριστική Strab 26 κυρρήστης V κυρήτης R κυρρέστης P καθῦ R καθ̑ V om. P καὶ καθ' ὕφεσιν τοῦ ἑνὸς ρ̅? Mei 27 Ἀγβάτανα (spat. 7 lit.) om. R 28 οἱ VP ἡ R αὐτὴν om. RV δημήτριος VP . . . . τριος R 29 ἀγκάτανα P μηδείας RV τῆς συρίας om. R τῆς . . . σίας V

853. PROTAGORIDES VON KYZIKOS

s. II?

T

1 (IV 484) Schol. Nikand. *Alex.* 1: εἰ καὶ μὴ σύγκληρα κατ' 'Ασίδα τείχεα δῆμοι / τύρσεσιν ἐστήσαντο, τέων ἀνεδέγμεθα βλάστας, / Πρωταγόρη κτλ.] Νίκανδρός ἐστιν ὁ λέγων Κολοφώνιος Πρωταγόραι Κυζικηνῶι.

2 Athen. 4, 54 p. 162 B: ... τὴν Σφοδρίου τοῦ Κυνικοῦ Τέχνην ἐρωτικὴν καὶ τὰς Πρωταγορίδου 'Ακροάσεις ἐρωτικὰς Περσαίου τε ... Συμποτικοὺς διαλόγους (584 F 3-6) ...

F

ΠΕΡΙ ΤΩΝ ΕΠΙ ΔΑΦΝΗΙ ΠΑΝΗΓΥΡΕΩΝ (ΠΕΡΙ ΔΑΦΝΙΚΩΝ ΑΓΩΝΩΝ) Ā - B̄(?)

1 (1) Athen. 4, 33 p. 150 CD: (Lykeas 613 F 4). τίνα δ' ἦν τὰ Αἰγύπτια δεῖπνα Πρωταγορίδης ἐν τῶι ā Περὶ Δαφνικῶν ἀγώνων διδάσκει ἡμᾶς λέγων οὕτως· «τρίτη δέ ἐστιν ἰδέα δείπνων Αἰγυπτιακή, τραπεζῶν μὲν οὐ παρατιθεμένων, πινάκων δὲ περιφερομένων».

2 (2-3) a) Athen. 4, 78 p. 176 AB: Πρωταγορίδης δ' ὁ Κυζικηνὸς ἐν δευτέρωι Περὶ τῶν ἐπὶ Δάφνηι πανηγύρεών φησιν· «πάντὸς δὲ ὀργάνου † καταμιτον ἧπται, κροτάλων, † ὑπὸ φανοῦ, πανδούρου, τῶι τε ἡδεῖ μοναύλωι τὰς ἡδίστας ἁρμονίας ἀναμινυρίζει». (Poseidonios 87 F 2). b) - 4, 82 p. 183 F: τοῦ δὲ καλουμένου πανδούρου Εὐφορίων μέν, ὡς προείρηται (*scil.* ἐν τῶι Περὶ 'Ισθμίων: IV), καὶ Πρωταγορίδης ἐν β̄ Περὶ τῶν ἐπὶ Δάφνηι πανηγύρεων.

2. ΑΚΡΟΑΣΕΙΣ ΕΡΩΤΙΚΑΙ

(T 2).

3. ΚΩΜΙΚΑΙ ΙΣΤΟΡΙΑΙ Ā - ?

3 (4) Athen. 3, 98 p. 124 D-F: Πρωταγορίδης δ' ἐν β̄ τῶν Κωμικῶν ἱστοριῶν τὸν 'Αντιόχου τοῦ βασιλέως κατὰ τὸν ποταμὸν διηγούμενος πλοῦν λέγει τι καὶ περὶ ἐπιτεχνήσεως ψυχρῶν ὑδάτων ἐν τούτοις· «τὴν γὰρ ἡμέραν ἡλιάζοντες αὐτό, [τῆς νυκτὸς] ἀπηθοῦντες τὸ παχύτατον, τὸ λοιπὸν ἐξαιθριάζουσιν ἐν ὑδρίαις κεραμέαις ἐπὶ τῶν μετεωροτάτων μερῶν τῆς οἰκήσεως, δι' ὅλης τε τῆς νυκτὸς δύο παῖδες ὕδατι τὰ τεύχη καταρραίνουσιν. ὄρθρου δὲ καθαιροῦντες καὶ τὴν ὑποστάθμην πάλιν ὑποσπῶντες λεπτόν τε ποιοῦντες αὐτὸ καὶ πρὸς ὑγίειαν οἷον ἄριστον, ἐν ἀχύροις τιθέασιν τὰς ὑδρίας, εἶθ' οὕτως χρῶνται, χιόνος οὐδ' ἡντινοῦν χρείαν ἔχοντες».

18 κατὰ μίτον? Liddell-Scott ὑπὸ φανοῦ: τυμπάνου? Kaibel 21 μέν: μέμνηται? 27 ποταμὸν: *i.e.* Νεῖλον (Polyb. 28, 20) Haupt 28 ἡλιάζοντες Kaibel ἀνη- O 29 [τῆς νυκτὸς] Wil ‹καὶ› ἀπηθοῦντες? 30 (34) ὑδρίαις CE -είαις A κεραμέαις Ddf -είαις O

854. PAUSANIAS VON (DAMASKOS O.) ANTIOCHEIA s. IVᵖ (vor 358/9?)

T

1 (IV 467) Konstant. Porph. *De Them.* 1 p. 17: τὸ θέμα τὸ καλούμενον Ἀρμενιακὸν οὐ κύριον ἔχει τὸ ὄνομα, οὐδὲ ἀρχαία τίς ἐστιν ἡ τούτου προσηγορία .... δοκῶ δὲ εἰπεῖν ὅτι ἐπὶ Ἡρακλείου τοῦ βασιλέως (610/41) καὶ τῶν κάτω χρόνων τὴν τοιαύτην προσηγορίαν ἐκληρονόμησεν· οὔτε γὰρ Στράβων ὁ γεωγράφος τῆς τοιαύτης ὀνομασίας ἐμνήσθη ... οὔτε Μένιππος ὁ τοὺς σταδιασμοὺς τῆς ὅλης οἰκουμένης ἀπογραψάμενος (V) οὔτε μὴν Σκύλαξ ὁ Καρυανδηνὸς (709 F 13) οὔτε Παυσανίας ὁ Δαμασκηνὸς οὔτε ἄλλος τις τῶν ἱστορίας γεγραφότων.

F

ΑΝΤΙΟΧΕΙΑΣ ΚΤΙΣΙΣ (= ΤΗΣ ΠΑΤΡΙΔΟΣ ΚΤΙΣΙΣ?)

1 (1) Steph. Byz. s.v. Δῶρος· πόλις Φοινίκης ...... τὸ ἐθνικὸν Δωρίτης .... Π α υ σ α ν ί α ς δὲ ἐν τ ῆ ι τ ῆ ς π α τ ρ ί δ ο ς α ὐ τ ο ῦ κ τ ί σ ε ι Δωριεῖς αὐτοὺς καλεῖ, τῆιδε γράφων· «Τ ύ ρ ι ο ι, Ἀ σ κ α λ ω ν ῖ τ α ι, Δ ω ρ ι ε ῖ ς, Ῥ α φ α ν ε ῶ τ α ι».

2 (2) Steph. Byz. s.v. Σελευκόβηλος· πόλις Συρίας, πλησίον * * ὁ πολίτης Σελευκοβηλίτης καὶ Σελευκοβηλαῖος. λέγεται καὶ Σελευκεὺς πρὸς τῶι Βήλωι· ο ὕ τ ω γ ὰ ρ Π α υ σ α ν ί α ς ἐ ν τ ῶ ι Π ε ρ ὶ Ἀ ν τ ι ο χ ε ί α ς φ η σ ί.

3 (–) a) Tzetz. *Chil.* 7, 167: ὡς Π α υ σ α ν ί α ς γ ρ ά φ ε ι μ ὲ ν Ἀ ν τ ι ο- (F 10 § 11?) χ ε ί α ς κ τ ί σ ε ι, / κτίζεται Ἀντιόχεια Νικάτορι Σελεύκωι, / κατά τινας εἰς ὄνομα πατρὸς σφοῦ Ἀντιόχου, / [170] Λουκιανῶι δ' εἰς ὄνομα υἱέος Ἀντιόχου, / τὸν ὃν Σωτῆρα ἔλεγον ...... / [174] ταύτην τὴν Ἀντιόχειαν Σέλευκος κτίζει πόλιν, / καὶ ἄλλας ἑβδομήκοντα καὶ τέσσαρας δὲ πόλεις. / τοὺς δ' ἀμαθῶς Ἀντίοχον λέγοντας ταύτην κτίσαι / Ἀτταῖός τε καὶ Περιττᾶς, Ἀναξικράτης ἅμα / ἐλέγξουσι σαφέστατα καὶ δείξουσι ληροῦντας, / σὺν οἷς Ἀσκληπιόδωρος δὲ οἰκέτης τυγχάνων, / [180] οὓς τότε Σέλευκος ποιεῖ κτισμάτων ἐπιστάτας. b) Schol. Tzetz. *Chil.* (Cramer *An. Ox.* III p. 369, 20): τὸ 'κατά τινας' ἐγὼ Τζέτζης φημί, οὐχ ὁ Παυσανίας.

4 (–) Tzetz. *Exeg. Iliad.* p. 138, 14: τὸ κατὰ Δάφνην διήγημα πᾶσι γνωστόν ἐστι, Π α υ σ α ν ί α ς δ ὲ ὁ ἱ σ τ ο ρ ι κ ὸ ς ἐ ν τ ῶ ι Π ε ρ ὶ Ἀ ν τ ι ο χ ε ί α ς κ τ ί σ ε ω ς γράφει πλατύτερον· Κυπάρισσος ὡραῖος ἦν νεανίσκος Αἰγύπτιος, οὗ πεσόντος καὶ ἀποπνιγέντος ἐν φρέατι οἱ καθ' αἷμα τοῦ νέου τὴν κυπάρισσον, μήπω καλουμένην κυπάρισσον, εἰς ὄνομα τοῦ νεανίσκου κατωνομάκασιν, ὥσπερ καὶ τὰ λοιπὰ τῶν δένδρων εἰς ἐπωνυμίας ἑτέρων.

---

8 οὔτ' αὐτὸς Παυσανίας οὔθ' ὁ Δαμασκηνὸς (*i.e.* Nikolaos) o. Παυσ. ὁ Μαζακηνὸς Palm Παυσανίας ‹ὁ Ἀντιοχεὺς οὔτε Νικόλαος ὁ› Δαμ. Christ-Schmid *Gr. Lit.* II p. 759 n. 2 16 * * ν πλησίον ‹Λαρίσσης› Miller; cf. s.v. Σέλευκος· πόλις παρὰ τῆι ἐν Συρίαι Ἀπαμείαι 18 οὕτω γὰρ P οὕτω .... R οὗ V

OHNE BUCHTITEL

5 (7) Steph. Byz. s.v. Βότρυς· πόλις Φοινίκης. ὁ πολίτης Βοτρυηνός, ὡς Παυσανίας παραλόγως.

6 (8) Steph. Byz. s.v. Γάββα· πόλις Συρίας, ἧς τὸ ἐθνικὸν Γαββηνός, ὡς Παυσανίας φησίν.

7 (6) Steph. Byz. s.v. Γάζα· πόλις Φοινίκης . . . . . ὁ πολίτης Γαζαῖος· λέγονται καὶ Γαζηνοὶ παραλόγως, ὡς Παυσανίας· λέγονται καὶ Γαζῖται παρὰ τοῖς ἐγχωρίοις.

8 (10) Steph. Byz. s.v. Μαριαμμία· πόλις Φοινίκης. οἱ πολῖται Μαριαμμῖται, ὡς Παυσανίας ἐν ϛ̄ (?).

(DER 'CHRONOGRAPHOS')

9 (3) Malalas *Chron.* 2 p. 37, 17 (Chron. Pasch. p. 72, 11): ὁ δὲ αὐτὸς Περ-
σεὺς μετὰ τὸ βασιλεῦσαι τῆς Περσικῆς χώρας ἔτη πολλά, μαθὼν ὅτι ἐν τῆι Συρίαι χώραι
διάγουσιν ἐκ τοῦ Ἄργους Ἰωνῖται, ἦλθεν εἰς τὴν Συρίαν πρὸς αὐτοὺς εἰς τὸ Σίλπιον ὄρος
ὡς πρὸς ἰδίους συγγενεῖς, οἵτινες δεξάμενοι αὐτὸν μετὰ πάσης τιμῆς προσεκύνησαν· γνόν-
τες αὐτὸν οἱ αὐτοὶ Ἀργεῖοι Ἰωπολῖται, ὅτι καὶ οὗτος ἐκ τοῦ γένους τῶν Ἀργείων κατά-
γεται, χαρέντες ἀνύμνουν αὐτόν. χειμῶνος δὲ γενομένου καὶ πλημμυρήσαντος πολὺ
τοῦ παρακειμένου ποταμοῦ τῆι Ἰωνιτῶν πόλει τοῦ λεγομένου Δράκοντος, νυνὶ δὲ Ὀρόντου,
ἤιτησε τοὺς Ἰωνίτας εὔξασθαι· καὶ ἐν τῶι εὔχεσθαι αὐτοὺς καὶ μυσταγωγεῖν κατηνέχθη
σφαῖρα πυρὸς κεραυνοῦ ἐκ τοῦ οὐρανοῦ, ἥτις ἐποίησε παυθῆναι τὸν χειμῶνα καὶ τὰ τοῦ
ποταμοῦ ἐπισχεθῆναι ῥεῖθρα. καὶ θαυμάσας ἐπὶ τῶι γεγονότι ὁ Περσεὺς ἐξ ἐκείνου τοῦ
πυρὸς εὐθέως ἀνῆψε πῦρ, καὶ εἶχε φυλαττόμενον μεθ' ἑαυτοῦ· ὅπερ πῦρ ἐβάσταζεν ἐπὶ
τὰ Περσικὰ μέρη εἰς τὰ ἴδια βασίλεια, καὶ ἐδίδαξεν αὐτοὺς τιμᾶν ἐκεῖνο τὸ πῦρ, ὅπερ
ἔλεγεν αὐτοῖς ἑωρακέναι ἐκ τοῦ οὐρανοῦ κατενεχθέντα· ὅπερ πῦρ ἕως τοῦ παρόντος ἐν
τιμῆι ἔχουσιν οἱ Πέρσαι ὡς θεῖον. ὁ δὲ αὐτὸς Περσεὺς ἔκτισε τοῖς Ἰωνίταις ἱερόν, ὃ
ἐπωνόμασε πυρὸς ἀθανάτου· ὁμοίως δὲ καὶ εἰς τὰ Περσικὰ ἔκτισεν ἱερὸν πυρός, κατα-
στήσας ἐκεῖ διακονεῖν αὐτῶι εὐλαβεῖς ἄνδρας, οὕστινας ἐκάλεσε μάγους. ταῦτα δὲ
Παυσανίας ὁ σοφώτατος χρονογράφος συνεγράψατο. (F 3?)

10 (4) Malalas *Chron.* 8 p. 198, 23: (1) ὁ δὲ Νικάτωρ Σέλευκος εὐθέως μετὰ τὴν
νίκην Ἀντιγόνου τοῦ Πολιορκητοῦ (a. 301[a]), βουλόμενος κτίσαι πόλεις διαφόρους,
ἤρξατο κτίζειν πρῶτον εἰς τὴν πάραλον τῆς Συρίας. καὶ κατελθὼν παρὰ τὴν θάλασσαν
εἶδεν ἐν τῶι ὄρει κειμένην πόλιν μικράν, ἥντινα ἔκτισε Σύρος ὁ υἱὸς Ἀγήνορος. τῆι δὲ κγ̄
τοῦ Ξανθικοῦ μηνὸς ἦλθε θυσιάσαι εἰς τὸ ὄρος τὸ Κάσιον Διὶ Κασίωι, καὶ πληρώσας τὴν
θυσίαν καὶ κόψας τὰ κρέα ηὔξατο ποῦ χρὴ κτίσαι πόλιν· καὶ ἐξαίφνης ἥρπασεν ἀετὸς

---

3 παραλόγως P πλο$^{\varepsilon\gamma'}$ R περὶ λόγως V 4 Γαββηνός v γαβηνός RVP 7 γαζῖται P 9 μαριαμμία P -αμία V -αμυῖα R φοινίκης RVP -κων Ald, v 9-10 μαριαμμῖται R^{c}VP 10 ἐν ϛ̄ VP ἐν κτηαυ$^{\tau}$ R ἐν κτίσει αὐτῆς Mei 16 Ἰωπολῖται v ἱππολεῖται O 20 κεραυνίου Chil(mead) παυθῆναι (Chron. Ox.) Chil καυθῆναι O 21 ἐπὶ τῶι γεγονότι (o. ἐπὶ τὸ γεγονὸς) Chil ἐπὶ τῶι γεγονὸς O 24 αὐτοῖς: αὐτός? κατενεχθῆναι Chron. Ox. 25 τιμῆι (Chron. Ox.) Chil ὑμῖν O 29 ff.: s. R. Förster in *Album grat. in hon. H. van Herwerden*, 1901, p. 504

ἀπὸ τῆς θυσίας καὶ κατήγαγεν ἐπὶ τὴν παλαιὰν πόλιν, καὶ κατεδίωξεν ὀπίσω Σέλευκος καὶ οἱ μετ' αὐτοῦ ὀρνοσκόποι, καὶ εὗρε τὸ κρέας ῥιφὲν παρὰ θάλασσαν κάτω τῆς παλαιᾶς πόλεως ἐν τῶι ἐμπορίωι τῆς λεγομένης Πιερίας. καὶ περιχαράξας τὰ τείχη εὐθέως ἔβαλε θεμελίους, καλέσας αὐτὴν Σελεύκειαν πόλιν εἰς ἴδιον ὄνομα.

